





Clav. Preso. 50 a 78

= C. Text Gr. 20/4

C. Gr. 130/4.

ANECDOTA GRÆCA

E CODD. MANUSCRIPTIS

BIBLIOTHECARUM OXONIENSIUM

DESCRIPSIT

J. A. CRAMER, S.T.P.

AULÆ NOVI HOSPITII PRINCIPALIS,

NECNON

ACADEMIÆ ORATOR PUBLICUS.

VOL. IV.

OXONII,

E TYPOGRAPHEO ACADEMICO.

MDCCCXXXVII.

MONITUM LECTORI.

HOC quarto Volumine, quod seriem Anecdotorum nostrorum claudit, Scholia Tzetzis in Hermogenem, majori ex parte inedita, primum vulgavi. Insunt hæc in Codice nunc Bodleiano olim Bibl. Saibant. 45. qui solus, ut opinor ea servavit in omnes Hermogenis libros. Nam neque Codex qui Lugd. Bat. Bibliotheca adservatur, et e quo Ruhnkenius quædam protulit, ad Longin. sect. iii. p. 236. Weiske; Koenius ad Greg. Cor. p. 329. Schæf.; neque Dresdensis, e quo Naekius ad Chœrilum p. 189. et add. p. 272. aliqua excerpsit, itemque Walzius t. III. p. 670. Rhet. Gr., cum nostro quoad molem æquiparandi sunt. Illi autem Codices contra quædam habent, quibus Bodleianus caret, præsertim ἐν τῷ περὶ Ἰδεῶν tractatu, ubi nihil a Tzetze profectum exstat ultra primum caput, et defectum indicant margines scripturæ expertes. Cæterum in Codice nostro exstant præterea scholia perampla a Joanne Doxopatre et aliis Hermogenis commentatoribus confecta; quem librum si ad manum habuisset Walzius, ea uno tenore commodius, quam ut fecit separatim et diversis voluminibus, edere potuisset.

Codex ipse est Bombyc. form. in fol. min. et 354. folia complectitur. Scripturam XIV. sæculi ineuntis refert, et in multis consentire videtur cum antiquissimo Cod. Paris. 1983, quo usus est Wal-

zius Præf. t. VII. Part. I. p. iv. sed Cod. Paris. non ultra tractatum Anonym. περὶ τῶν τοῦ λογου σχημάτων procedit; noster autem omnia, quæ alii Codices hujusce familiæ continent, habet, et alia præterea quæ diversis libb. MSS. insunt. Sed quidem, ut jam ante dixi, propter Tzetzis Scholia singularis est.

Quæ autem Scholia majoris fuissent pretii voluissem, nec a tam vano auctore profecta. Doleo etiam quod ea sua natura parum perspicua, Codicis scriptura lectu perdifficili et aliquoties depravata, adhuc obscuriora facta sint.

Qualiacunque demum sint, ea integra vulgare satius esse duxi, quam selecta tantum ex iis describere.

Tzetzis Scholia excipiunt quædam ex Anonymi Opusculo de Metris Rhetoricis ex eodem Codice; tum alia excerpta ex Commentario Joannis Doxopatri in Hermogenis libros de Inventione Cod. Barocc. 175. de quo Bekkerus Anecd. Gr. p. 1454.

Voluminis quod reliquum est Grammaticalia plerumque refert e diversis Codd. Bodl. descripta, et quæ majore ex parte Chœroboscum auctorem agnoscunt.

His adjunximus quædam p. 309. ex optimo Codice Musæi Britannici Add. 5118. cujus ope multa in Bekkeri An. t. III. sanari posse comperi. Ægre autem tuli, quod ad totum hunc Codicem describendum, itemque Harleianum 5656. qui quædam Herodiani habet, non satis idoneam occasionem nactus sum.

TZETZIS SCHOLIA IN HERMOGENEM.

ΤΟΥ ΤΖΕΤΖΟΥ ΕΙΣ ΤΟ ΠΕΡΙ ΔΙΠΛΟΥ ΣΤΟΧΑΣΜΟΥ.

ΠΟΙΑ τῶν κεφαλαιῶν μὲν τούτων τακτέον πρῶτον
τὰ τῆς ἀπολογίας μέν φησιν ὁ Ἑρμογένης·
δευτέρον δ' εἶναι βούλεται τὰ τῆς κατηγορίας.
Εὐστάθιος δ' ἀντίστροφα τῷ Ἑρμογένει λέγει.
καλῶς δὲ καὶ ἀμφότεροι γράφουσι περὶ τούτου.
οὗ γάρ εἰσι κεφαλαῖα προσωπικὰ, προσήκει
προκεῖσθαι τὸν ἀπόλογον πρὸ τῆς κατηγορίας·
τοῖς πράγματος δ' ἀντίστροφον γίνεται κεφαλαίοις.
ταῦτα τῶν παλαιῶν εἰσιν. ἡμεῖς φαμὲν δὲ ταῦτα.
ἐν οἷς φυγὴ καὶ δίωξις ἀντεγκληματική τις,
ὥσπερ ἐπὶ Αἰσχίνου νῦν ἐστι καὶ Δημοσθένους,
καθ' Ἑρμογένην πρόγραφε τὰ τῆς ἀπολογίας·
καὶ μετ' αὐτὰ δὲ δεύτερα τὰ τῆς κατηγορίας.
ἐπὶ τῶν κατ' αἰτίαν δώρων ἀμφισβητῶν,
οἷον τῶν δύο ἰατρῶν πόλεως καὶ τυράννου·
πρόγραφε κατ' Εὐστάθιον τὰ τῆς κατηγορίας·
καὶ μετ' αὐτὰ δὲ δεύτερα τὰ τῆς ἀπολογίας.
οὕτω τὰ τῶν προτέρων μὲν κεφαλαῖα δεῖ γράφειν·
καὶ ἐπὶ τῶν τοῦ πράγματος ὁμοίως δὲ γραπτέον,
ἐν οἷς φυγὴ καὶ δίωξις ἀντεγκληματική τις.
τὰ ἀπ' ἀρχῆς εἰς τέλος μὲν ἂν πέρ σοι συνεργοῦσιν,
ὥσπερ ἀπολογούμενος εἰσάγων ἀντιθέσει,
διὰ τῆς μεταθέσεως λῦέ μοι τῆς αἰτίας·
καὶ οὕτω τότε μοι λοιπὸν τὰ ἀπ' ἀρχῆς εἰς τέλος
τοῦ ἀντιδίκου εἴσαγε κατηγορῶν ἐκείνου·
καὶ τούτου τὴν μετάθεσιν λῦε τὴν τῆς αἰτίας.

εἶτα τὴν ἀντίληψιν κατασκευάζων λέγει·
τούτου δὲ τὴν ἀντίληψιν ἐν μεταλήψει λῦε·
εἶτα τὴν σὴν ἐπίφερε πιθαναπολογίαν.
καὶ τὴν ἐκείνου πάλιν δὲ πιθαναπολογίαν
λύε κατὰ τὰ πρότερον ὡς παραδειγματίσθω.
ἐμὲ Δημοσθένης ἐρεῖς παραπρεσβεῦσαι μᾶλλον
τεκμηρίων τῷ γράψαι μοι ὑπὲρ παραπρεσβείας.
ἐγὼ γυμνάζων ἐμαυτὸν καὶ συγκροτῶν ἐν δίκαις
τήν τε γραφὴν προήνεγκα τὴν τῆς παραπρεσβείας.
ἐν δίκαις γὰρ καὶ πρέσβεσι πότε συνηγοροῦμεν·
σὺ δὲ κατώρυττες χρυσὸν κακίστως εὐπορήσας,
καὶ δεδοικὼς μὴ φωραθῇς ἐκεῖνον κεκτημένον.
κἀμοὶ Δημοσθένη ἐξῆν ὃ βούλεται συγγράφειν·
τέχνη γὰρ τοῦτο δίδωσι καὶ νόμος τῶν ῥητόρων·
σοί δ' οὐκ ἐξῆν εἰρηνικῷ κρύπτειν χρυσίον χρόνῳ·
κἀγὼ οὐ παραπρέσβευσα· τίνι δὲ τοῦτο δῆλον;
ἐκ τοῦ τὸν λόγον γράψαι με τεθαρρηκυίᾳ γνώμῃ.
εἴπερ γὰρ παρεπρέσβευσα οὐδόλως ἐγγράφειν
μὴ φωραθῇς κατήγορος αὐτὸς αὐτοῦ γενοίμην.
σὺ τὸν χρυσίον κρύπτων δὲ καθὼς τῷ τῆς εἰρήνης,
καίπερ δεινὸς ὢν σοφιστὴς ἄλλως εἰπεῖν οὐχ ἕξεις.
ἀλλ' ἢ πάντως κατέκρυπτες τοῦτο παραπρεσβεύσας.
οὕτω κ' αὐτοῖς τοῦ πράγματος ὁμοίως κεφαλαίοις,
ἐν οἷς φυγὴ καὶ δίωξις ἀνεγκληματική τις,
καθ' Ἑρμογένην πρόγραφε τὰ τῆς ἀπολογίας.
ἐπὶ δὲ τῶν κατ' αἴτησιν δώρων ἀμφισβητούντων
πρόγραφε κατ' Εὐστάθιον τὰ τῆς κατηγορίας.
ἀντιθεὶς κεφαλαῖον, ὡς ἔφην, κεφαλαίῳ.
τινὲς δ' οὕτως οὐ γράφουσιν ἀγωνιστικωτέρως,
ἀλλ' ὑπτιώτερον αὐτά φασιν τοιουτοτρόπως.
τὰ ἀπ' ἀρχῆς εἰς τέλος γὰρ τιθέντες τὰ οἰκεῖα,
διὰ τῶν ἄλλων πράγματος λύουσι κεφαλαίων.
διά τε μεταθέσεως φημὶ τῆς τῆς αἰτίας·
διά τε ἀντιλήψεως καὶ πιθαναπολογίας.

καὶ οὕτω τότε μοι λοιπὸν τὰ ἀπ' ἀρχῆς εἰς τέλος
τῶν ἀντιδίκων λέγουσι κατηγοροῦντες τούτων·
καὶ τούτων μετάθεσιν φημὶ τὴν τῆς αἰτίας·
αὐτήν τε τὴν ἀντίληψιν σὺν πιθαναπολόγῳ
λύουσιν, οἷσπερ ἔγραφον λύεσθαι κεφαλαίοις.
καὶ τὰ λοιπὰ ὁμοίως τούτοις ὑπτιωτάτως.
Ὑφ' ἑκατέρου πρότερον χρέων ἐστι συστῆναι
δύο προσπεπλεγμένων τ' ἰδεῶν ζητήματα·
ἑνὸς εἰ προδεδώκασιν οἱ παῖδες, ὃ καὶ πρῶτον·
καὶ ὁ πατὴρ εἰ σύνοιδε τούτοις τὴν προδοσίαν.
τοῦ πρώτου μὲν ζητήματος εἰσὶ ταῦτα σημεῖα·
ἡ προδοσία φημί τε καὶ σύλληψις τῶν παίδων,
καὶ ἡ τοῦ τρίτου σὺν αὐτοῖς παιδὸς ὁμολογία.
σημεῖα τοῦ δευτέρου δὲ ζητήματος ὑπάρχει·
τῷ τὸν πατέρα τῶν υἱῶν μὴ ἐξελθεῖν τὸν φόνον.
καὶ σκόπει πῶς τὸ ζήτημα δέον μελετηθῆναι.
ὁ μὲν διώκων προβαλεῖ τὰ ἀπ' ἀρχῆς εἰς τέλος·
συνοίδας λέγων τοῖς παισὶν αὐτοῖς τὴν προδοσίαν·
τῷ τοῦτο δῆλον τῶν υἱῶν οὐκ ἐπεξῆλθες φόνον.
ὁ φεύγων παραγράψεται τοῦ λείποντος τῷ τρόπῳ·
δείξας εἰ προδεδώκασι πρῶτον διδοὺς ἐλέγχους.
οὐκ ἦν εἰκός μου τοὺς υἱοὺς προδοῦναι βουληθῆναι.
καὶ δυνηθῆναι διὰ τὸ, καὶ πάλιν ὁ διώκων
τὰ ἀπ' ἀρχῆς εἰς τέλος μοι χρήσεται κεφαλαίοις·
καὶ δι' αὐτῶν πειράσεται δεῖξαι προδότας τούτους.
δῆλον ὡς ἐμελέτησαν οἱ παῖδες προδοσίαν
* ἧς τε συνελήφθηντο φήμης ὡς προδιδόντας·
κἀκ τῆς τοῦ τρίτου σὺν αὐτοὺς παιδὸς ὁμολογίας.
ὁ φεύγων μεταθέσει δὲ τῇ τῆς αἰτίας εἴπῃ·
εἶπεν ὁ παῖς ψευσάμενος ὡς φύγῃ τὰς βασάνους·
ἡ πιθανὴ δ' οὐ πίπτει νῦν ἀπολογία τῇδε·
τὸ γὰρ εἰπεῖν, εἰ σύνοιδεν οὐκ ἂν ἐξεῖπε, φαῦλον.
μετὰ δὲ τὴν μετάθεσιν ὁ πατὴρ τῆς αἰτίας
κατασκευάσας ἱκανῶς, ὡς οὐκ εἰσὶ προδόται·

χωρήσει πρὸς ἀπόλογον ζητήματος δευτέρου.
καὶ δοὺς κατὰ συγχώρησιν τούτους προδεδωκέναι,
μὴ συνεῖναι τοῖς παισὶ κατασκευάσει τοῖσδε·
ἐλέγχων ἀπαιτήσει τε, βουλήσει, καὶ δυνάμει·
καὶ πρόσγε τοῦ διώκοντος ἀπ' ἀρχῆς εἰς τέλος.
αὐτὸς τῇ μεταθέσει μὴ χρήσεται τῆς αἰτίας,
καὶ ἀντιλήψει σὺν αὐτοῖς τοῖς τρόποις οἷς ἐμπίπτει.
εἴ πῃ δ' ἐκ τούτων δέδεικται ψευδὴς ἡ προδοσία,
κἂν δὲ προδότας δώσω τοὺς παῖδας γεγονέναι,
τίνες ἡμᾶς ἐλέγχουσιν ἐκείνοις συνειδέναι;
οὐκ ἦν εἰκὸς φιλόπατριν τοιαῦτα βουληθῆναι·
μάταιον δὲ καὶ βούλεσθαι τοῦ δύνασθαι μὴ ὄντος [a].
σὺ δὲ τὴν ἐκ τοῦ πάθους μοι σιγὴν μηδόλως συκοφάντει·
ἐξῆν μὲν πλούσιος ἐξ ἧς οὕτω παθαινομένῳ
ἐξ ἀπορίας σιωπᾶν, μὴ συγκροτεῖν δὲ δίκας·
ἄλλως τε δεδοικότι σου καὶ τὸν ὠμὸν τὸν τρόπον,
καὶ τὸ τοῦ πλούτου δυνατὸν, οἳ οὐδὲ νῦν οἰκτείρεις
τοσαύταις συντριβέντα με ταῖς συμφοραῖς εἰς κόρον·
ἀλλά γε με πρὸς βήματα καὶ δικαστὰς καθέλκεις·
ἀνθ' ὧν σιγῶ ταῖς συμφοραῖς ὡς τῇ γνωσιμαχίᾳ*.

Τοῦ Τζέτζου περὶ Ὅρου.

Ὁ τεχνικὸς τῶν στοχασμῶν εἴδη σοι δοὺς ἐννέα
ἐκ τῶν ἁπλῶν τὰ τρία μὲν, τῶν δὲ διπλῶν τὰ τρία,
καὶ τρία πάλιν τῶν διπλῶν καὶ τῶν συνεζευγμένων,
ἤδη λοιπὸν κατάρχεται καὶ περὶ ὅρου λέγειν.
τεσσάρων γὰρ ὄντων ὡς εἴπομεν τῶν ζητημάτων,
εἰ ἔστι, καὶ τὸ τί ἐστιν, ὁποῖον, καὶ διατί τε.
εἰ ἔστι τὸ κρινόμενον ἐν στοχασμῷ ζητοῦμεν·
ἐν ὅρῳ δὲ τὸ τί ἐστι, ὃ δεύτερον ζητοῦμεν·

* γνωσιμαχία ἐστὶ τὸ παύσασθαι τινὰ τῆς ἔριδος γνόντα ὅτι πρὸς κρείττονα ποιεῖται τὴν μάχην.

[a] ὄντας Cod.

τὸ δὲ ὁποῖον τί ἐστι ἐν στάσεσι ταῖς ἄλλαις·
καὶ ἄλλως οὕτω τίθησιν ὁ τεχνικὸς τὰς στάσεις.
ἐν στοχασμῷ τὸ ἔγκλημα τοῦ ἀφανοῦς πέφυκεν·
ἐν ὅρῳ δὲ τὸ ἔγκλημα ὢν ἀτελοῦς ὑπάρχει·
ἐν δὲ ταῖς ἄλλαις δώδεκα στάσεσι τῶν τελείων.
τὰ ἀφανῆ δὲ πρότερα τῶν φανερῶν ὑπάρχει.
εἶτα φανέντι γίνεται τῶν ἀτελῶν μὲν πρῶτον,
ἔπειτα τελείωσιν ἐξ ἀτελοῦς λαμβάνει.
οὕτω λοιπὸν ὁ τεχνικὸς ταῦτα καλλίστως γράφει.
Ὁ ὅρος δὲ διαιρεῖται τῇ προβολῇ καὶ τῷ ὅρῳ.
δώδεκα τὰ κεφαλαῖα τυγχάνουσι τοῦ ὅρου.
εἰ μὴ δυσὶν ἢ καὶ τρισὶν εἴτε καὶ πᾶσιν ἅμα
τισὶ τῆς ἀντιθέσεως χρήσεται κεφαλαίοις.
ὧνπερ τὰ τέσσαρα φησὶν εἶναι τοῦ κατηγόρου.
εἰσὶ δὲ καὶ τοῦ φεύγοντος, ἐν οἷς πέρ τις αἰτεῖται·
τεώς τὰ τέσσαρα φησὶν τοῦ κατηγόρου ταῦτα·
τὴν προβολὴν, ἀνθορισμὸν, καὶ τὸν συλλόγον δὲ,
τετάρτην τὴν μετάληψιν· τοῦ φεύγοντος δὲ τρία.
τὸν ὅρον ἀντιθετικὸν, ἀντίληψιν σὺν ταύταις.
κοινὰ τὰ πέντε ταῦτα δὲ κεφαλαῖα τυγχάνει·
ἡ πηλικότης πρός τί τε καὶ γνώμη νομοθέτου,
καὶ ἡ ποιότης σὺν αὐτῇ, καὶ γνώμη σὺν ταύταις.
Ἡ προβολή ἐστιν αὐτὰ τὰ ἀπ' ἀρχῆς εἰς τέλος.
τί διαφέρει προβολὴ τοῦ ἀπ' ἀρχῆς εἰς τέλος,
ὁ σοφιστὴς Ἀφθόνιος διαφορὰν πρὶν εἶπε·
μόνης τῆς διηγήσεως καὶ τῶν διηγημάτων.
ἡμεῖς δὲ ταῦτα προὔφημεν ἀλλήλων διαφέρειν,
διήγησιν, διήγημα, διηγηματικόν τε,
καὶ προβολὴν, καὶ αὔξησιν, καὶ ἀπ' ἀρχῆς εἰς τέλος,
διασκευὴν ἐναργῆ σὺν τῇ διατυπώσει,
καὶ ἔκφρασιν καὶ χρείαν δὲ, τἄλλα γὰρ ἐατέον.
μέρος μὲν τὸ διήγημα, ὅλον αἱ διηγήσεις.
τοῦ δέ γε διηγήματος τμῆμα τῶν βραχυτάτων.
τόγε διηγηματικὸν, ὅπέρ ἐστι καὶ σχῆμα.

ὡς Ὅμηρος. ἦν δέ τις ἐν Τρώεσσι Δάρης ἀφνειὸς ἀμύμων.
αὐξητικὴ διήγησις, ἥπερ αἰολὴ τυγχάνει·
ἡ δ' αὔξησις ἀπόδειξις ὀγκοῦσα τὰ πραχθέντα·
τὰ ἀπ' ἀρχῆς εἰς τέλος δὲ πραγμάτων ἀποδείξεις.
κατασκευαῖς πιστοῦντα μὲν πλὴν οὐκ ὀγκοῦντα ταῦτα·
διασκευὴ ἐναργὴς σὺν τῇ διατυπώσει,
ἥ τις καὶ ὑποτύπωσις ἅμα ὑπογραπτέον.
καὶ ἔκφρασις δὲ λέγεται κλήσεως εξων * * *
λεπτομερὴς διήγησίς ἐστιν ἠκριβωμένη.
Ἡ προβολὴ τοῦ πράγματος ἡ πρότασις[a] ὑπάρχει,
ἀπόφασις ὑπάρχουσα σύντομος καὶ βραχεῖα
τῶν ὧνπέρ τις προείρηκεν ἔντε τῇ καταστάσει·
τῇ διηγήσει δέον δὲ τὴν προβολὴν συμπλέκειν,
ὡς ἂν ἅπερ εἰρήκαμεν ψιλῶς τῇ διηγήσει,
αὐξήσομεν τῇ προβολῇ κεφαλαιοῦντες ταῦτα.
τὴν προβολὴν δ' εἰσάγομεν αὔξοντες περιστάσει.
Ἡ προβολὴ προτάττεται τῶν ἄλλων κεφαλαίων,
ὡς ἔρεισμα καὶ πρότασις οὖσα τοῦ κατηγόρου.
μὴ γὰρ τελείσης προβολῆς, ἐκλέλοιπε καί τ' ἄλλα.
ὁ ὅρος δευτερεύει δὲ τὴν προβολὴν ὡς * * *
ἀνθορισμὸς, συλλογὴ πίπτουσι δὲ μεθ' ὅρον·
ταυτὶ γὰρ ἄμφω λυτικὰ κεφαλαῖα τοῦ ὅρου.
ἀνθορισμὸς κατάστασις, λύει δὲ γὰρ τὸν ὅρον·
κατὰ δ' ἀντιπαράστασιν συλλογὴ πῶς λύει.
ἡ γνώμη νομοθέτου δὲ τῶν ἀμφιβόλων οὖσα,
ἕλκει δὲ γὰρ ἑκάτερος πρὸς τὸ δοκοῦν ἐκείνῳ,
τέτακται τῶν πιστωτικῶν ὑστέρων κεφαλαίων.
ἡ πηλικότης ἔπειτα τίθεται καὶ τὸ πρός τι,
ὡς ὄντα τοῦ αὐξητικοῦ· πρῶτα γάρ τις δεικνύει,
ἔπειτα μετ' ἀπόδειξιν εἰσάγει τὰς αὐξήσεις.
εἶτα καὶ ἡ ἀντίθεσις, οὐ γὰρ ἀεὶ ἐμπίπτει.
ἑξῆς δὲ μετάληψις, ἀντίθεσιν γὰρ λύει.
εἶτα καὶ ἡ ἀντίθεσις, μετάληψιν γὰρ λύει.

[a] προτι. (αδ above) Cod.

ποιότης δὲ καὶ ἡ γνώμη δὲ πάντων ὑστέρα πίπτει,
ὡς ἐπιλογικώτατα τῶν ἄλλων κεφαλαίων.
ἴσθι δ' ὡς ὁ κατήγορος αὐχῶν τοῖς πεπραγμένοις,
δυσὶ ταῦτα τοῖς τρόποις μὲν παράγει τε καὶ λέγει.
τῇ προβολῇ μὲν πρώτιστα καὶ πηλικότητι δέ·
ὁ φεύγων δ' ὅρον τίθησι πρὸς τὰ τῆς προβολῆς μὲν,
πρὸς τὰ δ' ἐν πηλικότητι ἀντίθεσιν ἐπάγει·
καὶ πρὸς τὰ ἐν τοῖς πρός τι δὲ ἐκείνῳ λελεγμένα.
Γνώμη τοῦ νομοθέτου δὲ οὕτως εἰσάγειν δέον,
εἴπερ ἐμπέσῃ τι ῥητὸν ὑπὲρ ἡμῶν ὑπάρχει,
οὐ μόνον δεῖ τοῖς δικασταῖς ἀναγινώσκειν τοῦτο,
ἀλλὰ καὶ ἐπανάληψιν τούτου ποιεῖσθαι πάλιν,
καὶ νομοθέτου ἔπαινον, καὶ τότε κατὰ λέξιν
τὴν γνώμην διεξέρχεσθαι χρεὼν τοῦ νομοθέτου,
ἐξετάζοντες ἅπερ εἰσὶν ἐν ταύτῃ γεγραμμένα.
οἷον· ἄνδρες ἠκούσατε τοῦδε τανῦν τοῦ νόμου.
γνῶτε δ' ὡς σφόδρα εὐσεβῶν εἶχεν ὁ γράψας τοῦτον·
τὸν ἱερόσυλον φησὶν πετρῶν ἐκ Φαιδριάδων
λαμβάνειν τὴν προσήκουσαν τίσιν ἱεροσύλοις,
τοῖς ἐξ ἀβάτων ἱερὸν σεσυληκόσι πράγος.
οὕτω τὴν γνώμην ἄγομεν ἡμῖν λυσιτελοῦσαν.
ἂν καθ' ἡμῶν ὑπάρχῃ δὲ παραιτητέον τότε.
τὴν καθ' ἡμῶν ἐξέτασιν καθολικῶς φαμὲν δὲ,
τοῦ νομοθέτου τὸν σκοπὸν, πρὸς τὸ ἡμῖν συμφέρον.
διαφορὰν ἐγκλήματος ἴσασι νομοθέται,
καὶ ἀναλόγους πράξεσι τεθείκασι τὰς κρίσεις.
οὐ κρίνουσι βουλεύματα καὶ τρόπους ἀλλὰ πράξεις.
Ἡ δὲ ἀντίθεσις φησὶν οὐ πέπτωκεν ἐνταῦθα·
τὰ μὲν πρὸ τοῦ κεφαλαίου τοῖς ὅροις ἀεὶ πίπτει.
ἡ δὲ ἀντίθεσις ἐστὶν ἐκ τοῦ ποτὲ λειπόντων.
ἐγὼ κἀνταῦθα δέ φημι ἀντίθεσιν ἐμπίπτειν·
εἴτ' οὖν κατ' ἀντέγκλησιν, ὡς ἐπὶ τοῦ εὐνούχου
καὶ τοῦ ἱεροκλέπτου δὲ, οὗ πίπτει καὶ συγγνώμη·
ἀντίθεσιν γὰρ θετικὴν ἐρεῖ δὲ τοιῶς δέ πως·

ἄξιος δωρεᾶς εἰμὶ καὶ δεῖ λαβεῖν μετ' αὐτήν.
εἴτε καὶ κατ' ἀντέγκλησιν ἐρεῖ τοιουτοτρόπως.
ὁ μὲν γενναῖος οὑτοσὶ μάτην ἀντεγκαλεῖ μοι,
ὡς τυραννίδα πείσαντι σφαγῶν ἄτερ καὶ φόνων.
ἄξιον δ' εἶναί με φησὶν τοῦ γέρως στερηθῆναι.
οὕτως ἐστὶν ἀντίθεσις κἀνταῦθα τιθεμένη,
ὥσπερ περὶ μεταθέσεως, πρότερον γάρ σοι ἔφην.
ἔξοχα[c] δὲ ἀντίθεσιν εἴωθε παρεμπίπτειν
κατὰ ῥητοδιάνοιαν ὡς προείπομεν, ἢ θέσιν,
καὶ κατ' αὐτὴν τὴν τετρακτὺν τῶν ἀντιθετικῶν δέ·
ἀντίστασιν, ἀντέγκλημα, μετάστασιν, συγγνώμην.
Ἡ δὲ ποιότης μέση μὲν αὐτὴ τῶν κεφαλαίων
ὑπάρχει τῶν πιστωτικῶν καὶ τῶν ἐπαυξανόντων.
ἤγουν τῶν ἀγωνιστικῶν, τῶν ἐπιλογικῶν τε·
οὔτε τελέως γάρ ἐστιν ἐκ τῶν ἐναγωνίων·
τὰ ἔξω γὰρ τοῦ πράγματος τὸν πρώην ζητεῖ βίον
οὔτ' οὖν τοῦ ἐπιλογικοῦ, αὔξει γὰρ μόνον ταῦτα·
ἡ δὲ ποιότης ἐκ τοῦ πρὶν σπεύδει παρόντι δεῖξαι.

[c] Sic.

ΤΟΥ ΤΖΕΤΖΟΥ ΕΙΣ ΣΤΑΣΕΙΣ.

Περὶ τῶν εἰδῶν τοῦ στοχασμοῦ.

ἘΛΕΓΧΩΝ ἡ ἀπαίτησις ἐκλέλοιπεν ἐνθάδε·
εἰ γὰρ ὁ ἕτερος αὐτῶν ἀπαιτηθῇ ἐλέγχους,
ἀνταπαιτήσει καὶ αὐτὸς ὁμοίως τοὺς ἐλέγχους.
οὐ μόνον δὲ ἀπαίτησις ἐκλείπει τῶν ἐλέγχων·
καὶ βούλησις καὶ δύναμις ἰσάζει γὰρ πολλάκις,
καὶ ταυτὴν παραλείψομεν ἰσάζουσαν εὑρόντες,
κἂν κρίνον τὸ πρόσωπον ὅπερ τῶν παραδόξων.
τοῦ δὲ διττῶς ἡ δύναμις τοιαύτη πῶς τυγχάνει.
ἐνδέχεται τὸν λέγοντα διπλοῦς ποιεῖσθαι λόγους·
κατὰ ταυτὸν ὑπὲρ αὐτοῦ καὶ κατὰ ἀντιδίκων·
οἷον, ἐμὲ μὲν οὐκ εἰκὸς ὑπῆρχε βουληθῆναι.
τόδε ποιεῖται διὰ τό· σὲ δὲ εἰκὸς ὑπῆρχε
καὶ δυνηθῆναι, οὐκ εἰκὸς ἦν ἐμὲ πρᾶξαι τόδε.
σὲ δὲ εἰκὸς ἦν διὰ τὸ δύνασθαι πρᾶξαι τοῦτο.
οὕτω διπλῶς προάγεσθαι χρεὼν φησὶ τοὺς λόγους,
κατὰ ἀντιπαράθεσιν τὴν πρὸς τοὺς ἀντιδίκους·
τοῦτο γὰρ σύντομόν ἐστι καὶ τῶν ἐναγωνίων,
τὸ ἓν πρὸς ἓν κεφαλαῖον λέγοντα ἀντιτείνειν.
ἄτεχνον δὲ τὸ διελθεῖν πᾶσαν ἀπολογίαν,
καὶ μετ᾽ αὐτὴν ἰδία δὲ τὰ τῆς κατηγορίας.

Καλῶς σημεῖα ἔγραψε καὶ οὐ σημεῖον εἶπε·
τῷ καθ᾽ ἑνὶ γὰρ στοχασμῷ κ᾽ἂν ἓν σημεῖον κεῖται·
ὅμως σημεῖα γίνονται· πολλοὶ οἱ στοχασμοὶ γάρ·
καὶ ὅτι δύο γίνονται σημεῖα οἷσπερ λέγειν,
ὥσπερ φησὶν Εὐστάθιος, ἡμέτερον τὸ πρίν δε.

Τάχα δ' ἂν εἴδη στοχασμῶν προσευρέθη καὶ ἄλλα·
ἑκὼν δὲ ἄλλα στοχασμῶν εἴδη παραλιμπάνει.·
αὐτό τε τὸ κατ' αἴτησιν τῶν δώρων ὑπηργμένον·
οἷον, τοῦ μάγου τοῦ σκήπτρου τὸν τύραννον κτανόντος.
καὶ τὸ κατ' ἀμφισβήτησιν τῶν δώρων ὑπηργμένον·
οἷον, τῶν δύο ἰατρῶν πόλεως καὶ τυράννου.
καὶ γὰρ καὶ ταῦτα τοῖς αὐτοῖς τέμνονται κεφαλαίοις.
εὐθὺς γὰρ τὸ κατ' αἴτησιν δώρων ὑπηργμένον.
ὡς οἱ ἁπλοῖ τῶν στοχασμῶν διαίρεσιν λαμβάνει·
μόνης τῆς ἀπαιτήσεως λειπούσης τῶν ἐλέγχων.
τὸ δὲ κατ' ἀμφισβήτησιν τῶν δώρων ὑπηργμένον·
ὡς οἱ διπλοῖ τῶν στοχασμῶν οἱ κατὰ ἀντεγκλήσεις.

Περὶ Ὅρου.

Πόθεν ὅρος τὸ πραχθὲν λέγεται διαστέλλειν;
ἀπόγε τοῦ ὀνόματος αὐτῶν τῶν ἐγκλημάτων.
ἕτερον γὰρ δεικνύει τι τῶν πεπραγμένων,
οὗ ὁ αἰτῶν τὴν δωρεὰν ὀνόματος προβάλλει,
τοῦ οὗπερ ὁ κατήγορος ἐγκλήματος εἰσφέρει.
ἐρεῖ γὰρ κλέψ οὐ συλητὴς τοῦ ἱεροῦ τυγχάνω·
καθάπερ ὁ κατήγορος αὔξων τὸ πρᾶγμα λέγει.
οὐκ ἔστιν ἱερόσυλος κατήγορος ὁ κλέπτων.
πρᾶγμα ἰδιωτικὸν καὶ μὴ θεοῖς ἀνῆκον.
ὁ δὲ συλῶν τὰ τῶν θεῶν εἴτε τὰ τῶν ἡρώων.
ἀνθορισμὸς δὲ γίνεται πάλιν ἐκ πεπραγμένων.
ἐνταῦθα τὸν ἀνθορισμὸν ἀδύνατον τεθῆναι.
πῶς γὰρ οὐχ ἱερόσυλον ἐρεῖς τὸν θεοσύλαν;
καθόλου δ' ὅνπερ ἔφημεν τρόπον τῇ μεταλήψει,
μάχεσθαι τὴν ἀντίληψιν κατὰ ταυτὸν ὁμοίως.
ὥσπερ γὰρ τὰ κεφαλαῖα ταῦτα τῶν ἐναντίων·
καὶ ὅρος καὶ συλλογισμός εἰσι τῶν ἐναντίων.
ἂν ἀντιλήψει χρῆται γὰρ ὁ εἷς τῶν ἀντιδίκων,
τῇ μεταλήψει ἕτερος φαίνεται κεχρημένος.
κ' ἂν μεταλήψει χρήσεται, ἕτερος ἀντιλήψει.

οὕτως ἐστὶ κ' ἂν ὅρῳτε καὶ τῷ συλλογισμῷ δέ·
εἷς γὰρ χρήσεται ἑνὶ, ἅτερος ἄλλῳ χρῆται·
ἐκεῖ γὰρ ὁ κατήγορος τὴν προβολὴν ἐκτρέπων,
τοῦ φιλοσόφου ὁριεῖ οὐ τυραννοκτονίαν·
τὴν προβολὴν ἐκτρέπει δὲ ὅρῳ τοῦ κατηγόρου·
ἐξ ἱεροῦ ὁ κεκλοφὼς ἰδιωτῶν τι πρᾶγμα.
τὰ ὁρικὰ κεφαλαῖα τὰ τῶν ἀποδεικνύντων
μέχρι τοῦ συμπληρώματος ὑπῆρχε τοῦ τῆς γνώμης.
ἡ πηλικότης δὲ αὐτὴ καὶ σὺν αὐτῇ τὰ πρός τι
αὐξητικὰ κεφαλαῖα τυγχάνουσι τῶν ὅρων·
μέγα μὲν ὁ κατήγορος ἢ ὁ αἰτῶν τι δείξει·
οἷον, πολὺ τὸ βλάβος μὲν ἢ ὄφελος ἐντεῦθεν.
ὁ φεύγων τοῦτο σπεύσει δὲ δεῖξαι τῶν ἐλαττόνων·
οἷον, οὐ μέγα τὸ πραχθὲν οὐδὲ τῶν δημοσίων.
τὸ πρός τι δὲ συγκριτικὸν, ὅτι καὶ μεῖζον τοῦτο
οἷς λέγει νῦν ὁ τεχνικὸς, ἁρμόζει δὲ τὸ μεῖζον
ἐπὶ κατηγορούντων τε καὶ δωρεὰν αἰτούντων·
ἔν τισι δὲ ζητήμασιν ἀπίθανον τὸ μεῖζον.
πῶς γὰρ ἂν μεῖζον ἡ κλοπὴ τῆς ἱεροσυλίας;
ἰσοποιεῖν δ' ἁρμόδιον ἐν τοῖς τοιούτοις ἄμφω
ἐξ ἱεροῦ τι ἀφελεῖν ἴσον θεοσυλίᾳ·
οὕτω μὲν ὁ κατήγορος ἢ ὁ αἰτῶν ἐροῦσιν.
ὁ φεύγων δὲ ὡς προέφημεν πάλιν μειώσει τοῦτο·
λέγων μὴ μέγα πραχθὲν, μήδ' ἴσον τῷ καὶ τῷδε.

Ἕπεται δὲ μετάληψις τούτῳ τῷ κεφαλαίῳ·
λύει γὰρ ἀντίθεσιν ὡς γράφει κανὼν ῥήτωρ·
ἀντίθεσις ἐμπίπτουσα λύεται μεταλήψει·
λύσις δὲ μεταλήψεως ἀντίληψις ὑπάρχει.

Τὸ ἀπὸ πάντων νόει μοι τοῦ ἁρμοδίου λέγειν·
προσώπῳ δὲ ὑπόκειται κρίσει τῷ προκειμένῳ·
τὴν καταρχὴν δ' ἐκ πράξεων πρώτιστα ποιητέον.
χρὴ γὰρ ἂν περὶ πράγματος ἡ ζήτησις ὑπάρχῃ,

ἀρχὴν τῶν ἐγκωμιαστικῶν ἐκ πράξεων λαμβάνειν·
εἶτα τὰ ἐκ τοῦ γένους δὲ χρεὼν παρεπεισφέρειν,
αἰνοῦντας ἢ κακίζοντας, ὥσπερ φησὶν ἡ τέχνη.

Πάτρασι παρεπόμενα καὶ τὰ παρακολουθοῦντα·
χρηστότης, ἐπιείκεια, φιλοστοργία τέκνων·
νέοις δὲ παρεπόμενα, θυμὸς, θράσος καί τ' ἄλλα·
τοῖς δὲ πλουτοῦσιν, ἔπαρσις, δύναμίς τε καὶ τύφος·

Στοχαστικῶς ἐτάσομεν ἀπὸ τοῦ νῦν πραχθέντος·
εἰ γὰρ τὸ νῦν πραχθέν ἐστι τῶν μισητῶν καὶ φαυλῶν,
στοχαστικῶς ἐλέγχεται πάντως ὁ πράξας τόδε τοῦτο·
ὡς ἦν, ἐστὶ, καὶ ἔσεται ποιότητος τῶν φαύλων·
εἰ δὲ χρηστὸν τὸ νῦν πραχθὲν, χρηστῆς γνώμης ὁ πράξας.

Ὡσαύτως ἐξετάσομεν καὶ γνώμην ἐπ' ἀμφοῖν δὲ
ὁμοίως τῇ ποιότητι, καὶ γνώμην ἐταστέον
ἐπί τε φαύλων καὶ χρηστῶν πραγμάτων πεπραγμένων·
λέγομεν τὸ δὲ γὰρ χρηστὸν χρηστῇ πεπράχθαι γνώμῃ·
εἴτε τουτὶ τὸ φαῦλον μὲν ἐν φαυλῇ διανοίᾳ,
καὶ τὰς χρηστὰς πράξεις ποτὲ γνώμῃ ὡς διαβαλοῦμεν,
τὰς φαύλας τε συστήσομεν ὁμοίως ἀπὸ γνώμης·
λέγοντες πρᾶξαι τὸ χρηστὸν τοῦτο κακίστῃ γνώμῃ,
ὡς πρὶν ἡ Δηϊάνειρα φαύλως χρηστὰ μνωμένη·
καὶ ὁ κατήγορος ἐρεῖ τὴν γνώμην ἐξετάζων,
ποίᾳ γνώμῃ πεποίηκεν ὁ πεπραχὼς τὸ πρᾶγμα·
ὁ φεύγων πάλιν εἴπῃ δὲ περὶ τοῦ κατηγόρου,
γνώμῃ ποίᾳ κατηγορεῖ ἢ ποίᾳ ἀντιλέγει·
οἴεται δὲ Γεώργιος ποιότητα καὶ γνώμην
ὑπάρχειν μοι καὶ τὸ αὐτὸν, ἀλλ' ἁμαρτάνει πλεῖστον·
ἡ γὰρ ποιότης τὸ ποιὸν τοῦ πράγματος ὑπάρχει
χρηστὸν ἢ φαῦλον τὸ πραχθὲν εἴτε τῶν ματαιοτάτων·
ἡ γνώμη δὲ τοῦ πράξαντος πάντως ἐστὶν ὁ τρόπος·
πράττεται πρᾶγμα γὰρ χρηστὸν φαύλῳ πολλάκις τρόπῳ·
καὶ φαῦλον τρόπῳ δὲ χρηστῷ καθάπερ πρὶν εἰρήκειν.

Κοινὴ ποιότης εἴρηται διὰ πολλὰς αἰτίας,
ἢ ὡς κοινὸν τοῦ φεύγοντος καὶ τοῦ κατηγοροῦντος,
ἢ ὡς κοινῶν τῶν στάσεων τῶν ἁπασῶν ὑπάρχον·
ἢ ὅτι τοῦ ἐγκλήματος ἐν κεφαλαίῳ τῷδε
κοινὸν τόπον ποιούμεθα μοιχείας ἢ καὶ φόνου.
ποιότης δὲ ποιότητος κοινῆς τί διαφέρει;
ἡ μὲν ποιότης ἔχει γὰρ τὸν προλαβόντα βίον,
ἐκ τῶν τριῶν λαμβάνει δὲ χρόνων τὴν ἐργασίαν·
καὶ ἐκ τοῦ γένους πρώτιστα τὴν καταρχὴν ποιεῖται·
ἡ δὲ ποιότης ἡ κοινὴ κατὰ μὲν πρῶτον λόγον
τάγε πρὸς τὴν ὑπόθεσιν ἔχει τὴν προκειμένην·
κατάρχεται δευτέρῳ δὲ λόγῳ τῶν ἐγκωμίων,
ἀπὸ τῶν πράξεων αὐτῶν οὐ μὴν ἀπὸ τοῦ γένους·
καὶ τρίτον διαφέρει δὲ κοινὴ καὶ τῇ ἐκ μέρους,
ἥνπερ κοινὴν ποιότητα φησὶν ὁ τεχνόγραφος
ἐν ὅροις εἶναι σύμμικτον ποιότητα καὶ γνώμῃ·
τὸ λέγειν γὰρ εἰ ἀφεθῇ τῷ μέλλοντι τίς ἔσται;
εἰ καὶ ποιότητος ἐστὶ προσώπα καὶ τῆς γνώμης·
ἀλλ' οὖν ὡς ἐπιλογικὸν καὶ τῶν τελικωτάτων
καὶ τῆς κοινῆς ποιότητος τὸ γνώρισμα δεικνύει.

Εἰπὼν δὲ τῇ ποιότητι προσέθετο προσώπου·
ὑπεξαίρων τοῦ πράγματος ποιότητα τὴν πρωτήν·
ἔστι γὰρ ποιότης ὁμοῦ πράγματος καὶ προσώπου·
ἀλλ' ἡ τοῦ πράγματος πολὺ τῆς γνώμης διαφέρει,
ὡς πρὸ βραχέος ἔδειξα Γεώργιον ἐλέγχων·
οὐχ ἧττον δὲ καὶ τοὺς λοιποὺς ἐξ ἐλεγμῷ τῷ τούτου.
ἡ τοῦ προσώπου δὲ ταυτὸν καὶ ἕν ἐστι τῇ γνώμῃ·
ὡς ἂν κ' ἂν τούτῳ δώσομεν Γεωργίῳ τι λέγειν.
ἐπεὶ καὶ τῆς ποιότητος προσώπου πρὸς τὴν γνώμην
διαφορὰ καθέστηκεν, ἥνπερ τὸ πρὶν εἰρήκειν·
ὑπάρχειν δὲ ποιότητος πράγματος πρὸς τὴν γνώμην·
χρηστὸς γὰρ ἄνθρωπος ἐστὶ πράττων χρηστόν τι πρᾶγμα·
καὶ φαῦλος φαῦλα πράττων δὲ, εἴτε χρηστός τι φαῦλον·

καὶ πονηρὸς δέ τι χρηστὸν, τοῦτο δὲ γνώμῃ πράττει,
ἢ τῷ προσώπῳ προσφυεῖ εἴτε καὶ ἀλλοτρίᾳ·
πῶς οὖν ταυτόν τις δόξειε ποιότητα καὶ γνώμην;

Καὶ πρῶτος ὁ καλούμενος ἐστὶν ἀντονομάζων·
τὸ πρῶτος νῦν οὐ τακτέον· ἀντ' ἀριθμοῦ δὲ κεῖται·
τουτέστιν εἷς καλούμενος κλῆσιν ἀντονομάζων.

Τὸ δεύτερον οὐ τακτέον· ἀντ' ἀριθμοῦ δὲ κεῖται·
ἐν εἴδεσιν οὐκ ἔστι γὰρ τὸ δεύτερόν τι καὶ πρῶτον·
λέγεται κατὰ σύλληψιν· τοῦτο δὲ ὅρου εἶδος·
ὅτι ἀντονομάζοντος τοῦ φεύγοντος ἐν τούτῳ
δείκνυσιν ὁ κατήγορος ἔνοχον ἀμφοτέρων·
αὐτῇ τῇ βίᾳ τετύχειν καὶ δημοσίᾳ βλάβῃ·
οὐ μὴν τὸ ἧττον ἀναιρεῖ, ἤγουν τὸ κλέπτην εἶναι·
τὸ μεῖζον δ' εἶναι δίδωσιν, ἤγουν ἱεροσύλαν·
ὡς τῷ ἀντονομάζοντι πάντως ἐποίει ὅρῳ.

Ὅρου τοῦ κατὰ σύλληψιν διαφοράν μοι μάθε
πρὸς τὸν ἀντονομάζοντα, ἥτις ἐστὶ τοιάδε·
ἐν τῷ ἀντονομάζοντι ἀκολουθεῖ μὲν φύσει
τὸ πρᾶγμα τῷ ἐγκλήματι, ὡς ἴσασιν οἱ πάντες·
ἡ ἱεροσυλία γὰρ πάντως κλοπὴ τυγχάνει·
ὥσπερ ὁ βοῦς καὶ ἄνθρωπος πάντως τυγχάνει ζῷα·
ἐν δὲ τῷ κατὰ σύλληψιν ἀκολουθεῖ οὐδόλως·
ἡ βία γὰρ δημόσιον ἀδίκημα οὐκ ἔστι
φύσει· ὡς ἱερόσυλος φύσει τυγχάνει κλέπτης·
γίνεται δὲ δημόσιον ἀδίκημα ἡ βία,
διὰ περίστασιν τινὰ ὡς καὶ μυρία ἄλλα.
πῶς τὸν ἀντονομάζοντα τὸν ὅρον κεκτημένον
ἑπόμενον τῷ πράγματι τὸ ἔγκλημα οὐ λέγεις
καλεῖσθαι κατὰ σύλληψιν, ἀλλὰ τὸν ἄλλον μᾶλλον,
ἐν ᾧπερ διεστήκασι τὸ ἔγκλημα καὶ πρᾶγμα;
ἀτέχνου τοῦτο ῥήτορος, τὸ φύσει συνημμένα

καὶ μὴ τὰ διεστῶτα δὲ λόγοις ἑνοῦν πειρᾶσθαι·
τὸ φύσει συνημμένον γὰρ ἥνωται δίχα τέχνης.

Πρεσβεύων τις παρέθετο τῷ στρατηγῷ τὴν παῖδα·
ἡ προβολὴ ἁπλῆ ἐστὶν ἐμπίπτουσα ἐνταῦθα·
ἠδίκησας ὦ στρατηγὲ τὴν πόλιν δημοσίᾳ,
εἰ τοῦ πρεσβευτοῦ ταύτης γὰρ τὴν κόρην ἐβιάσω·
ὁ ὅρος, οὐκ ἠδίκησα τὴν πόλιν δημοσίᾳ·
βίαιος πάντως δὲ εἰμὶ, βίαιος γὰρ ὑπάρχει
ὁ κόρην βιασάμενος, βλάπτει δὲ δημοσίᾳ
ὁ ναῦς ἐχθροῖς προδεδωκὼς, ὁ τείχη κατασκάψας·
λοιπὸν ὑπάρχω βίαιος, οὐ δημόσια βλάψας.
ἀνθορισμὸς, κατάδηλον ὡς βίαιος ὑπάρχει
ὁ κόρην βιασάμενος, βλάπτει δὲ δημοσίᾳ
ὁ ναῦς ἐχθροῖς προδεδωκὼς, ἢ τείχη κατασκάψας·
ὁμοῦ δὲ σὺ καὶ βίαιος καὶ δημοσίᾳ βλάπτων·
ὡς μὲν οὖν βιασάμενος, βίαιος εἰ τὴν κόρην·
ὡς δ' ἣν θυγατὴρ πρεσβευτοῦ ἔβλαψας δημοσίᾳ·
τὸ γὰρ ἁπλῶς βιάσασθαι τοῦ τυχοῦσαν γυναῖκα
ἔχει πολὺ διάφορον τοῦ ναῦς ἐχθροῖς προδοῦναι·
ἂν δ' ἔστι κόρη πρεσβευτοῦ, τοῦτο οὐ διαφέρει·
γνώμη τοῦ νομοθέτου δὲ καὶ τὰ λοιπὸν ὁμοίως
ὡς τῷ ἀντονομάζοντι ἐγκείμενα ὑπῆρχεν.
ὁ κατὰ σύλληψιν αὐτῷ τοῖς πᾶσι κοινωνεῖ γάρ·
ἀνθορισμοῦ κεφάλαιον ἔχει τι διαφέρον·
ἐν τῷ ἀντονομάζοντι τὸ ἀνθοριστικὸν γὰρ
ἓν πάντως ἀναιρετικὸν τῶν δύο ζητημάτων.
ἐν δὲ τῷ κατὰ σύλληψιν τὰ δύο συλλαμβάνει.
διὸ τὸν κατὰ σύλληψιν ὁ τεχνόγραφος εἶπε
πρὸς τὸν ἀντονομάζοντα τοῦτο κεκτῆσθαι πλέον.
τὸ πλέον δὲ παρέλαβεν ἀντὶ παρηλλαγμένα.

Κεφάλαιον δὲ τὸν τρόπον τῶν ἐνθυμημάτων
ἐκάλεσεν, ὡς ἔκδηλον τοῖς σύμπασιν ὑπάρχει.

νῦν γὰρ τὰ ἐνθυμήματα καὶ μόνα διαλλάττει
πρὸς τὸν ἀντονομάζοντα, κεφάλαια δὲ ταῦτα
πῶς τὸν ἀντονομάζοντα διάφορον ὑπάρχειν
πρὸς τὴν τοῦ κατὰ σύλληψιν διαίρεσιν νῦν λέγει
μὴ τεμνομένην παρ' αὐτὸν ἑτέροις κεφαλαίοις ;
ἀνθ' οὗ τὸ ἀνθοριστικὸν τοῦ ἀντονομάζοντος
ἓν πάντως ἀναιρετικὸν τῶν δύο ἐγκλημάτων.
ἐν δὲ τῷ κατὰ σύλληψιν τὰ δύο συλλαμβάνει.
ἢ ὡς κατὰ δὲ ἄλλα κεφάλαια ὁμοίως
κέκτηται τὸ διάφορον, ταῦτα γὰρ συλλαμβάνει·
ἐκεῖ δ' ἔργον διαιρεῖν, ἀλλ' οὐχὶ συλλαμβάνειν.

Ὁ μέν γε κατὰ σύλληψιν δεύτερος κατετάγη,
ὡς τῷ ἀντονομάζοντι δοκῶν παρεοικέναι
ὁ κατὰ πρόσωπα διπλοῦς, εὗρε δὲ τρίτην τάξιν
ὁ δὲ κατ' ἀμφισβήτησιν καλούμενος εἰκότως·
τοῖς πρὶν λεχθεῖσιν ὅροις γὰρ ἔστι μὲν ἐναντίος·
ἐκείνων γὰρ τῷ καθενὶ πρόσωπα ἓν ὑπῆρχε·
δύο δὲ τὰ ἐγκλήματα, νυνὶ δὲ τοὐναντίον.
ταῦτα δὲ λόγων περιττοὶ μακρηγορεῖν θελόντων.
ἡμεῖς δ' ἐν εἴδεσι φαμὲν ἀδιαφόρῳ λόγῳ
τὸ πρῶτον καὶ τὸ δεύτερον καὶ ὕστερον τετάχθαι.
εἶδος γὰρ εἴδους πρότερον ἢ δεύτερον οὐκ ἔστιν.
Ὅτ' ἂν πρᾶγμα ὁλόκληρον δυσὶν ἢ[a] πεπραγμένον
λείπει τὸ ἀνὰ μέρος νῦν· οἷον καὶ ἐπὶ τοῦδε.
τύραννον τίς ἐδίωξεν, ἄλλος τυχὼν ἀνεῖλεν·
ἀμφισβητοῦσι τοιγαροῦν τῆς δωρεᾶς οἱ δύο·
ἓν γάρ τι τέλειον ταυῦν ἐπράχθη ἀμφοτέροις·
ὁ μὲν γὰρ τούτων τὴν ἀρχὴν, ὅ δ' ἔπραξε τὸ τέλος·
ἂν δ' ἕν τι τέλειον ὁμοῦ ἐπράχθη ἀμφοτέρων·
εἴτε καὶ δύο τέλεια, ἕν γε παρ' ἑκατέρου·
ἀμφισβητοῦσι δ' ἐπ' αὐτοῖς, πραγματικὴ οὐχ ὅρος.

[a] Sic Cod.

Καὶ τοῦτον διαιρήσεις δὲ παραπλήσιον λέγει·
παραπλήσιον τοῖς διπλοῖς τοῖς κεφαλαίοις,
τοῖς ἀγωνιστικοῖς φημὶ καὶ τοῖς ἑτέροις πᾶσιν·
ὅρους ἐνταῦθα δὲ διπλοὺς οὐχὶ περιληπτέον·
ἑνὸς γὰρ ὄντος πράγματος εἷς ἐμπεσεῖται ὅρος·
ἀλλ' οὐκ ἀνεῖλες τύραννον ὁ τυραννοκτόνα·
ὃ δὲ σὺ νῦν πεποίηκας οὐ τυραννοκτονία·
συλλογισμὸς ἐνταῦθα δὲ συνόλως οὐ πίπτει
τοῖς παρειμένοις εἰς ταυτὸν συνάγων, τὸ πραχθὲν γὰρ
συνηγορῶν φανήσεται τοῖς ἀντιδίκου λόγοις·
μὴ δὲ τὸ πρός τι λέγουσι δύνασθαι πίπτειν τῇδε·
μωρὸν γὰρ τὸ τὴν δίωξιν μεῖζον τοῦ κτεῖναι λέξαι.
ἐγὼ φημὶ δὲ κάλλιστον οὐχὶ μωρὸν ὑπάρχειν·
ἡ γὰρ ἐξ ἀκροπόλεως δίωξις τοῦ τυράννου
μεῖζον[b] ἐστὶν ἀσύγκριτον τοῦ φόνου τοῦ τοιούτου.
ῥᾷστον δὲ τῷ τυχόντι γὰρ φεύγοντα τοῦτον κτεῖναι·
τὸ δ' ἐκ τῆς ἀκροπόλεως ἐλάσαι τῶν μεγίστων.
πρὸ τούτου δὲ συλλογισμὸς πάνυ κάλλιστος πίπτει·
ἴσον ἐξ ἀκροπόλεως ἐλάσαι τῷ φονεῦσαι,
εἰ τέως τις ἀντιθέτων μεῖζον οὐ κρίνει τοῦτο.

Ἐμπίπτων ὅρος λέγεται, ὅταν κατὰ τὸ πρός τι
ἕτερον ζήτημα φανῇ τὸ πρὶν κατασκευάζον·
ὃ ἐξ ἀρχῆς τοῖς σύμπασι τοῦ ὅρου κεφαλαίοις
μέχρι τοῦ πρός τι δείξαντες ἀναδραμοῦμεν πάλιν
ἐπὶ τὸ πρῶτον ζήτημα, κεφάλαια τὰ ἄλλα
κοινὰ πάντα ποιήσαντες τῶν δύο κεφαλαίων.

Τί γὰρ τὸ ἐξειπεῖν ἐστὶ ἡμῶν ἐζητηκότων;
ἤγουν τὸ λόγοις διελθεῖν ἢ καταθέσθαι μόνον·
εἴτε τὸ συναμφότερον εἰπεῖν καὶ καταθέσθαι.

ον
[b] μεῖζων Cod.

῞Οταν δύο εἰρήκειμεν ἐνταῦθα ὀνομάτων,
ἵνα τοῦ κατὰ σύλληψιν ὅρου χωρίσῃ τοῦτο·
ἐν γὰρ τῷ κατὰ σύλληψιν τὸ ἓν τῶν ὀνομάτων
ζήτησιν οὐχὶ δέχεται, δῆλον γὰρ ἀμφοτέροις·
τὸ δ' ἐφ' ἑνὸς προσώπου ἵνα χωρίσῃ τοῦτο
τῶν κατὰ πρόσωπα διπλῶν τῶν κατ' ἀμφισβητήσεις,
οἷς περ δι' ἕν τι ὄνομα μάχῃ προσώπων δύο·
οὐκ ἀντονομαζόντων δὲ ἵνα χωρίσῃ πάλιν
ἐκ τοῦ ἀντονομάζοντος, καὶ γάρ τι ἐν ἐκείνῳ
ὄνομα ἀντ' ὀνόματος εἰώθαμεν τιθέναι.
δύο δὲ νῦν κατὰ ταυτὸν ὀνόματα ζητοῦμεν,
τοῦ κατηγόρου λέγοντος ἐγκλήματα τὰ δύο·
τοῦ φεύγοντος δ' ἀπόλογον ὑπὲρ ἀμφοῖν διδόντος.
τοῦτο δὲ τοῦ ἐμπίπτοντος διάφορον πρὸς τοῦτον·
ἐκεῖ τὸ ἓν πρὸς σύστασιν λαμβάνεται θατέρου·
ἐνταῦθα τὰ ζητήματα χωρίζεται δ' ἀλλήλων·
τέλεια γὰρ ἀμφότερα καὶ καθ' αὑτα τυγχάνει·
τὸ τίς ὁ καθαρός ἐστι καὶ ὁ ἐκ καθαροῦ δὲ,
δύο γὰρ νῦν ὁ κατηγορῶν ἀποδεῖξαι σπεύδει·
πρῶτον μὲν εἶναι καθαρὸν, ὡς κτείναντα πατέρα·
δεύτερον μὴ δ' ἐκ καθαροῦ, μοιχοῦ πατρὸς φύντα·
ἃ δεῖ φεύγοντι δυσὶν ὅροις κατασκευάσαι·
ἐνταῦθα δέ γε δύνασθαι χωρὶς διαιρεθῆναι.

῞Ολον ἐστὶ τὸ δίκαιον, μέρη δὲ τοῦ δικαίου
τὸ κατὰ νόμον ἔθος τε καὶ φύσιν πεπραγμένον·
τὸ κατὰ τεχνὴν σὺν αὐτοῖς καὶ μὴ κεκωλυμένον·
μόριον ἔσχε κλῆσιν δὲ δικαίου οὐχὶ μέρος,
ὅτι ἀντίληψίς ἐστι μέρος τοῦ δικαίου,
κατασκευαῖς τῷ φεύγοντι μεγάλως βοηθοῦσα·
ἁπλῶς δὲ τοῦτο λέγομεν ἀκατασκεύῳ λόγῳ,
ἐν τάξει παραγραφικοῦ, πλὴν διαφέρει τούτου·
ἔκ τινος περιστάσεως λαμβάνει γὰρ ἐκεῖνο
προσώπου, χρόνου, πράγματος, αἰτίας, τόπου, τρόπου,

τὸ τοῦ δικαίου μόριον ἐκ τούτων δὲ λαμβάνει
ἐξ ὧν καὶ τὴν ἀντίληψιν· ἐκ νόμου τε καὶ ἔθους,
ἐκ φύσεως ἢ τέχνης τε καὶ μὴ κεκωλυμένου.

Τοῦ Τζέτζου εἰς τὸν ναυάγιον γράψας.

Ἡ ναυαγία θηλυκῶς ὁ κλύδων τῆς θαλάσσης·
τὰ δὲ μετὰ τὸν κίνδυνον φερόμενα τῷ σάλῳ
σώματα, πλοίων θραύσματα, φόρτοι, καὶ τὰ τοιαῦτα,
ναυάγια πῶς κέκληνται τὴν κλῆσιν οὐδετέρως·
ὅθεν καὶ ναυαγία νῦν· ναυάγια δ' οὐ λέγω.

Ὡς πρὶν τὸ παραγραφικὸν τὸ ἀπὸ τοῦ [c] προσώπου
πρόσωπον κατωνόμασεν, οὕτω νῦν ὅρον λέγει
τὸ παραγραφικὸν αὐτὸ τὸ ἀπὸ τῶν πραγμάτων.
ὃ κέκληται ὁρικὸν, κατὰ παραγραφὴν δε
προβολὴν ποιούμενον ἐν ὅρῳ τοῦ ἀγῶνος
ἀπὸ τοῦ οὐχ ἁρμόζοντος πράγματος τοῦ πραχθέντος.
ἐπείπερ ὁ συλλογισμὸς ὁμοῦ συμπεριέχει
ἀνθορισμὸν καὶ ὅρον δὲ, παρῆκε διὰ τοῦτο
εἰπεῖν δὲ τὸν ἀνθορισμὸν φροντίζων τοῦ συντόμου.

Πολλοῖς ἐπιχειρήμασι κατασκευάσει τοῦτο
τοῖς ἐκ τοῦ ἀδικήματος πῶς ἐπιφερομένοις.

Ἡ γνώμη νομοθέτου δὲ καλῶς εἶπεν εἰ πίπτει·
τῆς ἀντιλήψεως καὶ γὰρ πεντὲ πιπτούσης τρόποις,
ἐκ νόμου, ἔθους, φύσεως, τέχνης, μὴ εἰργομένου,
ἡ νομοθέτου γνώμη γε καθ' ἕνα πίπτει τρόπον.
ὅταν ἀπὸ τοῦ νόμου τις ἀντίληψις ἐμπίπτῃ.

Ἐν στάσει μὲν εἰ ἐγχωρεῖ· ποτ' ἐγχωρεῖ δε μάθε.
ἂν νόμος τις οὐ πρόκειται περὶ τοῦ κρινομένου.

[c] Cod. ἀπ^ν'.

ἂν δ' ἔστι νόμος βοηθῶν πράγματι τῷ πραχθέντι,
ῥήτωρ ψυχρός τις δόξειεν ἐν στάσει κεχρημένος.

Καίτοι νῦν ὁ διώκων μὲν εἰ χρῆται μεταλήψει,
ὁ φεύγων πάλιν χρήσεται πάντως τῇ ἀντιλήψει.
οὕτω φησὶν ὡς παρεικὼς ἐν τῇ ἀπαριθμήσει
τὸ νῦν τῆς ἀντιλήψεως κεφάλαιον ὃ λέγει.
ταυτὶ γὰρ τὰ κεφάλαια λύσεις εἰσὶν ἀλλήλων·
λύει γὰρ ἀντίληψιν μετάληψις ὡς ἴσμεν,
καὶ πάλιν τὴν μετάληψιν ἀντίληψις ὁμοίως.
αὕτη δὲ ἡ ἀντίληψις τῆς πρώην διαφέρει.
ἡ πρὶν γὰρ ἦν ἀντίληψις περὶ τὸ πεπραγμένον·
ἡ νῦν δὲ τῆς ποιότητος ἐστὶ τοῦ πεπραγμένου.
ὅταν τὸ πεπραγμένον δὲ διορθωθῆναι σθένῃ,
τότε καὶ μεταληπτικὸν τοῦ φεύγοντος πεσεῖται·
οἷον ἐν τῷ ζωγράφῳ σοι τοῦτο παραδεικτέον.
εἴπερ τῇ πόλει βλάβος τι συνεμπίπτον ἐκ τούτου
ἐκ τοῦ λιμένος κατασπᾶν τὸν πίνακα χρεῶδες·
καὶ μὴ πρὸς δικαστήρια καὶ κρίσεις με καθέλκειν,
καὶ δημοσίων κρίνειν με μάτην ἀδικημάτων,
καθάπερ ὁ κατήγορος τῆς συμβουλῆς τὸν τρόπον.

Ἡ θέσις τοῦ διώκοντος καὶ φεύγοντος ὑπάρχει·
ἀκόλουθος ἡ θέσις δὲ πῶς γίνεται νῦν μάθε·
ἄνπερ τὸ πεπραγμένον μὲν ὑπάρχῃ τῶν ἀδόξων,
καθάπερ ἐν ἐκπώματι τὰ περὶ Σικελίαν·
ἡ θέσις προσεφήρμοσε μόνῳ τῷ κατηγόρῳ.
ἂν δ' ἔστιν ἐνδοξότατον ὅπερ ἐπράχθη πρᾶγμα,
ὡς Δημοσθένους συμβουλῇ πρόκρισις τῶν θανόντων,
τῷ φεύγοντι προσήρμοσε πλέον ἡ θέσις τότε,
ἂν μέσον καὶ ἀμφίδοξον ᾖ δέον τὸ πεπραγμένον·
ὡς ἐπὶ τοῦ ζωγράφου νῦν ἐστὶ τῆς ναυαγίας,
ἡ θέσις προσεφήρμοσεν ἐν τοῖς δυσὶ προσώποις.

Τοῦ Τζέτζου εἰς τὸ ταυτὶ δέ.

Ταυτὶ δὲ νῦν εἴρηκεν οὐχ ὥσπερ διαιροῦντες·
μόνην γὰρ ἀπαρίθμησιν νῦν δρᾶ τῶν κεφαλαίων.
κἂν δὲ ἐπιχειρήμασι χρῆταί που βραχυτάτοις,
ἐν τῷ περὶ εὑρέσεως μέλλει δὲ διαιρῆσαι·
τουτέστι τὴν μελέτην σοι δεῖξαι τῶν κεφαλαίων·
πῶς ἕκαστον εἰσάγεται καὶ κατὰ πόσους τρόπους·
ὡς πρὶν προυφηγήσει σοι πρὸς πλάτος ἐξεθέμην.

Ἱστορία εἰς τὸ διαιροῦντες τοῦ Τζέτζου.

Μετὰ τὰ κατὰ Κύζικον ἐλθὼν Ἀλκιβιάδης,
ἤγουν μεθότου πέφευγεν ὡς τοὺς Ἑρμοῦς ἐκκόψας.
Ἑρμᾶ δὲ εἴδωλα τινὰ καὶ ἀνδριάντες ἦσαν
ἐν τῇ στοᾷ τῇ τῶν Ἑρμῶν τρεῖς λίθινοι ἑστῶτες.
τρεῖς καὶ γὰρ ἦσαν αἱ στοαὶ τῇ Ἀθηναίων πόλει·
μία μὲν ἡ Βασίλειος, ἡ τῶν Ἑρμῶν ἑτέρα,
καὶ ἡ τοῦ Πισιάνακτος κτήτορος σχοῦσα κλῆσιν·
τὴν ἥνπερ κατωνόμασαν ἐσύστερον Ποικίλην·
ἀνθ' ὧνπερ ἐνεγράφησαν αὐτῇ τὰ Μαραθῶνος.
τῇ γοῦν στοᾷ τῇ τῶν Ἑρμῶν, ὡς προελαύνων εἰρήκειν,
τρεῖς τότε λίθινοι Ἑρμαὶ τῶν Ἀθηναίων ἦσαν·
τῶν ἐν Στρυμόνι ποταμῷ τοὺς Πέρσας νικησάντων·
οὕσπερ ὁ δῆμος ἔστησεν ἐζητημένων τοῦτο.
ὄνομα δ' οὐκ ἐπέγραφε τοῦ στρατηγοῦ ἐν τούτοις·
ὡς μὴ τοῦ στρατηγοῦ δῶρον τοῦ δήμου δεδοκοίη·
τούτους οὖν κόψας τοὺς Ἑρμοὺς Ἀλκιβιάδης τότε,
πέφευγε μή πως κτάνωσιν αὐτὸν οἱ Ἀθηναῖοι.
οἱ Εὐμολπίδαι δὲ αὐτοὶ τὰ ἱερὰ τηροῦντες
ἀρᾷ καὶ ἀναθέματι ὑπέβαλλον ἐκεῖνον,
κἂν ὕστερόν τι τρόπαιον ἐξειργασμένος τοῦδε
καὶ τὴν ἀρὰν ἐξέκοψε καὶ τὸ πρὸς τοῦτο μῖσος.

Τὸ κατὰ τὰ ἐμπίπτοντα τὸν νοῦν ἔχει τοιόνδε·

ἂν πίπτῃ παραγραφικοῖς, ἀπὸ προσώπου χρήσῃ·
οἷον, ὁ ἰδιώτης ὢν δημόσια οὐ βλάπτει,
ὁ στρατηγὸς, ὁ ῥήτωρ δὲ καί τινες τῶν ὁμοίων·
ἂν δὲ τὸ πρόσωπόν ἐστι τυχὸν Ἀλκιβιάδης,
ἀνάρμοστον δημόσια τοῦτον εἰπεῖν μὴ βλάπτειν·
εἰ βουλήθη γὰρ, δύναται βλαβὴν τοιαύτην δρᾶσαι·
καὶ γνώμῃ νομοθέτου δὲ ἂν πίπτῃ χρήσῃ πάντως·
πίπτει δὲ πάντως, ὅταν τι ῥητὸν ἐκ νόμου κεῖται·
καὶ ἀντιλήψει χρήσει δὲ ὁμοίως ἂν περιπίπτῃ·
ἂν περ οὐ πίπτῃ, πάντως δὲ καὶ ταύτην παρεάσεις.
πίπτει δὲ ἡ ἀντίληψις τοῖσδε τοῖς πέντε τρόποις.
ἐκ νόμου, ἔθους, φύσεως, τέχνης, οὐκ εἰργομένου.

Ὃς παραγραφικοῖς εἶπεν οὐ μόριον δικαίου,
τὸ φύσει παραγραφικὸν ἐν ταύταις γὰρ ἐμπίπτει·
τῇδε γὰρ περιγράψεται οὕτω πως ὁ ζωγράφος,
ἀφ' ὧνπερ οὐ καταιροῦσιν οἱ ἔμποροι ἐνταῦθα.
καὶ δεῖ ἐμὲ νῦν κρίνεσθαι, τοῦτο γὰρ τῶν ἀτόπων·
τοῖς ἄλλοις μόνον μόριον πεσεῖται δὲ δικαίου.
ὡς ἐπ' Ἀλκιβιάδου δὲ τοῦτο παραδεικτέον·
ὡς δίκαιόν με κρίνεσθαι γραφαῖς τῶν ἐκπωμάτων,
καὶ πρὸ τῶν ἄλλων τίθεσθαι· καὶ μεταξὺ δὲ τούτων
τὸ παραγραφικόν φησιν τάξιν οὐκ ἔχον τῇδε·
ὡς ἰσχυρὸν δ' ἁπανταχοῦ πρὸς ὃ χρεὼν πεσεῖται.

Ἔστι δὲ τάδε εἴρηκε τανῦν ἀδιάρθρωτα·
ὤφειλεν οὕτω γὰρ εἰπεῖν διηρθρωμένα λόγῳ·
λέγε τὸ παραγραφικὸν σχήματι διλημμάτῳ·
οἷον, ἐν τίσι κρίνεις με τοῖς ὕστερον πραχθεῖσιν.
ἀλλ' οὐ χρεών με κρίνεσθαι ἐφ' οἷς ἂν ἄλλος δράσοι,
ἀλλ' οἷς ἦν δράσας ἐξ ἀρχῆς, ἔδει σε τότε εἴργειν·
ὡς νῦν τὸ παραγραφικὸν κεῖται τῷ τῇδε τόπῳ·
σχήματι διλημμάτῳ γὰρ ἐξήρκεσε διόλου.

Πρὸ ἀντιθετικοῦ φησι τοῦ πίπτειν δυναμένου.
πίπτει κατὰ τὰς τέσσαρας τὰς ἀντιθετικὰς γὰρ,
ἀντίστασιν, ἀντέγκλησιν, μετάστασιν, συγγνωμήν.

Μεταχειρίσται δ' αὐτὸ ἐργάσται πλατύνη
πρῶτον ἐπιχειρήμασιν εἶτα ταῖς ἐργασίαις·
πρὸς ταύταις ἐνθυμήμασαν, ὥσπερ ἡ τέχνη λέγει·
οἷον, ἐπιχειρήσωμεν πρῶτον ἐκ τῶν καθόλου,
ὥσπερ ταννῦν πεποίηκεν· οὐδεὶς οἶδε τὸ μέλλον,
διὸ οὐδὲ ὑπεύθυνος ἀνοίας τῶν μελλόντων·
εἶτα τὸ ἐπιχείρημα λοιπὸν κατασκευάσει,
πλατύνων ὅσον βούλοιτο τοῦτο ταῖς ἐργασίαις
ταῖς ἀπὸ τῶν παραβολῶν καὶ τῶν παραδειγμάτων·
εἶτα καὶ ἐνθυμήματος τὸν λόγον περατώσει·
οἷον, οὐδὲ στρατηγὸς ἀλλ' οὐδὲ κυβερνήτης,
ὁ μὲν συντάξας τὸν στρατὸν καὶ συμβαλὼν ὡς δέον,
ὁ δὲ τοῦ πλοῦ τὴν καταρχὴν πρέποντι δράσας χρεὼ
εὐθύναις ὑποπέπτωκε μελλόντων τῇ συμβάσει·
ἀκούω δὲ καὶ Περικλῆ τὸν στρατηγὸν ἐκεῖνον,
ὡς Ἀττικὴ κεκίνηκε πάλαι κατὰ Λακώνων,
ἀλλ' ὅμως οἷς ἐπέσκηψε τοῖς Ἀττικοῖς ἡ νόσος,
οὐ γέγονεν ὑπεύθυνος ἠγνοηκὼς τὸ μέλλον.
οὐκοῦν δεινὸν καθέστηκεν καὶ τῶν ἀτοπωτάτων,
ἄνδρας ὁμοῦ τῶν στρατηγῶν καὶ κυβερνήτας πάλιν
καὶ Περικλῆ τὸν στρατηγὸν ἔν τε βουλαῖς καὶ μάχαις
μὴ ὑποσχεῖν διάνοια[d] τοῦ μέλλοντος εὐθύνας,
ἡμᾶς δὲ μόνους ἕλκεσθαι πεσόντων τῇ ἀνοίᾳ·
οὕτως ἡμῖν νενόηται τὸ μεταχειριεῖται.
Γεώργιος λεγέτω δὲ τὰ δόξαντα σὺν ἄλλοις.

Περὶ τῶν ἀντιθετικῶν στάσεων τῶν τεσσάρων,
ἃς μετὰ τὴν ἀντίληψιν κατέταξεν εὐλόγως·

[d] Sic.

ἡ δικαιολογία γὰρ εἰς πέντε διαιρεῖται,
εἰς ἣν ἔφην ἀντίληψιν, τὰς ἀντιθετικάς τε,
ἀντίστασιν, ἀντέγκλησιν, μετάστασιν, συγγνωμήν.
διδάξας τὴν ἀντίληψιν λοιπὸν πρὸ τῶν τεσσάρων,
καὶ ταύτας δὲ τὰς τέσσαρας διδάσκει μετὰ ταύτην·
ὡς ἂν συμπληρώσῃ σύμπασαν τὴν δικαιολογίαν.
διδάσκει δὲ τὰς τέσσαρας μίᾳ διδασκαλίᾳ·
τοῖς γὰρ αὐτοῖς αἱ τέσσαρες κέχρηνται κεφαλαίοις.
τῷ ὁμωνύμῳ μόνῳ δὲ ἀλλήλων διαιροῦνται,
συγγνώμη συγγνωμονικῷ καὶ αἱ λοιπαὶ ὁμοίως
τοῖς ὁμωνύμοις ἑαυτῶν οἰκείοις κεφαλαίοις.

Τῇ προβολῇ διῄρηται τῷ ὅρῳ ἐστὶν ὅτε·
τὸ ἔστιν ὅτε πάρεργον οὐ κεῖται νῦν ἐνθάδε.
λέγει δὲ πάντως προφανῶς τὸν ὅρον τότε πίπτειν,
ἂν φανερὸν ἀδίκημα μὴ ᾖ τὸ πεπραγμένον.
ὁ ἀριστεὺς ὁ κτείνας γὰρ πορνεύοντα τὸν παῖδα
πῶς ἂν ὁρίσῃ τὸ πραχθὲν μὴ φόνον πεφυκέναι;
πέφυκε γὰρ κατάδηλον καὶ φύσει τῶν ἀψύχων.

Ἡ ἄνω μὲν μετάληψις πράγματος ἦν καὶ τροπου·
τὸ δὲ γενέσθαι οὐκ ἐχρῆν, οὐ δὲ τοιῷδε τρόπῳ·
αὕτη δὲ ἡ μετάληψις ὑπάρχει τοῦ προσώπου
οὐκ ἔδει σε τὸν ἑαυτοῦ ἀνῃρηκέναι παῖδα.

Ἡ προβολὴ δὲ φανερὰ ἐκ τῶν συμβεβηκότων·
οἱ τεχνικοὶ μὲν φανερὰν γράφουσι ταύτην λέγειν·
ὡς ὅρῳ ἀντιλήψει τε προτεχνολογηθεῖσαν.
ἐγὼ δὲ ταύτην φανερὰν ἐκ τῶν πραχθέντων λέγω,
ἅπερ ὁ τεχνικός φησι τῇδε συμβεβηκότα·
τῷ ἀριστεῖ συνέβη γὰρ τὸν παῖδα ἀποκτεῖναι·
ἡ προβολὴ δὲ φανερά, τὸ γὰρ πραχθὲν ἐκφαίνει

νῦν μὲν φονεὺς εἶ ἀριστεῦ· ἀνεῖλες γὰρ τὸν παῖδα.
ἄλλοθι δ' ἄλλο προβαλεῖ πρὸς τὸ πραχθὲν ἐκεῖσε.

Τῷ ὁρικῷ χρησόμεθα ὁπότε παρεμπίπτει·
ποῖον φησὶ δὲ ὁρικὸν ὁ τεχνικὸς ἐνθάδε;
τὸ παραγραφικὸν αὐτὸ τὸ ἀπὸ τῶν πραγμάτων,
ὃ κέκληται δὲ ὁρικὸν κατὰ παραγραφὴν δὲ,
διαβολὴν ποιούμενον ἐν ὅρῳ τοῦ ἀγῶνος,
ἀπὸ τοῦ οὐχ ἁρμόζοντος πράγματι τῷ πραχθέντι·
τοῦτο τὸ ὁρικόν φησιν τὸ ἀπὸ τῶν πραγμάτων.
τὸ ὁρικὸν οὐ λέγει δὲ τὸ ἀπὸ τῶν προσώπων·
ἐν γὰρ ταῖς ἀντιθέσεσιν ὅλως οὐ πίπτει τοῦτο.
ἐν ταύταις γὰρ τὸ πρόσωπον ἁρμόδιον τῇ πράξει.
καὶ πῶς ἀπὸ προσώπου τις ἐνθάδε παραγράψει,
ὡς ὁ ζωγράφος ἴσχυε προσώποις παραγράφειν.
βλάπτειν εἰπὼν δημόσια ζωγράφος οὐκ ἰσχύει,
ἰδιωτεύων ἄνθρωπος, ἀνὴρ ἐκχειρογάστωρ.
ῥήτορες δὲ καὶ πρεσβευταὶ καὶ στρατηγοὶ σὺν τούτοις,
οἷς καὶ δημόσιοι ἀρχαὶ καὶ πράξεις τῶν μεγίστων.

Ἐρεῖ δὲ ἀντιστατικὸν ὡς ὑπὲρ τούτου δράσοι,
ἔλαττον μὲν ἀδίκημα μείζω δ' εὐεργεσίαν.
τὸ ἀντιστατικὸν αὐτὸς ἐπίσταμαι κεκτῆσθαι·
ὃ δ' Ἑρμογένης νῦν φησὶν σὺν τοῖς ἐξηγουμένοις,
πρὸς νοῦν ἐμὸν οὐ δύναμαι θέσθαι καὶ προσαρμόσαι.
τὸ γὰρ βαρύτερον εὑρεῖν οὐ σθένω τοῦ θανάτου.
εἰ μὴ κατ' Εὐριπίδην τις τούτους ἐρεῖ μοι γράφειν,
οἷον τὸ, "τίς οἶδεν εἰ ζῆν ἐστὶ τὸ τεθνηκέναι."

Ὅτι εἰ τὸ κεφάλαιον οἰκεῖον νῦν οὐκ ἔστιν.
ποῖον κεφάλαιον καὶ ποῦ λέγει τῶν ἀνοικείων;
ἐν τῷ τοῦ ἀριστέως μὲν τοῦ κτείναντος τὸν παῖδα,
λέγει δὲ τὴν ἀντίστασιν ἀνοίκειόν τυγχάνειν.
κἂν πῶς γε τὴν διάνοιαν λέγειν δοκῇ συγχύσει,

ἀνοίκειον εἰ εἴποι γὰρ ὁ ἀριστεὺς ἐνθάδε,
ὑπὲρ αὐτοῦ πεποίηκα τὸν φόνον τοῦ υἱεός.

Ὁμοίως καὶ ὁ βίαιος ὅρος τῶν ἀμφοτέρων—
ὁ βίαιος, οὐ πάντοτε ὅρος τῶν ἀμφοτέρων.
πρὸς ὕλας ὑποθέσεως γίνεται δ' ἀμφοτέρων.
καὶ γὰρ ἐν ἀντεγκλήματι μόνος ὁ φεύγων χρῆται·
τὸ κτεῖναι δι' ὠφέλιαν λέγων οὐκ ἔστι φόνος,
ἀλλὰ ζωὴ τῶν πολιτῶν τῶν εὐηργετημένων.
ὁ δὲ διώκων οὐδαμῶς ἐν ταύταις ἕξει λέγειν,
ὡς τὸ πορνεύειν πόρνευσις οὐκ ἔστιν ἄλλο δέ τι·
οὕτω μόνου τοῦ φεύγοντος ἐστὶν ἐν ἀντεγκλήσει·
ἐν δ' ἀντιστάσει καὶ ἀμφοῖν οὗτος ἐστὶν ὁ ὅρος.

Ἡ θέσις ἕπεται λοιπὸν συντρόχως ἀκολούθως,
τουτέστιν ἀμφοτέρων μὲν ὑπάρχει τῶν πραγμάτων,
καθάπερ καὶ ὁ βίαιος ὅρος ὡς προειρήκει·
τὸ δ' ἀκολούθως ἕπεται καὶ οὕτω νοητέον,
ὅτι μετὰ τὸν βίαιον εἴωθε πίπτειν ὅρον.
καὶ οὕτω δέ μοι νόησον αὐτὸ τὸ ἀκολούθως.
τίθεται πρὸ ἀκόλουθον τοῦ ὅρου τοῦ βιαίου,
ἂν μερικῶς τὸν ὅρον γὰρ τὸν βίαιον προάξῃς,
δεῖ καὶ τὴν θέσιν μερικὴν θέσθαι τῷ ὅρῳ ἴσως.
ἂν δὲ καθολικώτερον τὸν βίαιον προάξῃς·
δεῖ καὶ τὴν θέσιν θέσθαι δὲ τῶν καθολικωτέρων·
οἷον ἂν εἴπῃς μερικῶς τὸν φονέα οὐχὶ φόνον,
καὶ δεῖ φονεύειν εἰδικῶς κατὰ τὴν θέσιν εἴπῃς·
ἂν δὲ καθολικώτερον τὸν βίαιον προάξῃς,
λέγων ὡς τὸ ἀδίκημα ἀδίκημα δ' οὐκ ἔστι.
δεῖ ἀδικεῖν καθολικῶς πάντως καὶ θέσιν εἴπῃς.
τὸ δὲ καθολικώτερον τῶν μερικῶν προφέρει·
αὔθαδες γὰρ εἰπεῖν ἐστι δεῖ τεῖχος διακόπτειν.

Κοινὸν τὸ κατὰ σύγκρισιν ἡττόνων πρὸς τὰ μείζω
προάγεσθαι καὶ τίθεσθαι τὴν θέσιν ἁρμοδιώς.

Πάλιν δὲ τοῦ διώκοντος μετάληψις ἡ ἄλλη
ἡ ἄνω μὲν μετάληψις πράγματος ἦν καὶ τρόπου.
τὸ δὲ γενέσθαι οὐκ ἐχρῆν, οὐδὲ τοιουτοτρόπως.
αὕτη δὲ ἡ μετάληψις ὑπάρχει τοῦ προσώπου.
οὐκ ἔδει σε τὸν σεαυτοῦ ἀνῃρηκέναι παῖδα·
εἶτα καὶ ἡ ἀντίληψις τὸ, στρατηγὸς ἦν δήπου·
καὶ αὕτη ἡ ἀντίληψις ὑπάρχει τοῦ προσώπου·
οὐ πρὸς τὸ πρᾶγμα, λέξει γὰρ ὡς ἀδικεῖν ἐξῆν μοι·
ἀλλὰ ἐξῆν ὡς στρατηγῷ βουλεύσασθαι καὶ μόνῳ.

Καὶ ὅλως τοῖς ἐμπίπτουσι προσώπου λέγει χρήσασθαι,
κυρίοις, προσηγορικοῖς, εἴτε τισὶ τῶν ἄλλων·
ὡς ὁ καιρὸς εἰσάξει πεσεῖν τῇ ὑποθέσει.
καὶ τὴν ἀντίληψιν ποιεῖν ὡς πρὸς ἐκεῖνα τότε,
οὐχὶ πρὸς μόνον στρατηγὸν ὡς νῦν ἢ καὶ πατέρα.

Τὸ δὲ αὐτὸ ἁμάρτημα καθέξῃ κἀνταῦθα—
ὥσπερ γὰρ ἥμαρτον φησὶν περὶ εἴδους καὶ τρόπου,
ἐν στάσεσι διδάξαντες τῶν ἰδεῶν ἀπείροις,
οὕτω καὶ νῦν ἐξήμαρτον πάλιν ἐν ἀντιστάσεσι.
καὶ σὺν αὐτῇ κ'ἂν ταῖς λοιπαῖς ἀντιθετικωτάταις.
μικτὰς καὶ δημοσίας καὶ ἰδικὰς εἰπόντες.
καὶ τοῦτο γὰρ ἀσύμφορον τοῖς ἴδεσιν ἀπείροις
καὶ τοῦ περὶ μεθόδου δὲ δεινότητος τὸ πλέον·
ἐκεῖ διδάσκει τοῖς καινοῖς εἰδέναι γὰρ κεχρῆσθαι
ἂν ἰδικὸς, δημόσιος, εἴτε μικτὸς ὁ λόγος·
ὅπως ἂν μεθοδεύσειας καὶ χρήσῃ κατὰ τέχνην.

Καὶ διαφέρει μὲν οὐδὲν πλὴν κλήσεως συγγνώμης.
ὅπερ φησὶν ὁ τεχνικὸς νοῦν κέκτηται ποιόν δε ;
συγγνώμη μεταστάσεως οὐδέν τι διαφέρει,
πλὴν ὅτι πλέον κέκτηται κεφάλαιον συγγνώμης.
αἱ τέσσαρες τῶν στάσεων τῶν ἀντιθετικῶν γὰρ
ἀντίστασις, ἀντέγκλημα, μετάστασις, συγγνώμη,
αἱ πᾶσαι τοῖς αὐτοῖς ὁμοῦ τέμνονται καιροῖς·

τῷ ὁμωνύμῳ μόνῳ δὲ ἀλλήλων διαιροῦνται·
συγγνώμη συγγνωμονικῷ καὶ τὰ λοιπὰ ὁμοίως·
τὸ δὲ εἰδέναι ποιὸν δεῖ ἐν ποίῳ πλεονάζειν,
οὐ διαιρετικῆς ἐστιν ἔργον διδασκαλίας·
μεθόδου δὲ δεινότητος καὶ γνώσεως τοῦ χρῆσθαι.
συγγνώμην δέ τις μελετῶν ἐπὶ ἀδικημάτων,
καθὼς τῇ περὶ μέλλοντος χρήσεως ἐπαγγελίᾳ·
χρήσιμος ἔσομαι ὑμῶν εἰ νῦν ἐκφύγω τοῦτο.
εἶτα καὶ παραδείγματι· καὶ ὁ Θεμιστοκλῆς γὰρ
ἀρχῆθεν φαῦλος ἦν ἀνὴρ, ἐς ὕστερον δ' ὁποῖος;
ἐπιχειρεῖ δ' ἐκ δικαστῶν λέγειν φιλανθρωπίας,
καὶ ἀπὸ παραδείγματος τῶν δικαστῶν εἰ ἔχει·
ὑμεῖς συγγνώμονες ἐστὲ τοῖς πταίουσιν ἀνθρώποις.
καὶ πότε συνεγνώκειτε τῷ Ἀλκιβιάδῃ
ἡμαρτηκότι μέγιστα τοὺς [g] Ἑρμὰς ἐκκόψαι.

Περὶ πραγματικῆς ποιεῖ νῦν τὴν διδασκαλίαν,
μετὰ τὰς λογικὰς αὐτὴν πρὸ νομικῶν ἐντάττων.
τῶν λογικῶν γὰρ πέφυκε καὶ νομικῶν ἐν μέσῳ·
τῷ μὲν ἀγράφῳ λογικῶν, τῷ δὲ γραπτῷ νομίμων·
ταυτὶ δὲ παρεπόμενα τυγχάνει τῶν προσώπων·
πατρὶς, γονεῖς, ἀνατροφὴ, πράξεις τε καὶ σύγκρισεις·
τὰς πράξεις δὲ λαμβάνομεν ἐκ τῆς τριττύος τῆσδε·
ἀπὸ ψυχῆς, ἐκ σώματος, ἀπὸ τῶν ἐξωτέρων·
τὰ μὲν οὖν προγενέστερα τὰ τῶν παρεπομένων,
πατρὶς, γονεῖς, ἀνατροφὴ, πράξεις τε καὶ συγκρίσεις,
τὸ πρέπον ἀπεργάζονται. τὰ δ' ἐνεστῶτα πάλιν
τὰ ἐκ ψυχῆς καὶ σώματος ἀπὸ τῶν ἐξωτέρων,
τὸ δυνατὸν ἐργάζονται, ὥσπερ καὶ οὗτος λέγει.

Πεζέτεροι τὸ σύστημα τὸ τῶν πεζῶν καλεῖται·
τινὲς φασὶ τοὺς ἕνα δ*π*δα [h] κοσμοῦντας ὅπλῳ·

[g] Cod. τοὺς τοὺς leg. τῷ τοὺς.

[h] Cod. ἕναδ*π* (δα written above)

τὸ ζε ψιλὸν δὲ καὶ τὸ τε δέον ψιλόν σε γράφειν.
οἱ πεζεταῖροι δὲ εἰσὶ τὰ πεζικὰ τὰ φίλα.

Ἀντέκειτο δ' ἐξέτασις ἡ περὶ Ἀθηναίων
τὴν ἀμφοτέρων δύναμιν χρεὼν γὰρ ἐξετάζειν·
τὴν τῶν ἐχθρῶν καὶ τὴν ἡμῶν ὁ ῥήτωρ δὲ παρῆκεν,
ὅτι καλῶς τὰ πράγματα τοῖς Ἀθηναίοις εἶχεν.

Τὸ μὲν γὰρ τῆς εὑρέσεως ὁ τεχνογράφος λέγει
τὸ δὲ τῆς ἐπικρίσεως· ποῖα δὲ ταῦτα μάθε.
τῆς τέχνης καὶ εὑρέσεως ἐστὶ τῶν κεφαλαίων·
ἁπλῶς τὸ τὰ κεφάλαια τῶν στάσεων εἰδέναι,
πόσα καὶ ποῖα πίπτουσι κατὰ ἑκάστην στάσιν.
μεθόδου δὲ δεινότητος ἣν κρίσιν τανῦν λέγει,
καὶ τὸ γινώσκειν ποτὲ χρὴ τινὰ παραλιμπάνειν·
καὶ μὴ τοῖς πᾶσι πανταχοῦ κεχρῆσθαι κεφαλαίοις.

Λάμβανε καθ' ὑπόθεσιν τὸ ἐκβησόμενον—
τὸ ἐκβησόμενον φησὶν κεφάλαιον ἐνθάδε,
λάμβανε καθ' ὑπόθεσιν σχήματι διλημμάτῳ.

Περὶ τῆς μεταλήψεως ἡ νῦν διδασκαλία
καλῶς μετὰ πραγματικὴν μετάληψιν διδάσκει·
ἐστὶ καὶ γὰρ συγγένεια πολλὴ τῶν ἀμφοτέρων·
ὁμοῦ γὰρ ἡ πραγματικὴ σύν γε τῇ μεταλήψει
τῶν λογικῶν καὶ νομικῶν εἰσὶν ἐν μεταιχμίῳ.
πραγματικὴ γὰρ ἄγραφος ὑπάρχει σὺν ἐγγράφῳ
ὁμοίως καὶ μετάληψις· ὅθεν ὡς οὖδας μέσας
τῷ μὲν ἀγράφῳ νομικοῦ, τῷ δὲ γραπτῷ νομίμων,
ἀλλήλαις συγκατέταξεν ἐν τῇ διδασκαλίᾳ·
καὶ ἄλλως δὲ κατέταξεν ταύτας εὐλόγῳ τρόπῳ.
ὡς γὰρ ἐν τῇ πραγματικῇ φημὶ δὲ τῇ ἐγγράφῳ
τὸ νόμιμον κεφάλαιον τίθεμεν διαιροῦντες,
κατά τινα τῶν στάσεων τῶν νομικῶν γε μίαν·

κατά τινα τῶν λογικῶν τὸ δίκαιον δὲ πάλιν,
κ᾽ἀπὶ τῆς μεταλήψεως ποιοῦμεν τῆς ἀγράφου.
καὶ ἐν αὐτῇ ζητήματα δύο γὰρ μελετῶμεν·
τὸ μὲν ἐκ τῆς παραγραφῆς κατὰ τὰς νομικὰς δὲ,
τὸ δὲ μετὰ παραγραφὴν κατὰ τὰς λογικὰς δέ.

Τὸ πάλιν τῇδε μάταιον τῷ τεχνικῷ οὐκ εἶναι
ἀντὶ τοῦ ὥσπερ εἴπομεν ἐν τῇ πραγματικῇ δέ.

Ὡς εἴρηται, ὡς ὄπισθεν ἐλέχθη περὶ τούτου.
τὸ νόμιμον γὰρ εἴρηκε πραγματικῇ ἐγγράφῳ
μίᾳ τινὶ τῶν νομικῶν στάσεων ὑποπίπτει·
αὐτίκα περὶ στάσεων τῶν νομικῶν δὲ λέξω.
ἐπεὶ δὲ τὴν ὑπόσχεσιν ἄρτι πληροῦν ἐθέλει,
καὶ μετὰ τὴν μετάληψιν τὰς νομικὰς διδάσκειν·
ὡς εἴρηται νῦν ἔγραψεν, ἤγουν ὡς πρώην εἶπον.

Ἔστι δὲ ὅτε ὁρικῶς· πότε δ᾽ ἐσεῖται τοῦτο,
ἄνπερ ῥητόν τι πρόκειται μετὰ τῆς διανοίας.

Ὡς παραγραφικὸν εἶπεν οὐχὶ παραγραφήν·
ἔχει γὰρ ἡ παραγραφὴ ῥητόν τι τῶν ἀδήλων.
τοῦτο δ᾽ ἀμφίβολόν ἐστι· εἰδέ τι γὰρ ζητεῖται,
εἰ χρὴ τὸν νόμον κύριον ἢ τῶν ἀκύρων εἶναι.

Ἡ προβολὴ τανῦν ἐστὶν ὑπάρχεις ἀνδροφόνος.
ἐν μὲν ταῖς ἄλλαις προβολαῖς στάσεων τῶν ἑτέρων
χρώμεθα ταῖς αὐξήσεσιν ἐν ὑφειμένῳ τρόπῳ·
τανῦν δ᾽ ἀφειδέστερον πῶς χρώμεθα τῇ αὐξήσει·
ἐν πᾶσι τοῖς αὐξητικοῖς ἐκφέροντες ἐκείνην.

Τὸ κατὰ χρόνον δηλαδὴ τανῦν μεταλαμβάνει—
τὸ μεταληπτικὸν τανῦν ἀπὸ τοῦ χρόνου πίπτει,
ἄλλοθι δ᾽ ἀπὸ τόπου τε, προσώπου, ἢ αἰτίας·
ἢ ὅθεν ἡ μετάληψις ἁπλῶς παρεισάχθη.

Συλλογισμὸς οὐδὲν ἢ νῦν ἢ τότε διαφέρει,
ἐπὶ τῶν ὁμοίων τε καὶ τῶν διεστηκότων.
συλλογισμὸς οὐ πίπτει μὲν ἁπλῶς ἐπὶ τῶν ἀνομοίων·
ἐπὶ τοῦ κτείναντος μοιχὸν, ἐν ἱερῷ γὰρ τόπῳ·
οὐκ ἔστι λέγειν ὡς ταυτὸν μοιχὸν ἀπεκτονέναι·
κ᾽ἄνπερ ἐν τόπῳ ἱερῷ, κ᾽ἂν ἐν ἑτέρῳ τόπῳ.

Ἐπεὶ πολλά ἐστιν εἰπεῖν τοῖς διαιροῦσι τῇδε—
τίνα τυγχάνει τὰ πολλὰ προεῖπον ἀνωτέρω·
πρῶτον ἐπιχειρήματα, δεύτερον ἐργασίαι,
πρὸς ταύταις ἐνθυμήματι, ὥσπερ ἡ τέχνη λέγει.

Ὁ ὅρος ὅτι πάμπολυ ἀλλήλων διαφέρει·
ὁ ὅρος τῷ συλλογισμῷ ἀεὶ ἐναντιοῦται.
ἃ γὰρ ἑνοῖ συλλογισμὸς, διίστησιν ὁ ὅρος.

Πάλιν ἄλλη μετάληψις ἐχρῆν αὐτὸ εἰπόντα.
ἡ μὲν προτέρα γίνεται μετάληψις ἣν εἶπεν,
ἐκ τόπων περιστατικῶν, ὥς περ τῇ στάσει κεῖται.
ὡς ἀπὸ χρόνου τὸ, οὐκ ἦν ὁπότε ἀνῃρέθη·
αὕτη δ᾽ ἡ νῦν μετάληψις, ἥνπερ ἑτέραν λέγει,
λύσις τῆς ἀντιθέσεως τοῦ φεύγοντος ὑπάρχει—

Ἀκόλουθος ἀντίληψις ὁ τεχνικὸς εἰρήκει·
λύει γὰρ τὴν ἀντίληψιν μετάληψις ὡς ἴδμεν.
καὶ πάλιν τὴν μετάληψιν ἀντίληψις ὁμοίως.

Ἡ θέσις τὸ κεφάλαιον κοινόν ἐστι τῶν δύο·
φεύγοντος, καὶ διώκοντος, καθάπερ καὶ ἡ γνώμη.

Περὶ ῥητοῦ τὸ δίδαγμα τανῦν καὶ διανοίας.
ἐν προβολῇ νῦν τὸ ῥητὸν τιθέαμεν αὐξήσει·
τὸ ῥητὸν παραβέβηκας ἀφροντιστήσας τούτου,
ἀπείργοντος ἀνάρχεσθαι τοὺς ξένους πρὸς τὸ τεῖχος.

Ὁ φεύγων τὴν διάνοιαν πρὸς τὸ ῥητὸν εἰσφέρει·
πότε λέγων ἐκώλυσεν, οὐκ ἐν πολέμοις πάντως·
καὶ ἐπὶ τίνι πράγματι δῆλον, οὐκ ἐπὶ τῷδε·
καὶ διατί; ὡς βαᾶ[ωσ]' τιμ[ις] ἄνοιτο τῇ πόλει·
οὐχ ὡς μὴ ἀριστεύσει καὶ ῥύσεται κινδύνων·
δεῖ καθαιρεῖν δὲ τὸ τραχὺ τὸ τῆς ἀντινομίας·
οὕτω πῶς τότε λέγοντας, λοιπὸν ὁ νομοθέτης
εἰ τοὺς τοιουτογνώμονας ἀνέρχεσθαι κωλύει,
κατά γε τὸν κατήγορον τὸν ὃς κατηγορεῖ μοι
ἀποστερῶν φᾶναι νῦν τὴν πόλιν σωτηρίας.
οὕτω μὲν καθαριοῦμεν τὸ τῆς ἀντινομίας,
καὶ νόμον ἀπαιτοῦντες δὲ ἡμῶν τῇ διανοίᾳ
πρόδηλον ἀντιλέγοντα, οἷον νῦν, δεῖξον νόμον
ἀνέρχεσθαι κωλύοντα τοὺς ἐπὶ σωτηρίᾳ—

Εἰ διωρίσθη τῇ γραφῇ τοῦ νομοθέτου, παῦσαι
τὸν εὔνουν μὲν ἀνέρχεσθαι, μὴ μέντοιγε τὸν δύσνουν,
πλεῖον ἂν εἶχε τὸ γραπτὸν τοῦ ἀπροσδιορίστου.
νῦν δὲ τὸ ἀδιόριστον ὡς τὸ γραπτὸν νοεῖται.

Καὶ πλέον ἕξει ἐν αὐτῇ ὁ φεύγων· τί δε πλέον;
τὴν ἄνοδον ἐκφράζων γε καὶ τὰς ἀνδραγαθιάς.

Περὶ Ἀντινομίας.

Μετὰ ῥητοδιάνοιαν ἀντινομίαν τάττει·
ὅτι συγγενεία πολλὴ τελείων τῶν ἀμφοτέρων.
ὡς γάρ φησιν ὁ τεχνικὸς, καὶ ἡ ἀντινομία
οἷον ῥητοδιάνοια καθίσταται διπλῆ τις—

Τάχα δ' ἂν μεθοδεύσει καὶ διαιρῶν αὐτότης
χρηστάμενος δεινότητι μεθόδῳ μελετίσει
α τ
αν δε ο γὰρ τὰ ῥητὰ διαφορὰν εὑρήσει·
τοῦ μὴ πρὸς τόδε τὸ ῥητὸν τὸ τῆς ἀντινομίας,
ἀφ' ἧς περ τὸ κεφάλαιον διαφορὰν εἰσάξαι·

οἷον ἐκεῖνο προφανές ἐστι καὶ ὡρισμένον·
ὁ ἐπιμείνας γὰρ νηῒ χειμαζομένῃ λέγει·
τοῦτο δ' ἀσυμφανές ἐστι καὶ τοῦ ἀδιορίστου.
εἶτα καὶ περιπιστώσει τὰ οἰκεῖα·
οἷον τυχὸν ἐχρήσαντο καὶ ἕτεροι τῷ νόμῳ·
οὐθ' ὥσπερ ὁ κατήγορος, ὡς καὶ ἐγὼ νῦν λέγω.
καὶ ὅλως τὸ κεφάλαιον ἀρίστως μελετήσει,
πρῶτον ἐπιχειρήμασιν, εἶτα ταῖς ἐργασίαις·
πρὸς ταύταις ἐνθυμήμασι, ὥσπερ ἡ τέχνη λέγει.

Διάνοιαν δὲ ἡ ἐστὶ γνώμη τοῦ νομοθέτου·
πάντως ἀντεγκλήμασιν εἰσάγει ὁ διώκων,
κοινὸν ποιήσει τοπόν τε κατὰ ἀποκηρύκτου.
ὁ φεύγων δ' ὡς ἀντίστασιν λόγον ὃν λέγει λέξει·
δοκεῖ γὰρ ἀντιστατικὸν πλὴν καθαρὸν οὐκ ἔστιν·
τὸ εὐεργέτημα καὶ γὰρ εἰς τοῦτον ἀνατρέχει·
ἀλλ' οὐκ εἰς ἕτερον τινὰ τὸ σῶσαι τὴν ὁλκάδα.

Εἰπὲ[1] πλῆρες ζήτημα ᾖ ἡ ἀμφιβολία—
πότε δὲ πλῆρες ζήτημα ᾖ ἡ ἀμφιβολία,
καὶ πότε μέρος στάσεως ἑτέρας μάνθανέ μοι·
ἂν συμβουλεύων τὸ ῥητὸν οὕτω νοεῖν τις λέγει.

Κρίνεται δ' ἐκ τῆς συμβουλῆς βλάβους τινὸς φανέντος·
οἷον, εἴπερ τῷ Κροίσῳ τις προυξένησε τὴν ἧτταν·
ἀρχὴν μεγάλην συμβουλαῖς λέγων νοεῖν τοῦ Κύρου·
τοῦτο μὲν ὄντως παντέλως ἐστὶν ἀμφιβολία·
ἂν δὲ ζητῶμεν λογισμοῖς παλαίοντες εὐπόροις,
οὕτως ἢ οὕτω τὸ ῥητὸν ἀναγνώσθῃ δέον·
μέρος ἐστὶν πραγματικῆς ἡ νῦν ἀμφιβολία·
ὡς ἔχει τὸ δημοσίᾳ καὶ τὸ τῶν δύο παίδων.
λέοντος, Πανταλέοντος καὶ εἴτι τῶν ὁμοίων.

[1] εἰ π

ΤΟΥ ΤΖΕΤΖΟΥ ΠΡΟΛΟΓΟΣ ΕΙΣ ΤΑΣ ΕΥΡΕΣΕΙΣ.

ΔΕΥΡΟ μοι μολοῦσα Μοῦσά μοι πάλιν περιπεζία,
μὴ λέξεσι φλεγμαίνουσα μὴ δὲ ῥημάτων κόμπῳ,
καὶ τὸ περὶ εὑρέσεων βιβλίον διατράνου
εὐλήπτῳ λόγῳ καὶ σαφεῖ καὶ διδασκάλου τρόπῳ.
τοῖς κεχρημένοις γὰρ μαθεῖν οὐ τοῖς ἐμπείροις γράφεις.
χρὴ δὲ τὸν ἐδιδάσκοντα τὸν περὶ τεχνῆς λόγον
εὔληπτον γοῦν καὶ σαφῆ τοῖς χρήζουσι μανθάνειν·
τὸν δ' ἀπὸ τέχνης γόητα καὶ συγκεκροτημένον,
ὡς καὶ ὁ τεχνοέλεγχον ἔγραψεν Ἀλκιδάμας·
λοιπὸν δὲ σοφῶς καὶ μὴ κομψῶς ἐξηγουμένων γράφε.
ἦ γὰρ ἄτοπον δεινῶς εἰδέναι τὰ τῆς τέχνης·
ὡς ἄτεχνον ἐκτρέπεσθαι μακρόθεν τῶν ἀτέχνων·
ὑφορωμένην ἀπρέπεις τῶν φιλαιτιμωμένων[k],
χαριζομένην τοῖς κομψοῖς καὶ κομπολακυθίοισιν.
Ὁ Ἑρμογένης τεχνικῶς τῶν στάσεων τῇ βίβλῳ,
οἷον περὶ προσώπου μὲν διδάξας καὶ πραγμάτων
τῶν ἐξεταζομένων καὶ τῶν ἀνεξετάστων·
ταῦτα γὰρ πάσης στάσεως συσταλτικὰ στοιχεῖα·
καὶ περὶ προβλημάτων δὲ γράψας τῶν ἀσυστάτων,
καὶ ἀσυστάτων δὲ ἐγγὺς ἀλλὰ μελετημάτων·
εἶτα καὶ μέθοδον εἰπὼν στάσεων γνωρισμάτων,
καὶ διελὼν εἰς λογικὰς καὶ νομικὰς τὰς στάσεις,
καὶ εἰς τὸ μέσον λογικῶν καὶ νομικῶν κειμένας·
ἑξῆς καὶ τὰ κεφάλαια κατέλεξεν ἐντέχνως.

[k] Cod. φιλαιτιμω.

τίνα τῆς δεῖνα στάσεως καὶ ποῖα δὲ τῆς δεῖνα,
καὶ ποῖα τῶν προσώπων δὲ, καὶ ποῖα τῶν πραγμάτων·
τίνα δὲ τοῦ διώκοντος, τοῦ φεύγοντος δὲ τίνα·
καὶ τίνα πέφυκε κοινὰ, πάντα καλῶς εἰρήκει·
μόνην τὴν ἀπαρίθμησιν ἐκείνων διάγραψας,
εἰ καὶ μικρὸν ἐφήψατο τῶν ἐπιχειρημάτων,
ὅσον πρὸς τὸ ἐνδείξασθαι τὴν κεφαλαίων φύσιν.
ταῦτα μὲν ἐν τῷ στάσεων ἐδίδαξεν βιβλίῳ·
εἰσαγωγὰς καὶ λύσεις καὶ πῶς εὕρῃς κεφαλαίων,
ἐν τῷ περὶ εὑρέσεων βούλεται πρῶτον λέγειν·
ἐπειδὴ τὰ κεφάλαια τῆς στάσεως ἑκάστης
διδάξαι νῦν προέθετο τούτῳ τοὺς ἀγῶνας·
εἰδὼς ὡς λόγος τέλειος στάσις ἐστὶν ἑκάστη·
τέσσαρα δὲ γινώσκομεν μέρη τελείου λόγου.
προοίμιον, διήγησιν, ἀγῶνας, ἐπιλόγους.
ἐκ προοιμίων ἤρξατο πάντας καλῶς διδάσκειν.
πῶς πρῶτα εὕρῃς μὲν αὐτὰ, καὶ πῶς εὑρὼν πλατύνῃς[l].
τέσσαρα μέρη δὲ εἰσὶν τελείου προοιμίου·
πρότασις καὶ κατασκευὴ, ἀπόδειξις καὶ βάσις[m]·
καὶ δίολα[n] δὲ τῆς κατασκευῆς προοίμια ποιοῦμεν·
ποτὲ δὲ διμερές ἐστι προοίμιον ἐν λόγοις,
ἔχον μόνην τὴν πρότασιν καὶ τὴν κατασκευὴν δὲ,
εἴτ' οὖν μόνην τὴν πρότασιν καὶ τὴν ἀπόδοσιν δὲ·
λειπούσης δὲ προτάσεως προοίμιον οὐκ ἔστιν·
εἴτ' οὖν ἀπὸ προτάσεως γίνεται πάλιν μόνης·
ἐνίοτε δὲ παντέλως προοίμιον ἐκλείπει·
ἔμπροσθεν κεφαλαίων γὰρ καὶ τινῶν ὑπερόχων
οὐ δεῖ προοιμιάζεσθαι· καὶ πρὶν Ἀρείῳ πάγῳ
οὔτε προοιμιάζοντο, οὔτ' ἐπιλόγους εἶχον·
καὶ ἐν πολλοῖς ἑτέροις δὲ προοίμιον οὐ πίπτει,
ὅταν τὸ πρᾶγμα γνώριμον, ὅταν στένος ὁ χρόνος·
ὅταν ὑπὲρ ἡμῶν ἐστὶν αὐτὸ τὸ πεπραγμένον.

6ι
l Cod: πλα$^{\text{τν}}$

ά6
m Cod. βι

λι
n Cod. διο

καὶ ὅταν οἱ ἀκούοντες τυγχάνωσιν οἰκεῖοι·
ποτὲ δυσὶ δὲ καὶ τρισὶ χρώμεθα προοιμίοις.
ἡνίκα τι κεφάλαιον θελήσομεν εἰσάγειν,
καὶ τοὺς ἀκροωμένους προσεκτικοὺς ποιῆσαι·

Τοῦ αὐτοῦ τί ἐστιν εὕρεσις.

Λόγος πλουτῶν νοήμασιν ἐπιχειρήμασίν τε,
ἢ νοημάτων πλοῦτός τις τῷ πράγματι προσφόρων·
εὕρεσιν τὴν ὑπόθεσιν καλεῖ καὶ τὰς μεθόδους·
τὴν μὲν διδοῦσαν ἀφορμὰς πολλὰς τῶν προοιμίων,
τὴν μέθοδον δ' ὡς ἄριστα ταύτας οἰκονομοῦσαν.
εὕρεσις πρὸς κεφάλαιον ἐν τούτῳ διαφέρει·
πρόκειται τὸ κεφάλαιον, ἐφέπονται δ' εὑρέσεις,
ἐν αἷς αὐτὸ πιστώσομεν ἢ λύσομεν ἐντέχνως.
Ἀστάσεις στάσεων εἰσὶν ὡς οἴδαμεν εὑρέσεις,
καὶ ἰδεῶν ἡ τέχνωσις τῶν ἰδεῶν ὁμοίως·
καὶ τὸ περὶ μεθόδου δὲ δεινότητος ὡσαύτως·
καὶ πῶς περὶ εὑρέσεων μόνον ἐγράφη τοῦτο;
ἐκεῖ δὲ τάξιν οὐχ εὕρεσιν ὧνπερ διδάσκει γράφε·
τῇδε δὲ πάντων ἀκριβῶς διδάσκει τὰς εὑρέσεις,
ἐξ ὧν ῥητόρων τέλος λόγον συμπερατοῦνται.
εἰσὶ δὲ τὰ προοίμια, διήγησις, ἀγῶνες,
οὓς Ἑρμογένης κέκληκε κεφάλαια· τῶν δ' ἄλλων
οἱ μὲν λύσεις κεκλήκασι, οἱ δ' ἀντιθέσεις λύσεων·
τίς ὁρισμὸς ὑπάρχει δὲ νῦν μάνθανε προοιμίων.
ἀρχὴ λόγου τὴν σύμπασαν ὑπόθεσιν * * * * [n]
ἢ λόγος πρὸς ὑποδοχὴν ἀκροατὰς ἰθύνων,
ἢ λόγος τέκτων πρόσοψις εὐνοίας, εὐμαθίας·
ἐκ τῶν κιθαρῳδούντων δὲ προοίμιον ἐκλήθη.
Ὁ τόμος τι διάφορον κέκτηται πρὸς τὸ τμῆμα.
ὁ τόμος περιέχει μὲν, ἔχεται δὲ τὸ τμῆμα·
οἷον τόμος ἐστὶν ὁ πᾶς τῶν προοιμίων λόγος·
ὁ δὲ περὶ ἑνὸς αὐτῶν πάντων τυγχάνει τμῆμα.

[n] Adeo indistincte scripta est hæc vox ut legi nequeat.

Ἑρμογένους Τέχνη Ῥητορικῆς
περὶ Εὑρέσεων.

Ἡ πρώτη καὶ καλλίστη μὲν εὕρεσις προοιμίων·
εἰσάγει τὰ προοίμια ὁ τεχνικὸς αὐξάνων,
ὡς ἂν προθύμως ἅπτοιτο πᾶς τούτων διδαγμάτων.
πρώτη καὶ οὐ προτέρα τοιουτοτρόπως εἶπεν.
ἐπὶ πολλῶν τὸ πρώτη γὰρ, προτέρα δ' ἐπὶ δύο.
καλλίστην καθ' ὑπέρθεσιν καὶ οὐ καλὴν εἰρήκει·
εὑρέσεις γὰρ αἱ σύμπασαι καλαὶ τῶν προοιμίων·
αἱ δ' ἐκ τῶν ὑπολήψεων πρωτεύουσι τῶν ἄλλων·
τὰ γὰρ ἐξ ὑπολήψεων φαίνεται κ'ἂν τοῖς ἄλλοις·
οὐ μὲν ἐν τούτοις τὰ λοιπὰ, διὸ καὶ πρὸ τῶν ἄλλων
τὴν τῶν ἐξ ὑπολήψεων διδασκαλίαν γράφει.

Πῶς πρῶτον οὐ τὸ πρόσωπον ἀλλὰ τὸ πράγμα λέγει;
δύο γὰρ ἐκ τοῦ πράγματος προοίμια ποιεῖ τις·
ἢ γὰρ καλὸν εἴ τε κακὸν πάντως ἐστὶ τὸ πρᾶγμα·
ἐκ τοῦ προσώπου δὲ πολλὰ προοίμια ποιήσεις·
πολλαὶ καὶ γὰρ ὑπάρχουσιν προσώπων ὑπολήψεις·
τὰ δὲ ἁπλῶς πῶς πρότερα τῶν πολυσχιδεστέρων·

Πῶς εἶπεν ἐν προβλήμασιν οὐχὶ ζητήμασι;
ὡς ἂν καὶ τὰ ζητήματα τῇ λέξει περιλάβῃ·
τὸ πρόβλημα καὶ ζήτημα ἐστὶ γὰρ ἐξ ἀνάγκης,
οὐ μὴν δὴ ζήτημά ἐστι καὶ πρόβλημα καλεῖται.

Ἔχοντας μὲν τὰ πράγματα καὶ τὰς ἐγκλήσεις λέγει
φεύγοντας καὶ διώκοντας, ἔξω δ' ἐμφαινόμενα,
μάρτυρας, φίλους, συγγένεις, ἐχθροὺς καὶ πολεμίους.

Ἓν δὲ πολλάκις ἔνεστι, πολλάκις δὲ καὶ πλείω.
ὑπόληψις πλειόνων μὲν ὑπάρχει παρ' Ὁμήρῳ

οὗπερ ὁ Νέστωρ εἰρηῦ τοὺς στρατηγοὺς προτρέπων,
ἐξ ἀσυμφόρου πρότασιν ποιεῖται προοιμίου·

δείκνυσιν ὑπόληψιν ἐχθρῶν Πριάμου καὶ τῶν Τρώων,
ἀλλά μοι κατ' ἐπένθεσιν λεκτέον καὶ τὰ ἔπη.
" ὢ πόποι ἦ μέγα πένθος 'Αχαΐδα γαῖαν ἱκάνοι·
" ἦ μὲν γηθήσει Πρίαμος Πριάμοιό τε παῖδες,
" ἄλλοι τε Τρῶες μέγα μὲν κεχαροίατο θυμῷ.
" εἰ σφῶϊν τάδε πάντα πυθοίατο μαρναμένοϊιν."

Ἂν μὲν χρήσεις δημόσιον δοκῇ τὸ πεπραγμένον
τότε χρεὼν τοὺς δικαστὰς καλεῖν πρὸς χαρμοσύνην.
ἂν δὲ χρηστόν τι μερικὸν οὐχὶ τῶν δημοσίων,
αὐτὸ προσῆκον ἐπαινεῖν τὸ πεπραγμένον πρᾶγμα.
τοὺς δικαστὰς δὲ πρὸς χάραν παρακαλεῖν οὐ δέον·
" τί γὰρ τὸ κοινὸν ὠφέλησε τοῦ βίου
" κάπρος φονευθεὶς ἢ λέων πεπνιγμένος;"
εἰ χρή με μικρὸν προσλαβεῖν τὰ τοῦ Πισίδου.

Ἄνδρες πολῖται νῦν φησὶν, οὐ δικασταὶ ὡς πρώην,
ὡς ἂν καὶ συμβουλεύεται τὰ προοίμια διδάξῃ·
δικανικῆς καὶ συμβουλῆς κοινὸν γὰρ τὸ πολῖται·
κοινὸν καὶ πανηγύρεως, ὅθεν εἰρήκει οὕτως.

Τοῦ Τζέτζου εἰς τὸ χαλεπαίνειν.

Πότε δὲ χαλεπαίνουσιν οἱ δικασταὶ ῥητέον·
ἄν περ κοινὸν ἀδίκημα εἴη τὸ πεπραγμένον,
ὡς ἱεροσυλία τίς, μοιχεία, καὶ τὰ τοιαῦτα·
οἰκτείρουσι δ' ἐν πάθεσιν, ὡς ἐπὶ τοῦ ἐμπρησθέντος
ἐκ κακουργίας πονηροῦ γείτονος ἐπιβούλου.

Ἐνώπιόν τις τῆς μητρὸς ἔκτεινε τὸν υἱέα.
ἡ ζήτησις μετάληψις ὑπάρχει τῶν ἀγράφων·
ἀντίληψις οὐκ ἔστι, καὶ γὰρ ἐν ἀντιλήψει
ἄμφω καταντιώμεθα αὐτὸ τὸ πεπραγμένον·
καὶ σὺν αὐτῷ τῷ πράγματι καὶ τὸ συμβὰν ἐκ τούτου
νῦν δὲ τὸν φονέα τοῦ υἱοῦ τὸ πρᾶγμα συγχωροῦντες,

τὸν τόπον αἰτιώμεθα ἀνθ' ὧν ἀνεῖλε τοῦτον·
κατ' ὀφθαλμῶν τῶν τῆς μητρὸς, ἐνώπιον ἐκείνης.

Αἱ ἀποδόσεις δέ φησιν εἰσὶν αἱ ἀξιώσεις·
ὃ ἀξιοῖς γὰρ καὶ ζητεῖς γενέσθαι καὶ πράχθαι,
τῇ ἀποδόσει δείκνυε τοῦτο τοῦ προοιμίου·
ὥσπερ καὶ τὸ προοίμιον ἔχει τὸ τῶν φυγάδων
τῇ ἀποδόσει δείκνυσιν· ὁ γὰρ ζητεῖ γενέσθαι,
λέγων αὐτοὺς ἐλήλυθα κατάγειν συμβουλεύων.

Ἀπὸ δὲ τῶν εὑρέσεων γίνονται αἱ προτάσεις·
πρῶτον εὑρεῖν ἁρμόδιον πάντων τὰς ὑπολήψεις
προσώπων καὶ πραγμάτων τε καὶ τῶν λοιπῶν ὁμοίως·
καὶ πρὸς ἐκείνας πρότασιν ποιεῖν τῶν προοιμίων·
εἶτ' οὖν ἐξ ὑπολήψεως, εἴτε καὶ ἀπὸ χρόνου.
φησὶν γοῦν, πρὸς τὴν εὕρεσιν ποιοῦ καὶ τὰς προτάσεις,
καὶ μὴ μακρόθεν τοῦ σκόπου τοῦ προκειμένου λέγε,
παραληρῶν ἀλλόκοτα καὶ πόρρω τῆς ἐννοίας.

Καὶ δριμύτης προοιμίου ἡ πρότασις ὑπάρχει·
τοῦ τε τεχνικώτατα προοιμίου ὑπάρχει,
οὗ πρότασις ἐφάψεται συμπάσης τῆς ἐννοίας·
κἀκ τῆς ἀρχῆς κατάδηλον ἀκροαταῖς ποιῆσαι·
ὡς Γρηγόριος ταῖς γραφαῖς· "τιδαὶ οἱ Μακκαβαῖοι;
τούτων γὰρ ἡ παροῦσα νῦν πανήγυρις ὑπάρχει."

Ἑξῆς τρεπτεὸν δὲ φησὶν ἐπὶ τοὺς κατηγόρους·
ἐξῆς ἐξ ὑπολήψεων προοιμίου λεκτέον,
ἐκ τῶν ὑπολήψεων αὐτῶν φημὶ τῶν κατηγόρων,
εἰ καὶ τὰ πρὶν προοίμια δ' ἐλεχθῆ κατηγόροις,
πλὴν δικαστῶν ὑπόληψιν εἶχε καὶ τῶν πραγμάτων
νῦν κατηγόρους λέγει ῥήτορας, ἐντολέας,
οἵπερ καὶ ἄλλοις συνεχῶς κατηγοροῦσι δίκαις,
καὶ πᾶσαν τὴν ὑπόληψιν λαμβάνουσιν ἐκεῖ·

ὡς Δημοσθένης ῥήτωρ ἂν σύναμα[o] καὶ διώκων.
ἄτοπον δ' ἦν συνήγορον ἔσχεν ὁ Δημοσθένης
ὃς τοῖς λοιποῖς συνηγορῶν ἐλάμβανε τὴν νίκην·
Αἰσχίνης ἐτραγῴδησε πρεσβεύων ἐπὶ Φίλιππον·
τινὲς φασὶν ἀντίληψιν τὸ ζήτημα τυγχάνειν·
ἄλλοι δὲ τοῦτο στοχασμὸν, ὅπερ ἐστὶ καὶ κρεῖττον·
τὸ δ' ἐτραγῴδησε δηλοῖ δρᾶμα πεποιηκέναι,
οἷα τὰ Εὐριπίδου καὶ τραγικῶν τῶν ἄλλων·
Σικελὸς εἶπε λιγυρὸν[p] Φιλίππου τῇ τραπέζῃ.
εὔφωνος ἱστορεῖται γὰρ ὑπάρχειν ὁ Αἰσχίνης.

Ἔντευθεν ἀποκήρυκτος ἀντίληψις ἡ στάσις
ἀπὸ τοῦ πεπραγμένου τε καὶ τοῦ ξ ισιμ[q].
καὶ πεπραγμένον μέν ἐστιν ἡ δόσις ἡ τοῦ ξίφους·
ἐπὶ συμβὰν δ' ὁ θάνατος ὁ τοῦ πατρὸς ὑπάρχει.

Τότε χρεὼν ὑπάρχει γὰρ ἔκκρουσθαι τε τὸν φθόγγον,
ὅταν συμβῇ τὸν φεύγοντα δόξης τυχεῖν ἢ πλούτου
ἀπὸ τοῦ πράγματος, διὸ τὴν δίκην συγροτοῦμεν·
ἂν δ' ἦν ἐν χρόνῳ πλουτῶν ἢ καὶ δεδοξασμένος,
ὡς Περικλῆς ἢ ἕτερος, οὐχὶ μνηστέον φθόνου·
ἂν δὲ τὸν φεύγοντα μιμῇ καὶ μελετᾶς ἐκεῖνον·
ἄνπερ ἐστὶ νεόπλουτος εἴτε τῶν νεοδόξων,
ἀπὸ τοῦ πράγματος ἀντι διὸ κροτεῖς τὴν δίκην,
τὸν φθόνον μᾶλλον κύρωσον, καὶ μὴ ἐκκρούσῃ τοῦτον·
ὡδὶ δὲ προοιμιάσαι καὶ πρότεινον τὸν λόγον·
ὅτι μὲν ὁ κατήγορος βασκαίνων μηδὲ τῆς τύχης
ἀγῶνα συνεκρότησε νῦν κατ' ἐμοῦ καὶ δίκην,
οὐδένα οἶμαι ὑμῶν τῶν ἀγνοούντων.

Τὰς ἐχθρὰς ποτὲ δὲ δηλοῦν καὶ πότε δὲ συγκαλύπτειν
ὁ τεχνικὸς σαφέστατα νῦν λέγει καὶ κάλλιστα·

o συνα Cod. p λι· q an ξιφίσματος?

ἅπερ ἀρνεῖται μὲν χρεὼν τὰς ἐχθρὰς ἀπαρνήσῃ,
ὁμολογοῦντες πάλιν δὲ ὅπου χρεὼν ὑπάρχει.

Ὁ Περικλῆς ὁ στρατηγὸς Ὀλύμπιος ἐκλήθη
εἴτ' οὖν τροπαίων ἕνεκεν, εἴτ' εὐγλωττίας χάριν.

Ἡ κατὰ Ἀνδροτίωνος ὑπόθεσις τοιάδε·
Εὐκτήμων καὶ Διόδωρος πρὶν κατηγορηθέντες
ὑπὸ τοῦ Ἀνδροτίωνος τοῦ τῇδε προκειμένου·
Εὐκτήμων μὲν εἰς χρήματα, ὁ δὲ ὡς πατροκτόνος·
τῇ δίκῃ οὐχ ἑάλωσαν· ἦν γὰρ συκοφαντία·
ὕστερον Ἀνδροτίωνος οὗτοι κατηγοροῦσι
εἰσαγαγόντες ψήφισμά τι τῶν ἀπροβουλεύτων,
δι' οὗ τὸν δῆμον τὴν βουλὴν ἔπει στεφανῶσαι·
μὴ πρότερον ποιήσας τριήρεις ὡς ἦν νόμος.
καὶ πρότερος Εὐκτήμων μὲν εἷλξεν αὐτὸν εἰς δίκην·
Διόδωρος δὲ δεύτερος χωρεῖ πρὸς τὸν ἀγῶνα·
κατά τινας χρησάμενος λόγῳ τῷ Δημοσθένους,
καθ' Ἁλικαρνασέα δὲ τῷ λόγῳ τῷ οἰκείῳ·
ἐπεὶ δ' ὑπ' Ἀνδροτίωνος ἦν προηδικημένος,
ἐν προοιμίοις κατ' ἀρχὰς ὁμολογεῖ τὴν ἔχθραν.
Τοῦ ὅπερ ὁ Εὐκτήμων δὲ ὁ νοῦς ἐστὶ τοίοσδε·
ὅπερ Εὐκτήμων ᾤετο ἁρμόδιον ὑπάρχειν,
θλιβεὶς ὑπ' Ἀνδροτίωνος τὸ βοηθεῖν τῇ πόλει,
καὶ τὸ λαβεῖν ὑπὲρ αὐτὸν δίκην καὶ τιμωρίαν.

Ἱστορία.

Νέαιρα δούλη γέγονεν Ἀτθίδινος Καρε
ᾗ συνοικήσας Στέφανος παῖδας φύει·
πωλεῖν δὲ νόμου λέγοντος ξένας ἀστοῖς συνοίκους,
Θεόμνηστος χρησάμενος τῷ λόγῳ Δημοσθένους
παρὰ τοὺς νόμους δείκνυσι Στέφανον συνοικοῦντα·
πεπράσθαι τε τὴν Νέαιραν λοιπὸν κατασκευάζει.
εὐθὺς ἐκ προοιμίου δὲ ὁμολογεῖ τὴν ἔχθραν·
πολλὰ τὰ συνωθοῦντά με κατὰ Νέαιραν γράψας·

καὶ γὰρ προηδικημένος μεγάλως τῷ Στεφάνῳ.
φθάσας γὰρ προηδίκησεν ὁ Στέφανος ἐκεῖνον.
ὁ Ἀπολλόδωρος καὶ γὰρ γαμβρὸς ἦν Θεομνήστου,
γαμβρὸς δὲ ἐπὶ τῇ ἀδελφῇ καὶ πενθερὸς κατ' ἄμφω.
εἶχε γὰρ ὁ Θεόμνηστος ἀδελφιδῆν ἰδίαν.
οὗτος οὖν Ἀπολλόδωρος εἷς τῆς βουλῆς ὑπάρχων,
ψήφισμα συνεγράψατο στρατιωτῶν δαπάναις
ἀναισιμοῦσθαι χρήματα τὰ τῆς ἱπποδρομίας.
Στέφανος δὲ δείξας τὸ ψήφισμα τῶν πενομένων,
τάλαντα πεντεκαίδεκα τίθησι καταδίκην·
ἃ μὴ καταβληθέντα μὲν μέχρις ἐννάτου χρόνου
διπλασιοῦσθαι ἔμελλον. συνέβαινε δὲ τούτους
τόν τε γαμβρὸν, τὸν πενθερὸν, καὶ τὰς συζύγους τούτων,
ἀπόρους γεγονέναι τε καὶ τῶν ἀτίμων ἅμα·
τριῶν ταλάντων μόλις γὰρ εἶχον οὐσίαν πᾶσαν·
καὶ νόμος τις ἐκέλευε χρεώστας δημοσίου,
μέχρις ἂν χρέος τίσωσιν ἀτίμους καθεστάναι.

Ἱστορία.

Ἡ κατὰ Μεγαρέων δὲ ὑπόθεσις τοιάδε.
μέλλων ἀπόλογον ποιεῖν ὁ Περικλῆς χρημάτων,
ἅπερ κατηναλώθη εἰς ἄγαλμα Παλλάδος,
τοῖς ὅπλοις ἠγαλμάτωσεν ὁ πλάστης ὁ Φειδίας,
ἄθυμος ἦν· ἰδὼν δ' αὐτὸν παῖς ὢν Ἀλκιβιάδης,
τί ὦ Περίκλεις ἀθυμεῖς; εἶπε· τοῦ δὲ φαμένου
ὡς μέλλων τὸν ἀπόλογον νῦν δοῦναι τῶν χρημάτων·
ἐκεῖνος πάλιν εἴρηκεν· ἀλλ' ὡς μὴ δώσεις σκόπει·
καὶ ὃς συνεὶς ἐρρίπισε μέχρις πυρσὸν ἀσβέστου,
ἧς τῷ καπνῷ τῶν συμφορῶν Ἀθῆναι δριμυχθεῖσαι,
τὸν Περικλῆ παρέλειψαν καὶ τὸν καπνὸν ἐσκόπουν.
πρόφασιν γὰρ ὁ Περικλῆς ἐφευρηκὼς τοιάνδε,
ὅτι τὴν γῆν τὴν ἱερὰν ὀργάδα καλουμένην,
τὴν ἥνπερ καθιέρωσαν οἱ Ἀττικοὶ Παλλάδι, [q]

[q] Cod. παλλάδα.

οἱ Μεγαρεῖς εἰργάσαντο κατεσφετερισμένοι·
καὶ ὅτι ὑπεδέχοντο δούλους τῶν Ἀθήνων·
εἴτ᾽ οὖν τὸ ἀτρεκέστερον ὅτι τὴν Ἀσπασίαν
μαινάδα τὴν Μεγαρικὴν σύζυγον Περικλέους,
εὑρόντες ἔν τισιν ἀγροῖς τοῖς παρὰ ταῖς Ἀθήναις,
οἱ Μεγαρεῖς ἐξύβρισαν σὺν ταῖς θεραπαινίσιν·
ψήφισμά τι συγγεγραφὼς κατὰ τῶν Μεγαρέων
ἀνέθηκε τῇ ἀγορᾷ πίνακι τετραγώνῳ.
εἶργε τοὺς Μεγαρέας δὲ τὸ ψήφισμα ἐκεῖνο
λιμένων τε καὶ ἀγορῶν τῶν ἐν Ἀτθίδι πάντων,
προσλαλίας τε Ἀττικῆς οἷα τινὰς ἐκσπόνδους·
καὶ τοῦτο δὲ τὸ ψήφισμα ἐγγεγραμμένον ἦν,
τὸν Μεγαρέα κτείναντα τελεῖν τῶν ἀζημίων·
ἐν τούτῳ τῷ ψηφίσματι μάχης πυρσὸν ἀνάψας,
πέφευγε δοῦναι Περικλῆς ἀπόλογον χρημάτων.

Ποτὲ καὶ ἀντιστρέφομεν πλὴν μέρει βραχυτάτῳ.
ὡς ἂν τεθήσωμεν πιστὸν ἀκροαταῖς τὸν λόγον
αα
δικνυ ἀντέγκλημα, ἀντίστασις δ᾽ οὐκ ἔστιν·
ὡς λειποτάκτην γὰρ αὐτὸν ἀπέκτεινεν ἡ μητὴρ
οὐ μὴν ὡς ἀριτάσωσι στραφέντες οἱ ἐννέα
τὴν τάξιν, τὴν παράταξιν, καὶ τὸν συνασπισμόν δε.
Δημήτριος δ᾽ ὃν ἔκτεινεν ἡ μητὴρ ἐκαλεῖτο·
ὡς τὸ παρ᾽ ἐπίγραμμα δηλοῖ τὸ ἐλεγεῖον·
“ τὸν παραβάντα νόμους Δημήτριον ἔκτανε μητὴρ,
“ τὸν Λακεδαιμόνιον ἡ Λακεδαιμονία.”

Τὸ τοῦτον εὑρισκόμενα τὸν τρόπον πανταχόσε
τοῦτο δηλοῖ τρανότεραν καὶ διεφερμηνεύει·
ἁπανταχοῦ οὗπέρ ἐστιν ὑπόληψις προσώπου,
προσώπου τε καὶ πράγματος κατὰ τὸν τρόπον τοῦτον,
καθ᾽ ὃν αὐτὸς ἐδίδαξε τῇ νῦν διδασκαλίᾳ·
τὰ ἐκ τῶν ὑπολήψεων προοίμια εὑρήσεις

καὶ κατὰ τοῦτον καὶ αὐτὸς διαίρει καὶ μελέτα,
ἁπανταχοῦ οὗπέρ ἐστιν ὑπόληψις ὁποία.

Περὶ τῶν ἐξ ὑποδιαιρέσεως προοιμίων.

Οὐκ ἔχω τι σαφέστερον εἰπεῖν τοῦ τεχνογράφου,
εἰ μὴ βαττολογεῖν θέλω μακρὰ κατὰ τὸν Βάττον·
δ ει
εἴτε υαrῦ φληναφεῖς καὶ ἀκανθώδεις λόγους,
ἢ κατὰ Βάττον δύσφωνα λαλεῖν τὸν Κυρηναῖον,
ἐξ οὗπερ παρεισεφόρησε τὸ βατταρίζειν τῷ βίῳ.
οὗτος γὰρ πρὶν καλούμενος κλῆσιν Ἀριστοτέλης,
Βάττος διὰ τὸ βάρβαρον καὶ δύσφωνον ἐκλήθη
αι
ἔτι πρῶτον· ταῦτα δὲ τῶν ἄλλων προοιμίων
εἰδὼς τὸ ἀδιάφορον εἰδῶν ὁμοτιμίαν·
τὰ πάντα γὰρ προοίμια τοῦ προοιμίου εἴδη.

Ἑξῆς φησὶν μαθήματα τὰ μέλλοντα ῥηθῆναι·
τὰς ὑποθέσεις τὰς ἐξ ὧν μέλλει διδάξαι ταῦτα.

Εὔθηκτα[r] καὶ δριμέα μέν ἐστιν ἐφευρημένα
τὰ ἐκ τῆς διαιρέσεως προοιμία, εἰ πέσοι
τινὶ τῶν ὑποθέσεων τεθέντα καταλλήλως,
ἠκονημένα καὶ λαμπρὰ καὶ τμητικὰ τυγχάνει·
τουτέστι ἐναργέστατα καὶ τῶν δραστικωτάτων·
ἢ μεταχείρισιν καλὴν καὶ θίξιν κεκτημένα,
ὀξύτατον τὸν ῥήτορα καὶ δεξιὸν δεικνύει
τὰ ἐκ τῆς διαιρέσεως προοίμια τοιαῦτα·
πλὴν τῶν ἐξ ὑπολήψεων φέρει τὰ δευτερεῖα.
τῶν γὰρ ἐξ ὑπολήψεων ἡ ἐπιτηδειότης
ἐν πᾶσι τοῖς ζητήμασιν ἐμφαίνεται συνοῦσα·
καὶ σύμπασι τοῖς εἴδεσι τῶν πάντων προοιμίων,
τῶν ἐκ τῆς διαιρέσεως, τῶν ἐκ περιουσίας

ι α
[r] Εὔθηκτ Cod.

σὺν τούτοις, καὶ τοῖς ἐκ καιροῦ φαίνεται προοιμίοις·
τὰ δ' ἐκ τῆς διαιρέσεως φαίνεται σπανιάκις.

Οἷον κατέσκαψαν τινὲς πόλιν ἐν τῷ πολέμῳ·
τοῦτο τινὲς μὲν στοχασμὸν λέγουσι πεφυκέναι·
στοχαστικὸν σημεῖον γάρ φησιν τῆς ἀσεβείας,
τὸ μὴ τὴν γῆν τοῖς σπείρασι καρποὺς ἐξαναδοῦναι·
κατὰ δὲ στοχασμόν ἐστιν ἀντίληψις τὸ πλέον·
τὸ κατασκάψαι γὰρ φαμὲν πρῶτα καὶ γεωργῆσαι·
ἅπερ τῆς ἀντιλήψεως γνωρίσματα τυγχάνει·
ἀνεύθυνα τῷ φεύγοντι δοκοῦντα πεφυκέναι,
ὑπεύθυνα θατέρῳ δὲ φημὶ τῷ κατηγόρῳ·
κ' ἂν τούτοις παρεμπέπτωκε στοχαστικὸν σημεῖον,
τὸ μὴ τὴν γῆν τοῖς σπείρασι καρποὺς ἐξαναδοῦναι.
Τζέτζης δὲ τοῦτο στοχασμὸν πλὴν ἀδιστάκτως λέγει.
φησὶν γὰρ εἴ τις ἀσεβεῖς εἴποι δοκεῖτε,
οὐδεὶς ἂν εἴπῃ ἔξεστιν ἀσεβεστάτους εἶναι·
ἀλλὰ ἐλέγχοις ἀσεβεῖν ποίοις ἡμᾶς σὺ λέγεις;
τὰ πεπραγμένα δ' ἀπ' ἀρχῆς εἰς τέλος οὗτος εἴπῃ·
τὴν πόλιν κατασκάψαντες καὶ γεωργήσαντες
καρπὸν οὐκ ἀπηνέγκατε· ἐξ οὗπερ δῆλον τόδε,
ἀντίληψις τὸ ζήτημα· ἣν δ' ἂν φησὶν τοιῶσδε·
τινὲς πόλιν κατέσκαψαν καὶ γεώργησαν δέ·
καὶ κρίνεται, ἐροῦσι γὰρ ἐξῆν ποιῆσαι ταῦτα·
τὸ δ' ἀσεβείαν κρίνεται, ἀντίληψις οὐκ ἔστι·

Γέρων λαθὼν, νῦν τὸ λαθὼν οὕτω χρεὼν νοῆσαι·
περισωθεὶς ἐν τῷ λαθεῖν οὐκ ἀριστεύσας λάθρα·

Δημάδης παρὰ Φίλιππον πρεσβεύσας, ἐρομένου
τοῦ Μακεδόνος ποταπαὶ τυγχάνουσιν Ἀθῆναι,
ἐπὶ τραπέζης ταύτας τε τῆς τούτου καταγράψας,
ἐπανελθὼν καὶ ὕβρεως κρινόμενος Ἀθήναις.
ὅρος ἐστὶ κατά τινας, ἀντίληψις δὲ πᾶσιν·

ἐγὼ δὲ σφόδρα ἀναιδὲς οἴομαι τοῦτο εἶναι,
τὸν κατάγραψαι ῥήτορα τὴν πόλιν πολεμίοις,
καὶ ἐξουσίαν ἐπ' αὐτῷ συνόλως ἐπεισφέρειν·
ἀλλ' ὅμως οὐ κρινόμενος ὡς ἄδικος ἐνταῦθα,
ὡς δ' ὑβριστὴς τῆς πόλεως καταγῇ καὶ μόνη
ἐξεῖτου λέγειν ἔξεστι τοῦ γράφειν ἐξουσίαν.

Καὶ τοῦ προτέρου βίου μὲν Δημάδην Ἀθηναῖοι,
Δημάδης διεβάλλετο βίου τελεῖν κακίστου·
τὸν γὰρ υἱὸν τὸν ἑαυτοῦ ὡραῖον ὄντα κάλλει
Φιλίππῳ καταλέλοιπεν ἕνεκα φαύλου τρόπου.

Αἰσχύνην ὅτι ἔγραψε τοῦ χθαμαλὸν τὸ τεῖχος·
ζημίαν, ὅτι ἔμελλεν πῶς ἀνυψῶσαι τοῦτο,
μήπως ὁ Φίλιππος ἐλθὼν τὴν πόλιν καταστρέψῃ.

Ἐπὶ τῶν δημοσίων μὲν τοῦτο ἀεὶ συμβαίνει·
ὡς ὅταν κατηγόρημα κατ' Ἀθηναίων λέγῃς,
εἴτε κατὰ Λακώνων τε καὶ τῶν ὁμοίων τούτοις·
τοῖς ἰδικοῖς δὲ πράγμασι οὐ πάντοτε συμβαίνει.
εἰπὼν δὲ πρὶν δημόσιον ἀδίκημα Δημάδης,
νῦν τὸ κατὰ πορνοβοσκὸν, ἢ μάγον, ἢ τελώνην·
τίθησιν εἰς παράδειγμα τοῦ ἰδικοῦ γὰρ ταῦτα.

Πορνοβοσκὸς ὁ κλῆσιν δὲ θεὶς τῶν μουσῶν ταῖς πόρναις
ἀντίληψις ὑπάρχει ἐκ τοῦ μὴ κεκωλύσθαι·
πορνοβοσκὸς δὲ λέγεται ὅστις ἂν πόρνας τρέφῃ
ἕνεκα τοῦ πορνεύεσθαι, πολλάκις δὲ καὶ νέους·

Μάθημα νῦν τὴν μέθοδον ὁ Ἑρμογένης λέγει,
δι' ἧς περ ἐφευρίσκομεν προτάσεις προοιμίων.

Τάριχον σῶμα λέγεται ἁλσὶ τὸ πεπασμένον·
καὶ σμύρνῃ καὶ ἀλόῃ καὶ τοῖς ξηραντικωτέροις.

Αἰγύπτιοι κατῆρξαν δὲ πρῶτον τῆς ταριχείας·
πόθῳ τηροῦντες ἄσηπτα σώματα τεθνηκότων·
τοιούτῳ δέ τις σώματι ἐμίχθη γυναικείῳ.

Καλεῖται τὸ προοίμιον ἀπὸ περιουσίας,
ὅτι κατὰ περίσσειαν ἐπιχειρεῖ ὁ λέγων,
καὶ εὐπορίαν κέκτηται καὶ πλατυσμὸν τοῦ λόγου.
ὁ σθένων τὸν φονέα γὰρ κρῖναι καὶ δήμου βλάβης,
παρεὶς τοῦ δήμου βλάβην δὲ καὶ μόνον ὡς φονέα
ἕλκων, ποιεῖ προοίμιον ἀπὸ περιουσίας.

Ἰδίαν ἔχει εὕρεσιν ἤτοι κεχωρισμένην·
πρὸς τὰ ἐκ διαιρέσεως προοίμια δὲ λέγει.
ἐκ γὰρ τῆς διαιρέσεως προοίμιον ποιῶν τις
τὰ δύο ἀδικήματα ὁμοῦ περιλαμβάνει·
τῶν ἐκ περιουσίας δὲ τὸ ἓν καταλιμπάνει·
καὶ μάλιστα τὸ μεῖζον μὲν τὸ ἔλαττον δὲ λέγει.

Ὁ ἀριστεὺς ὁ ἄχειρ μὲν μετάστασις ἡ στάσις·
ἂν νόμος ἦν τις κείμενος μὴ τρέφεσθαι ἄχρηστον·
ἂν δέ τις νόμος μηδαμῶς ἔκειτο περὶ τούτου,
ἀφ' ἑαυτοῦ δ' ὁ στρατηγὸς εἶπε τὸ ῥῆμα τοῦτο·
ἀντίληψις τὸ ζήτημα ἔκ τινος τῶν συμβάντων.
τῆς δέ γε ἀντιλήψεως τῆς οὔσης ἀπὸ νόμου
διάφορος μετάστασις ἐστὶ ἡ πρὸς τὸν νόμον·
ἐν ἀντιλήψει γάρ ἐστι κρινόμενος ὁ φεύγων,
ἀφ' ὧν πέρ τι εἰργάσατο πειθόμενος τοῖς νόμοις.
ὥσπερ ἐκεῖνος ὁμοῖον κτείνας τρισαριστέα
ἐν μεταστάσει πέφυκε. κρινόμενος δ' ὁ φεύγων
ἀφ' ὧνπέρ τι οὐκ ἔπραξε μᾶλλον πεισθεὶς τοῖς νόμοις·
ὡς στρατηγὸς ὁ πόλεως τὰς πύλας μὴ ἀνοίξας,
καὶ τοῖς φυγοῦσι γεγονὼς αἴτιος τοῦ θανάτου.

Φυὴ ὁμοῦ τε καὶ φυλὴ γέγραπται τοῖς βίβλοις.

κ'ἂν μὲν φυλὴ τὴν γενεὰν δηλοῖ τοῦ Πεισιστράτου.
Φυή δ' ὑπῆρχέ τις γυνὴ πεντάπηχυς ὡραία,
τὴν ἥνπερ ὁ Πεισίστρατος ὡς 'Αθηνᾶν κοσμήσας
ἐφ' ἅρματος ἱδρύσας τε ἤλαυε πρὸς 'Αθήνας·
ἡ 'Αθηνᾶ κατάγει με λέγων ὑπερορίας.
καὶ οὕτω πάλιν 'Αθηνῶν ἔσχε τὴν τυραννίδα.
τὸ ζήτημα τῆς Φύης δὲ στάσις ἐστὶ συγγνώμη.

Καὶ γέρας ὑπελάμβανον λήψεσθαι τοῖς πράχθεισιν,
ὁ τεχνικὸς προοίμιον ἀπὸ περιουσίας.
ἐγὼ δ' αὖ τὸ προοίμιον ἐξ ἐναντίας λέγω.
τὸ ἐκ περιουσίας δὲ τοιοῦτον ἂν ὑπῆρχεν.
ἐμὲ μὲν ἄξιον λαβεῖν γέρας καὶ διὰ τόδε·
ἀλλ' ὅμως τοῦτο παρεικὼς τόδε ζήτημα τὸ γέρας.

'Απὸ καιροῦ προοίμιον καλεῖται πᾶν τοιοῦτον,
τὸ ἔχον πρᾶγμα προπραχθὲν, ὅ τις ζήτει γενέσθαι.
ὡς ἔχει τὸ προοίμιον Παύλου τοῦ 'Αποστόλου·
Θεὸν τοῖς 'Αθηναίοις γὰρ ἐκεῖνο καταγγέλλων,
ὡς εὗρεν ἔν τινι ναῷ ἐκεῖσε γεγραμμένον·
βωμὸς καθιερώθη μὲν οὗτος θεῷ ἀγνώστῳ·
ποιεῖται τὸ προοίμιον πρὸς 'Αθηναίους λέγων.
" Ἄνδρες ἐγὼ νῦν τῷ δοκεῖν Θεὸν ὑμῖν ἀγγέλλω·
" τῇ δ' ἀληθείᾳ ὑφ' ὑμῶν αὐτὸς ὑμῖν ἠγγέλθη,
" ὁ πότε τὸ ἐπίγραμμα ἐν τῷ βωμῷ ἐγράφη.
" τοῦτον τὸν ἄγνωστον Θεὸν σέβεσθε τοιγαροῦν μοι·
" αὐτὸν ὑμῖν οὐχ ἕτερον ἐγὼ γὰρ καταγγέλλω."

'Αγχίστροφον ἐπιχείρημα τὸ παρευθὺς ἐπάγον
τὴν λύσιν ἢ καὶ πίστιν τε τοῖς λόγοις τοῦ προθέντος,
τὸ ἔχον ἐκ τοῦ σύνεγγυς εὐθὺς ἀπολογίαν·
οἷον ἐπὶ ζητήματος οὗπερ αὐτὸς εἰρήκειν.
" ὑμεῖς ἡμῖν ἠγγείλατε προδήλως 'Αθηναῖοι,
" ὅν περ αὐτὸς τανῦν πᾶσι Θεὸν ἀνακηρύττω.

Θεῷ ἀγνώστῳ γράψαντες ναὸς καθιερώθη.
Ἀγχίστροφον ἐπιχείρημα καλεῖται δὲ τοιῶσδε·
ὅτι συντόμως πρὸς πειθὼ ἀκροωμένους στρέφει·
ἢ ὡς πρὸς τὴν ἀξίωσιν φερόμενον εὐθέως
ἐξ ἀφορμῆς τοῦ πράγματος τοῦ προγεγενημένου·
ὡς νῦν ἐξ ἐπιγράμματος τούτῳ βωμῷ γραφέντος.

Ἐπισυμπλεγμένα δὲ προβλήματα τελοῦσιν
οἵ τε διπλοῖ τῶν στοχασμῶν καὶ οἱ διπλοῖ τῶν ὅρων,
καὶ ὅσα ὑποθέσεως ἐξέχονται ἑτέρας
τεθείσης ἄλλῳ, λέγομεν νῦν δὲ μιμνησκομένης.

Ἢ γὰρ τοῦτο καλόν ἐστι, λείπει τὸ εἴτε φαῦλον,
καὶ τῶν ἐξ ὑπολήψεως προοιμίων τυγχάνει·
οἷον διπλοῦ σοι στοχασμοῦ παράδειγμα λεκτέον.
Αἰσχίνης Δημοσθένης τε ἀλλήλους ἐγκαλοῦσιν·
ἀλλὰ τῷ Δημοσθένῃ μὲν ὑπόληψις χρηστή τις,
ἥνπερ κατηγορούμενος ἐκεῖνος προβαλεῖται·
διαβαλεῖ Αἰσχίνην δὲ ὡς φαῦλον ὑπολήψει.
ὁ Τζέτζης τὸν Αἰσχίνου δὲ μᾶλλον θειάζει τρόπον.
ἐν οὖν τοῖς πεπλεγμένοις μὲν ζητήμασι τοιοῦτον
κἂν στοχασμὸς, κἂν ὅρος μὲν ἐκ τῶν διπλῶν τελῶσιν,
τότε ἐξ ὑπολήψεως προοίμιον ὑπάρχει.
ἂν δ' ὦσιν ἐξεχόμενα λόγου προειρημένου,
ὡς τὸ ταυτὶ μὲν εἴρηται τῷ εἰρημένῳ λόγῳ·
διηγηματικόν ἐστιν οὐ προοιμίου τύπος.
ἔστι γὰρ προκατάστασις, ὥσπερ ὁ ῥήτωρ λέγει.

Σύγκειται πᾶν προοίμιον τῶν πανηγυρικῶν δέ·
πολλὰ τῶν προοιμίων γὰρ τυγχάνει τῶν ἑτέρων.
ἄλλα μὲν ἐκ προτάσεως μόνης συντεθειμένα,
ἄλλα δ' ἀπὸ προτάσεως κατασκευῆς τε μόνης·
τίνα δὲ καὶ ἀπόδοσιν σὺν τοῖς δυσὶ λαμβάνει.
τὰ δέ γε πανηγυρικὰ φέρει μέρη τέσσαρα
πρότασιν, καὶ κατασκευὴν, ἀπόδοσιν καὶ βάσιν.

διώνυμον ἀπόδοσις ἔλαχε κλῆσιν φέρειν.
καλεῖται γὰρ ἀπόδοσις ἅμα σὺν ἀξιώσει.
ὅταν οὖν λέγῃ τις θαρρῶν, ἀπόδοσις καλεῖται.
ἀξίωσις δὲ λέγεται, ὅταν τις ἱκετεύῃ.
ταύτην φασὶν διαφορὰν εἶναι τῶν δύο τούτων·
καὶ μέμφονται τῷ τεχνικῷ ὡς δοκοῦντι ταύτας.
ἐγὼ δ' αὐτὸν τῆς μέμψεως ταύτης ὑπεξαιρήσω.
οὐ λέγει τὴν ἀπόδοσιν ἀξίουσιν ὑπάρχειν,
ὡς οὗτοι νενομίκασιν, ἀλλὰ τοιουτοτρόπως.
ἡ προοιμίου σύμπαντος ἀπόδοσις ὑπάρχει,
τὸ πρᾶγμα ὅ τις βούλεται καὶ ἀξιοῖ γενέσθαι.

Τοῦ Τζέτζου εἰς τὸ πολιτικώτερον.

Τὸ πολιτικώτερον ἀντὶ τοῦ δικανικώτερον.
ἐν τοῖς δικάστροις γὰρ φροντὶς ἦν συντομίας,
καὶ τοῦ τὰ καίρια εἰπεῖν· ἔλεγον γὰρ πρὸς ὕδωρ.
ἐν δὲ ταῖς πανηγύρεσιν οὔ τις φειδὼ πλατύνειν·
διὸ τούτοις ἐντίθεμεν καὶ πράγματος αἰτίαν.
Ἁπτόμενοι πράγματος τοῦτο σημειωτέον,
ὡς οὐκ ἀεὶ καὶ πάντοτε ταῖς βάσεσιν ἁπάσαις
τῶν ἀπ' ἀρχῆς ἁπτόμεθα, τουτέστιν τῶν πραγμάτων.
οὗ δ' ἂν ἐν βάσει λέγομεν τὰ ἀπ' ἀρχῆς εἰς τέλος,
ἐκεῖνος τὸ προοίμιον τῶν πανηγυριζόντων.
Ἅπερ ἁπλῶς μὴ εἴπωμεν ἁπλῇ τῇ διηγήσει,
ἀλλ' ἐν ἐπιφωνήματι, ἤγουν τοπικωτέρως·
ὡς ἐν τῷ περὶ εὑρέσεων τετάρτῳ λέγει τόμῳ·
τρία ἐπιφωνήματος παραδεικνὺς τὰ εἴδη,
τὸ παρὰ φύσιν τολμηρῶς πλὴν προσφυῶς τι γράψας·
ὡς τῶν νεφῶν τὴν πύκνωσιν ἐξ οὐρανόθεν νύκτα·
καὶ τὸ συλληπτικώτερον πάντα παλιλλογῆσαι
ἑνὶ κώλῳ τὰ πρότερον πλατέως λελεγμένα.
αἱ τροπικαὶ τῶν λέξεων εἶδος εἰσὶ τὸ τρίτον,
ὥσπερ ὁ Τζέτζης βούλεται καὶ διαβεβαιοῦται·
οὐδὲν διαφέρουσαι τοῦ εἴδους τοῦ προτέρου.
Τὸ ἐπιφώνημα λαμπρὸν ἁρμόττον πανηγύρει·

ὅθεν ἐπιφωνήματα τὰ ἀπ' ἀρχῆς εἰς τέλος
ὁ τεχνικὸς διδάσκει νῦν εἰσάγεσθαι καὶ λέγει,
μὴ δ' αὖ κατὰ διήγησιν καὶ μᾶλλον ἁπλουστάτως.
Τὴν φράσιν δὲ τὴν εὔφημον κέκληκεν εὐρυθμίαν,
καὶ τὸν ῥυθμὸν τὸν τρέχοντα τῷ λόγῳ τῷ τοῦ κάλλους
τούτῳ τὴν ἐκφώνησιν τὴν ἔγγιστα μὲν μέτρου—
μὴ μέν τοι μέτρον ἄντικρυς· καὶ τοῖς πέζοις γὰρ λόγοις
τὸ μετρικὸν εἰσόλισθον ἐκσύρεται κακῶς[a].

Τῶν ἀπ' ἀρχῆς εἰς τέλος δὲ φιλοτιμίαν λέγει
τὸ κατὰ ἐπιφώνημα ταῦτα τολμήματα λέγειν.
Πρέπει μὲν τὸ προοίμιον ἐν τῷ δικανικῷ,
ὅσα φησὶ προοίμια δικανικὰ τυγχάνει,
σχοινοτένεσιν καὶ μακροῖς ταῦτα χρὴ κώλοις λέγειν.
τὰ γὰρ σχοινοτενῆ κῶλα διὰ τὴν ἀστιξίαν
συντόμως μᾶλλον λέγεται τῶν κομματικωτέρων.

Σχοῖνος ἐστὶ Περσικὸν μέτρον οἱ ξ̄ στάδιοι,
ὅπερ μεῖζον λέγεται εἶναι τῶν ἄλλων ἁπάντων μέτρων.
ἀπὸ τούτου οὖν ἔλεγον σχοινοτενῆ τὰ κῶλα
τὰ μακρὰ γὰρ καὶ σύντομα καὶ τὰ ἐκτεταμένα.

Περιβολὴ αὐτάρκης δὲ τυγχάνει προοιμίου
διπλασιάσαι ὃν διπλασιάσαι κῶλον·
μὴ περαιτέρω δὲ χωρεῖν καὶ περιβάλλειν ἅμα
περιβολὴν τὸν πλατυσμὸν λέγει καὶ τὰς αὐξήσεις.
ἄλλοι τὸν κοσμὸν δέ φασι, ἕτεροι δὲ τὴν τέχνην.

Τοῦ Τζέτζου ὅρος ἀπ' ἀρχῆς ἄχρι τέλους.

Τὸ ἀπ' ἀρχῆς εἰς τέλος μὲν οὐδὲν ἄλλο τυγχάνει,
ἡ σύντομος ἀφήγησις πράγματος ἢ καὶ λόγου·
δι' ἃ τὸ δικάστρον ἡ κρίσις τε συνέστη·

[a] Cod. κα

ὅπερ ὑπάρχει τό, δι' οὓς ἄπαιδες νῦν αἱ νῆσοι·
ὃ καὶ κατ' ἐπιφώνημα διπλῶς τανῦν ἐρρήθη
καὶ παρὰ φύσιν τολμηρῶς πλὴν προσφυῶς λεχθέν γε·
ὡς καὶ συλληπτικώτερον ἐν ἐπιλόγου τύπῳ
ἀναληφθὲν ἐλέχθη δὲ πάλιν ἐνὶ τῷ κώλῳ.
τῶν ἐπιφωνημάτων δὲ τὰ εἴδη προειρήκειν.

ΤΟΜΟΣ Β ΠΕΡΙ ΕΥΡΕΣΕΩΝ.

Περὶ τοῦ προοιμίου πρὶν πρώτῳ διδάξας τόμῳ
ἐν τῷ δευτέρῳ τεχνικῶς τῷδε διδάσκει τόμῳ,
μὴ μετὰ τὸ προοίμιον εὐθέως διηγεῖσθαι·
ἐκ τῶν ἀτέχνων τοῦτο γὰρ καὶ τῶν ἀρρητορεύτων·
ἀλλὰ προκαταστήσαντα πρῶτον προδιηγήσει,
τότε τῆς διηγήσεως ἀπέρχεσθαι πρεπόντως.
Τζέτζης κατὰ τὸν ἄνδρα δὲ λέγειν οὐ θέλει ταῦτα·
λέγει δὲ τὴν διήγησιν πλατυνέσθαι ποικίλως,
ἄνπερ τρισὶ καὶ τετράσι κώλοις παλιλλογῶμεν
τὰ πεπραγμένα πράγματα καὶ τούτων τὰς αἰτίας,
καὶ τὰ παραλειπόμενα καὶ τούτων τὰς αἰτίας,
τῶν αἰτίων τε λογισμοὺς δι' οὓς συνέβη τάδε·
καὶ ὅσα πρὶν πεπραγμένα ἐν τῇ προυφηγήσει.
οὐκ ἔχω δὲ σαφέστερον τοῦ τεχνικοῦ τι λέξαι,
εἰ μή που χρήζω φληναφοῦς μακροκόμπου λόγου.
πάντα τὰ τῇδε γὰρ σαφῆ καὶ τῶν αὐτονοήτων.

Πρεσβύτερα καὶ χρήσιμα εἰσὶ τῇ ὑποθέσει
ἂν μὲν κατηγορῇ τινος τὰ προπραχθέντα φαῦλα,
ἂν δ' ὑπερηγορῇ τινος χρηστὰ τὰ προπραχθέντα·
τῇδ' ἀξιώσει εἴρηκεν ὁ τεχνικὸς ἐνθάδε,
διά γε τὰ ζητήματα τῆς συμβουλῆς τοῦ εἴδους·
κρίνει δὲ πάλιν ἕνεκα τῶν δικανικωτάτων.

Οἷον Λυδοὶ μὴ ῥέοντος τοῦ Πακτώλου χρυσίον,
εἴτε καὶ οἱ Αἰγύπτιοι Νείλου μὴ πλημμυροῦντος.
τίς ἀγνοεῖ τὸν Πάκτωλον περὶ τὰς Σάρδεις ῥέειν ;

καὶ τίς δὲ τὴν ἀνάβασιν ἠγνόησε τοῦ Νείλου;
ὃς πελαγίζων ὥρια τὴν Αἴγυπτον ἀρδεύει.
Αἴγυπτος γὰρ ἀχείμαστος οὐδ' ὄμβροις καταρρεῖται.
τίς οὗτος παχυνούστατος τῶν ἀγνοούντων ταῦτα.

Οἷον κατὰ συνεχὲς σείεται Σικελία.
κοιλὴ καὶ κισσηρώδης μὲν ἐστὶν ἡ Σικελία·
οὐκ ἄμοιρος τῆς νάφθης δὲ τυγχάνει καὶ τοῦ θείου·
καὶ καταξήροις πνεύμασι βάθει ῥιπιζομένη,
πυρὸς προπέμπει ῥύακας ἐξ ὄρους τοῦ τῆς Αἴτνης
μέχρι Κατάνης πόλεως, ἧς κτήτωρ ὁ Ἱέρων.
οὐδὲν οὖν ἐστὶν ἀπεικὸς σείεσθαι Σικελίαν,
οὖσαν γαζοφυλάκιον ἀνέμων καταξήρων.

Ἡ ἀπουσία τις ἐστὶ μάτην μακρηγορήσω,
ἀποβολὴ, ἀπέλασις, ἔκπτωσις, στέρησίς τε·
οὐδὲν ἐνταῦθα γὰρ δεινὸν, πάντα σαφῆ καὶ δῆλα.
ὁμῶς ἐπεὶ, καθ' Ὅμηρον ἀεὶ νικᾷ τὰ χείρω,
καὶ μακρηγορεῖν συγγραφεῖς ἄνδρες ἀκαιρογράφοι
δοκοῦσι γράφειν καίρια τισὶν ἀσκεπτοτέροις,
μάτην κατηδολέσχησα ληρήσας μακρηγόρως·
τὸ γὰρ στενὸν τὸ τῆς γραφῆς τὸ μετ' οἰκονομίας,
ὃ περικλείει περισσὰ τμήματα βραχυτάτως,
μᾶλλον τισὶ τῶν ἀσθενῶν δοκεῖ καὶ μωμητέον.

Περὶ νόμων εἰσφορᾶς καὶ θέσεως ἢ διαλύσεως.

Αἱ δὲ τῶν νόμων εἰσφοραὶ καὶ λύσεις αἱ τῶν νόμων
αἱ μετὰ περιστάσεως ἤγουν αἱ γυμνασίαι,
τουτέστιν αἱ πραγματικαὶ, ταύτας καλεῖ γὰρ οὕτω·
τί δὲ περίστασις ἐστὶν οἶδας ἀκριβέστερον·
καὶ τίνι διαφέρουσι πραγματικὴ καὶ θέσις.
ἡ μὲν τελοῦσα γύμνασμα καὶ στάσις τῶν τελείων,
ἡ θέσις δὲ προγύμνασμα καὶ τῶν ἀτελεστάτων.
αἱ δὲ τῶν νόμων εἰσφοραὶ καλῶς οὕτως εἰρήκει.
ποτὲ καὶ γὰρ εἰσφέρομεν νόμους ἐπιτιθέντες,

ὅτε καὶ νόμον ἕτερον λύομεν ἀκυροῦντες·
ὅτε δὲ καὶ εἰσφέρομεν καὶ ἀκυροῦμεν ἅμα,
τί μέρος νόμου φέροντες, τί δε καὶ ἀκυροῦντες.
οἷον, φονεύει μοιχοὺς ἐπ' αὐτοφώρῳ νόμος·
εἰσφέρομεν τῷ νόμῳ γὰρ τότε συνηγορίαν,
καλλίστως ἔχειν λέγοντες κτείνειν μοιχοὺς κελεύων.
λύομεν ἐκ τοῦ νόμου δὲ τούτου καὶ ἀκυροῦμεν,
τὸ τοὺς μοιχοὺς φονεύεσθαι καὶ παρὰ τοῦ τυχόντος,
τὴν κρίσιν δὲ μὴ γίνεσθαι παρὰ τῶν δικαζόντων.

Τοῦ Τζέτζου Ἱστορία.

Ὁ στρατηγὸς Μαρδόνιος Δαρείου *καὶ τοῦ* Ξέρξου
ἐκπλεύσας σὺν στρατεύματι μυριῶν μυριάδων
κατ' Ἀττικῆς *ἐστράτευσε περὶ τὸν* Μαραθῶνα·
οἷδ' Ἀθηναῖοι *στέλλουσι πρὸς* Λακεδαιμονίους
αἰτούμενοι βοήθειαν, οἱ Λάκωνες *δ' ἀντεῖπον,*
ἐν πανσελήνῳ πολεμεῖν νόμος ἡμῖν ὑπάρχει·
ἐπεὶ δ' οὔπω πανσέληνος, ὑμῖν οὐ συμμαχοῦμεν.
ἀπεγνωκότες τολοιπὸν οὗτοι τὴν συμμαχίαν,
μόνοι ἐννακισχίλιοι ὄντες οἱ Ἀθηναῖοι,
καὶ Πλαταιεῖς *χιλίους δὲ μόνους συμπροσλαβόντες,*
τοῦ Μιλτιάδου *στράτου τῷ τότε στρατηγοῦντος,*
ὁπότε καὶ Καλλίμαχος *πολέμιος ὑπῆρχε,*
καὶ σὺν αὐτῷ Κυναίγειρος *ὁ σύναιμος* Αἰσχύλου,
[t] *κατατρο* (πῆλ) *σύμπασαν τὴν στρατιὰν ἐκείνην·*
περίστασιν δ' ὁ τεχνικὸς κέκληκε τὴν αἰτίαν·
ἐξ ὄντων περιστάσεων· ὅτι χωρὶς αἰτίας
οὔτ' οὖν τις λύειν δύναιτο νόμους οὔτε δ' εἰσφέρειν.
τὸ ζήτημα καὶ πρόβλημα καὶ ὅρος δὲ καλεῖται
μελέτη καὶ ὑπόθεσις καὶ γύμνασμα καὶ πλάσμα.
γυμνάσματα δὲ κέκληκεν ἀργον[u] *τὰς προγυμνάσεις·*
ὥσπερ αἱ στάσεις γάρ εἰσι γυμνάσματα πρὸς νόμους,

[t] *κατατροποῦνται.* [u] *ἀρ* (γl) Cod.

οὕτω τὰ προγυμνάσματα γυμνάσματα πρὸς στάσεις.
μεγάλως ἐδυστύχησε τὸ πρὶν Ἀλκιβιάδης,
μετακληθεὶς τοῖς Ἀττικοῖς ἀπὸ τῆς Σικελίας·
εἶτα σταλεὶς ἠρίστευσεν εἰς Κύζικον πολέμῳ.
ὑπεραπολογούμενος τῆς ἥττης δὲ τῆς πρώην,
τὸν νόμον τοῦτον τέθεικεν, ὅνπερ φησὶν ὁ ῥήτωρ.

Περὶ πολέμου καὶ εἰρήνης· τοῦ Τζέτζου.

Οὕτω προκαταστάσεσι χρησόμεθα καὶ τότε.
πῶς οὕτως ὡς ταῖς εἰσφοραῖς καὶ λύσεσι τῶν νόμων.

Τοῦ Τζέτζου Ἱστορία.

Κροῖσος ὁ Ἀλυάττεω Λυδῶν ἦν βασιλεύων,
μητρόπολιν [x] ἀνα τὰς Σάρδεις κεκτημένος.
τοῦ Πακτώλου δὲ ῥέοντος ἐκεῖσε πρὶν χρυσὸν
ὄμβροις ἐκ Τμώλου ὄρεος τὸ ψῆγμα κεκτημένου·
πάντων πολυχρυσότατος γέγονε βασιλέων.
ὅνπερ κατηχμάλωσε νεκικηθέντα πολέμῳ,
Κῦρος ὁ Πέρσης ὁ υἱὸς Καμβύσου καὶ Μανδάνης.
καὶ τί λόγον πλατύνομεν μάτην μακρηγοροῦντες;
σαφῆ τὰ τῇδε σύμπαντα χωρὶς ἑρμηνείας.

Τοῦ Τζέτζου εἰς τὸν ἰδιωτικὸν ἢ τὸ πρόβλημα.

Εἰ ὡρισμένον πρόσωπον εἴη τὸ κρίσιν ἔχον,
ἐν πάσαις ὑποθέσεσιν ἔχομεν ἱστορίας·
ἤγουν ἔθνος πατρίδα τε προγόνους καὶ τὰς πράξεις.
καί γε τὴν προδιήγησιν ποιήσομεν τῷ τότε,
ἀπὸ τοῦ φθάσαντος αὐτοῦ βίου παραλαβόντες,
ὅποσαι χρησιμεύονται καθέστηκεν ἐκ τούτου
τῇ προκειμένῃ συμβουλῇ εἴτε μὴν καὶ τῇ κρίσει.
ἂν δὲ τὸ πρόσωπον ἐστὶ τῶν ἀοριαταινόντων,
μὴ κεκτημένου προφανῆ καὶ δήλη, ἱστορίαν

[x] ἀνακτορίον.

ποιοῦντες προδιήγησιν ἢ στοχαστικωτέρως,
τὰ χρήσιμα προσλαμβάνομεν τοῦ προλαβόντος βίου·
ἢ σχήματι χρησόμεθα ληπτικωτέρῳ,
τουτέστι παραλείψομεν τὸν προλαβόντα βίον.
ὡς οὖν ἐν τοῖς προσώποις μὲν εἰσὶ τοῖς ὡρισμένοις
αἱ ἱστορίαι προφανεῖς καὶ πράξεις αἱ πραχθεῖσαι,
καὶ δρῶμεν προδιήγησιν ἐν τοῖς τοιούτοις πᾶσι
λαβόντες πᾶν τὸ χρήσιμον τοῦ προλαβόντος βίου·
ἔνθα δ' ἀορισταίνει τι πρόσωπον εὑρεθείη,
ποιοῦμεν προδιήγησιν ἢ στοχαστικώτερον
τὰ χρήσιμα λαμβάνοντες τοῦ προλαβόντος βίου·
ἢ τῷ κατὰ παράλειψιν σχήματι κεχρημένοι
οὕτω κἂν τοῖς προβλήμασιν χρὴ δρᾶν τοῖς δημοσίοις
καὶ τοῖς ἰδικωτέροις δὲ κτῖ—ꜰ τοῖς ῥηθεῖσι.
πρόβλημα μὲν δημόσιον πόλεως ὅλης δίκη,
ἢ ἔθνους, ἢ καὶ δήμου, εἴτε τινὸς χωρίου.
πρόβλημα δ' ἔστιν ἰδικὸν ἑνὸς ἀνθρώπου δίκη,
εἴτε τριῶν τεσσάρων τε, εἴτε μὴν καὶ πλειόνων.
δεῖ γοῦν τὴν προδιήγησιν ἐν μὲν τοῖς δημοσίοις
ποιεῖν, ὡς προειρήκαμεν προσώποις ὡρισμένοις·
ἔχεις ἐν τούτοις πράξεις γὰρ δήλας καὶ ἱστορίας.
ἐν δ' ἰδικοῖς ζητήμασιν, ὡς ἐν τοῖς ἀορίστοις,
εἴτ' οὖν στοχαστικώτερον, εἴτε καὶ παραλείψει.

Ποτίδαιά τις ἄποικος ἦν πόλις Κορινθίων·
ἀπέστησαν δ' Ἀθηναίων μὲν πρὸς Λακεδαιμονίους.
τὴν ἣν πολιορκήσαντες πάλιν οἱ Ἀθηναῖοι
ἔδρασαν τοὺς οἰκήτορας, ὢ γνώμης ἀπανθρώπου,
ἀλλήλων ἀπογεύσασθαι τροφῆς μὴ εὐπορούντων.

Κύλων Ὀλυμπιονίκης λαμπρός τις Ἀθηναῖος
κάτεσχε τὴν ἀκρόπολιν ἱμείρων τυραννῆσαι.
ὡς δ' ἐπανέστη Περικλῆς, φόβῳ σχηθεὶς ὁ Κύλων
ὑπόσπονδος κατέρχεται ὡς δ' Ἀθηνᾶς ἱκέτης
ἐκ τῆς χειρὸς τῆς Ἀθηνᾶς ἐκρατ—σχοῖνον

οὗπερ ῥαγέντος κτείνεται παρὰ τῶν Περικλέους.
αὕτη μὲν τοῦ Κυλωνείου ἄγους ἡ ἱστορία.

Μετὰ τὸν Ξέρξου θάνατον υἱὸς ὁ Ἀρταξέρξης
ἐπέθετο τοῖς Ἕλλησι τοῖς κατὰ τὴν Ἀσίαν.
ἀποκρουθεὶς πολλάκις δὲ τάσδε σπονδὰς ποιεῖται·
βαρβάροις δὲ τοῖς Ἕλλησιν ὅρους πεπῆχθαι τούσδε·
τὰς Κυανέας πέτρας τε καὶ ποταμὸν τὸν Νέσσον,
καὶ Παμφυλίας Φασῆλιν πόλιν τελοῦσαν μίαν,
καὶ τὰς Χελιδόνας τε ἓν τῶν ἀκρωτηρίων.
τότε τοῖς Ἀθηναίοις δὲ καὶ Λακεδαιμονίοις
ἔχθροις ἀνήφθη τις πυρσὸς ἐκ τῆσδε τῆς Αἴτνης.
τὸ ἱερὸν δ' οἱ Λάκωνες τὸ ἐν Δελφοῖς φέροντες
ἀπὸ Φωκέων τοῖς Λοκροῖς ἔδοσαν ἔχειν τοῦτο·
εἶτα πάλιν ἀπὸ Λοκρῶν παρέδοσαν τοῖς Φωκεῦσιν.
ὡς δ' ἐκ σπονδῶν ἀπέστρεφον ὧν ἔφην Ἀθηναῖοι
μετὰ Τολμίδην στρατηγὸν τόποις τῆς Κορωνείας,
οἱ Βοιωτοὶ συρράξαντες τούτοις ἀπαρασκεύοις,
τινὰς μὲν τούτων τρέπονται, τινὰς δὲ καὶ ζωγροῦσι.
ὥσπερ δὲ οὐκ ἀπέδωκαν αἰτοῦσιν Ἀθηναίοις,
ἕως αὐτοῖς ἀπέδωκαν οὗτοι τὴν Βοιωτίαν.
πλεύσαντες Πελοπόννησον εὐθὺς δ' οἱ Ἀθηναῖοι,
τὸ Γύθιον ἐσχήκασιν· ὁ δὲ Τολμίδης πάλιν
τῶν Ἀθηναίων στρατηγὸς, ὡς ἔφην ὑπηργμένος,
ἄνδρας χιλίους Ἀττικοὺς ἔχων τῶν ἐπιλέκτων
μέσην τὴν Πελοπόννησον διέδραμεν εὐτόνως,
καὶ πάλιν ἔσχεν Εὔβοιαν ἐκ τούτων ἀποστάσεως.
ἐνταῦθεν καὶ γεγόνασι σπονδαὶ τριακοντούτεις
αὐτοῖς τοῖς Ἀθηναίοις τε καὶ Λακεδαιμονίοις.
κ'ἂν τεσσαρακαιδέκατον οὔπω παρῆλθεν ἔτος,
καὶ τὰς σπονδὰς παρέλυσαν πάλιν οἱ Ἀθηναῖοι,
σὺν Περικλεῖ καὶ Σοφοκλεῖ τῷ στρατηγῷ ἐκείνων
Σάμον πολιορκήσαντες· δι' ἣν πολιορκίαν
ὁ Πελοπονήσιος πόλεμος ἀνερράγη.

Περὶ Διηγήσεως.

Ἐν τῇ προδιηγήσει μὲν ὁ ῥήτωρ προδιδάξας
ὅπερ χρεὼν κατάρχεσθαι μὴ ἀκεφάλῳ τρόπῳ,
λέγει δὲ προδιήγησιν, εἶτα καὶ διηγεῖσθαι.
ἐπεὶ νῦν τὴν διήγησιν ἀπήρξατο διδάσκειν,
λέξει τοὺς ταύτης πλατυσμοὺς, καὶ πόσοι τούτων τρόποι.
πέντε δὲ διηγήσεως τῶν πλατυσμῶν οἱ τρόποι·
πράγματα τὰ πραττόμενα, αἰτία πραττομένων·
καὶ τὰ παραλειπόμενα, καὶ αἱ αἰτίαι τούτων,
καὶ σὺν αὐταῖς οἱ λόγοι. ἕκαστον δὲ τῶν πέντε
περιγραφαῖς πλατύνεται, καὶ ἐν ταῖς ἑρμηνείαις·
περιγραφὴ ταυτὸν δ' ἐστὶν ὁμοῦ καὶ ἑρμηνείᾳ.
ἐννοίας μεταποίησις ἐν πλείοσι τοῖς κώλοις.
εἰ γὰρ τρισὶ καὶ τέτρασι καὶ πλείοσι τοῖς κώλοις
τῶν πέντε τούτων ἕκαστόν τις πλατύνει συγγράψας,
εἰς ὅσον ἡ διήγησις παρεκταθῇ τὸ μῆκος.
τινὲς δὲ ἕκτον σὺν αὐτοῖς ἄλλον διδοῦσι τρόπον,
πλατύνοντα διήγησιν τὰς λογισμῶν αἰτίας.
[w]Ἰστέον δὲ ὡς διήγησις λέγεται καὶ ἡ ἀντι
διαστελλομένη τῷ προοιμίῳ καὶ τοῖς ἀγῶσι
καὶ τοῖς ἐπιλόγοις συγκειμένη δὲ ἐκ τεσσάρων.
προκαταστάσεως, διηγήσεως, ἀξιώσεως,
καὶ αἰτίας τῆς διηγήσεως· λέγεται δὲ διήγησις καὶ ἡ
ἀντιδιαστελλομένη προδιηγήσει καὶ αἰτίᾳ,
καὶ ἀξιώσεως αἰτίᾳ· νῦν οὖν διήγησιν ἀκούων
μὴ ἀντιδιαστελλομένην τοῖς πρώτοις νόει,
καθάπερ τὸ προοίμιον· ἀρκοῦν γὰρ προοιμίῳ
διπλασιάσαι ὄνομα, διπλασιάσαι κῶλον.
ἐν φανερῷ δὲ πράγματι οὐ πρέπει διηγεῖσθαι,
καὶ ὅτε δὲ τὰ πράγματα τυγχάνει τῶν ἀδόξων.
οὐ μετὰ τὸ προοίμιον ἀεὶ τὰς διηγήσεις
τίθεσθαι λέγουσι τινὲς, ἀλλὰ μετὰ τὰς πίστεις·

[w] Quanquam hæc in Cod. Tzetzi tribuuntur, cum solutæ orationis scholiis confusa esse videntur.

καὶ οὐ τοῖς ἐπιλόγοις δὲ, ταῦτα φασὶν ἐκεῖνοι,
ἡμεῖς τὰς διηγήσεις δὲ τὰς ἅς φασίν περ οὗτοι
μετὰ τὰς πίστεις τίθεσθαι καὶ ἐν τοῖς ἐπιλογοις.
ἢ παραδιηγήσεις σοι φαμὲν, ὡς Ἀλκίδαμας·
εἴτε τῆς διηγήσεως αὐτῆς ἐπαναλήψεις,
εἴτ' ἂν ἀνακεφαλαίωσιν καὶ δευτερολογίαν·
τὴν μετὰ τὸ προοίμιον διήγησιν δὲ λέγω·
καὶ τὴν πρὸ προοιμίου δὲ δεικνύντες τὸ πρᾶγμα.

Ἡμεῖς στάντος πολέμου γὰρ καταρραγείσης μάχης.
ἅπερ τανῦν ὁ σοφιστὴς πλείστοις ἐν κώλοις λέγει,
τὰ πάντα προδιήγησιν ὑπάρχειν γίνωσκέ μοι.
ἡ γὰρ διήγησίς ἐστιν ἐντεῦθεν ἀρχομένη.
ἐπεὶ καλῶς δὲ ὁ θεὸς ποιῶν τε καὶ φροντίζων
πραγμάτων τῶν τῆς πόλεως, καὶ ἀνόρθων τὸ πταῖσμα.
οἱ τρόποι δ' οἷς πλατύνεσθαι φησὶν τὰς διηγήσεις,
καὶ τὰς προδιηγήσεις δὲ πλατύνουσιν ὁμοίως.

Εἰ τρόπος δὲ πλατύνοιτο πραγμάτων διηγήσει.
τοιοῦτός τις ὁ νοῦς ἐστι ῥητοῦ τοῦ προκειμένου.
εἰ πλάτος ἡ διήγησις οἷς ἔφημεν προλάβῃ,
ἐν τοῖς παραλειφθεῖσι δὲ καὶ λογισμῶν αἰτίαις,
ἁπλῆν ποιεῖ διήγησιν οὐ τῶν ἐν διασκευῶν.
εἰ πλατυνθῇ τοῖς τρόποις τουτέστι πλ῀ ἐπράχθη,
τότε ποιεῖ διήγησιν ἐκ τῶν ἐνδιασκευῶν.
τουτέστι προδεικνυούσης ἐκφραζούσης τὸ πρᾶγμα
ἢ ποιηταῖς ἁρμόδιον ἐστὶ καὶ πανηγύρει·
πλὴν τὴν ἐγκατάσκευον διήγησιν νῦν λέγει,
ἢ καὶ προθήκης ἄνευθεν διήγησις καλεῖται,
ὡς ὄντως καὶ κύριά τε καὶ ῥητορικώτατα,
κατασκευαῖς τῶν αἰτιῶν ἃ λέγει πιστουμένη.
μνησθεὶς πρὶν διηγήσεως ἁπλῆς γὰρ Ἑρμογένης,
καθόλου διηγήσεως εἴδη ταν῀ν διδάσκει,
καὶ τοὺς καιροὺς οἷς πέφυκε πρέπον ἀνακαλεῖσθαι.

Λόγος ὁ κατὰ Κόνωνος αἰκίας Δημοσθένους
ᾧ Ἀθηναῖος τίς ἀνὴρ χρησάμενος Ἀρίστων
δικάζεται τῷ Κόνωνι καὶ τοῖς υἱέσι τούτου·
εἰς Πάνακτον σταλῆναι μὲν λέγων ἐκ γερουσίας,
ὑπὸ δ' αὐτοῦ τοῦ Κόνωνος καὶ τῶν υἱῶν τυφθῆναι,
συσκηνωσάντων σὺν αὐτῷ καὶ τὰ καὶ τάδε δρώντων.
τοῦτο σημειωτέον δὲ ὡς ἃ νῦν Ἑρμογένης
ἁπλῆς σοι διηγήσεως παράδειγμα προφέρει,
λόγῳ τῷ κατὰ Κόνωνος γραφέντι Δημοσθένει,
ἔστι μέν περ [x] διήγησις, διήγησις δ' οὐκ ἔστι [y].

Τίς φάσκει τὴν Χερσόνησον τῇ πόλει κινδυνεύειν.
ὁ Εὐθυκλῆς χρησάμενος τῷ λόγῳ Δημοσθένους
ἀσύμφορον τὸ ψήφισμα δεικνὺς Ἀριστοκράτους.

Τῆς θεωρίας γνώσεως καὶ τέχνης καὶ μεθόδου
ταύτης τῆς ἐγκατάσκευον διήγησιν ἐχούσης.

Τῷ Δημοσθένει γέγραπταί τις λόγος κατ' Αἰσχίνου·
ἐπιγραφὴ τῷ λόγῳ δὲ περὶ παραπρεσβείας.
Αἰσχίνης γὰρ πρὸς Φίλιππον πρεσβὺς ἐλθὼν εἰρήνης
τοῖς Ἀττικοῖς ὑποστραφεὶς μακρᾷ χρονοτριβίᾳ
σφαγὴν Φωκέων οὐδαμῶς εἶπε τὴν ἐκ Φιλίππου,
τῶν Ἀττικῶν δὲ τολοιπὸν τούτοις μὴ δόντων χεῖρα,
οὗτοι μὲν ἐθερίσθησαν προδήλως τῷ Φιλίππῳ·
ἐφθάρη τὰ ἐν Θράκῃ δὲ καὶ ἑξῆς σὺν Θράκῃ.
ὁ Δημοσθένης τοιγαροῦν ἐντεῦθεν ὡρμημένος,
ἔργον Αἰσχίνου σύμπαντα ταῦτα πειρᾶται δεῖξαι
δώροις παρασκευάσαντος καὶ κεκακουργηκότος·
ὅθεν ὁ λόγος γέγραπται περὶ παραπρεσβείας.

[x] Aut περ aut πως Cod.

[y] Seq. Schol. ad v. ἀμίς· στάμνιον ἐν ᾧ ἐνουροῦσι· τοῦτο δὲ Σοφοκλῆς ἐν Πανδώρᾳ ἐνουρήθραν καλεῖ. Αἰσχύλος δὲ οὐρανήν· γίνεται δὲ ἀμὶς παρὰ τὸ ὀμιχῶ τὸ οὐρῶ, ὀμὶς καὶ ἀμὶς, καὶ παρωνύμως ἀπὸ τοῦ ἄμη ἀμὶς ὑποκοριστικῶς, ὡς σκάφη σκαφίς.

Πρῶτόν τις πάντα γὰρ εἰπὼν κατὰ Φιλοκράτους.
ὁ Φιλοκράτης φανερῶς ἑάλω προδοσίας.
κατηγόρησας οὖν αὐτὸν τὸ πρότερον Αἰσχίνης,
εἶτα μεταβαλλόμενος καὶ λέγων ὑπὲρ τούτου,
προδότης ἀπελέγχεται παρὰ τοῦ Δημοσθένους.
ταυτὶ δὲ πάντα τὰ ῥητὰ τοῦ τῆς παραπρεσβείας.
ὁ Ἑρμογένης δ' οὐ τηρεῖ τὴν Δημοσθένους τάξιν,
ἀλλὰ τὰ πρῶτα τίθησιν ἐν τάξει τῇ δευτέρᾳ.
τὰ δεύτερα δ' ἀπένειμεν εἰς τάξιν τὴν πρωτίστην.
ὅτι ὁ Δημοσθένης μὲν ὥσπερ ἐπράχθη λέγει
τὰ πρῶτα μὲν ὡς πρώτιστα, τὰ δεύτερα δευτέρως.
ὁ Ἑρμογένης τεχνικῶς, ὡς προύθετο, διδάσκει,
τοὺς τρεῖς τῶν διηγήσεων οὕσπερ προεῖπε τρόπους,
ἁπλοῦν καὶ ἐγκατάσκευον καὶ τῶν ἐνδιασκευῶν.
ὅπου δ' ἂν εὕρῃ τὸν ἁπλοῦν ἐν ἁπλῇ μοίρᾳ λέγει·
καὶ τοὺς ἑξῆς δὲ τοῖς λοιποῖς τοῦ ὕφους φροντίζων.

Ἀκμὴ δὲ διηγήσεως τρισὶ γίνεται τρόποις·
ἐπείπερ ἡ διήγησις τετραμέρης τυγχάνει.
ἔχει γὰρ προδιήγησιν, διήγησιν, σὺν ταύταις
ἀξίωσιν, καὶ ταύτης δὲ τετάρτως τὴν αἰτίαν.
ἀκμὴν τῆς διηγήσεως πῶς τετραχῶς οὐ λέγει;
ὅτι ἡ προδιήγησις συνάμα διηγήσει
πρᾶγμα κατονομάζονται, πρᾶγμα γὰρ ἀφήγηται,
ἡ μὲν τὸ πρὶν, ἡ δὲ τὸ νῦν· ὅθεν αἱ δύο ἕν τι.
λέγει γοῦν ὡς διήγησιν ἀκμαίαν τις ποιήσει
ἐν διαφόροις κώλοις μιν πλατύνων ἢ τὸ πρᾶγμα,
τουτέστι προδιήγησιν συνάμα τῇ διηγήσει,
ἢ τὴν ἀξίωσιν αὐτὴν, ἢ τὴν αἰτίαν ταύτης·
εἰ δὲ τὰ τρία πλατυνῇ τοῖς διαφόροις κώλοις,
μᾶλλον ἂν τὴν διήγησιν ἀκμαιότεραν δράσῃ.
τριττῆς τῆς διηγήσεως οὕτως ἀκμὴν νῦν λέγει·
ἐν τῷ τετάρτῳ τόμῳ δὲ ἄλλην ἀκμὴν διδάξει,
ἀκμὴν τὴν τοῦ νοήματος διττῶς ἐγγινομένην·

ὅτ' ἂν πολλὰ νοήματα κώλοις πολλοῖς πλατύνῃς,
ἀπὸ ἑνὸς εἰς ἕτερον νόημα μεταπίπτων.
ἢ ὅταν σχήματι ἑνὶ κώλοις συχνοῖς πλατύνων
ἓν δὲ ταυτόν τι νόημα τὸ σχῆμα μετα * * * ξ6
καὶ τούτῳ δὲ τῷ σχήματι πάλιν πλατύνεις τοῦτο
κώλοις ὁπόσοις δυνηθῇς ταῦτα διδάξει τότε
ἀκμὴ δὲ τῆς αὐξήσεως ἔν τινι διαφέρει
ἡ μὲν ἀκμή τις πληθυσμὸς πλάτος δὲ λόγου
ἡ δ' αὔξησις ἀπόδειξις ὀγκοῦσα τὰ πραχθέντα.

Αἰτίη δὲ ἡ ἀξίωσις, ἡ μὲν τοῦ προοιμίου,
ἡ δὲ τῆς διηγήσεως· τί δὲ ποιεῖ ἑκάστη;
ἡ πρώτη μὲν πρὸς προσοχὴν ἀκροατὰς προτρέπει,
τῶν ὧν ἐν διηγήσει μέλλομεν ἀφηγεῖσθαι·
ἡ δὲ τῆς διηγήσεως ἀξίωσιν προτρέπει,
ὡς πρὸς ὀργὴν ἢ πρὸς στοργὴν πράγματος τοῦ πραχθέντος,
ὀγκοῦσα καὶ δεικνύουσα τὸ πεπραγμένον μέγα.

Τόμος τρίτος περὶ Εὑρέσεων.

Λόγου τέλει τέσσαρα μέρη τυγχάνει ταῦτα,
προοίμιον, διήγησις, ἀγὼν σὺν ἐπιλόγοις.
ἐν τῷ δευτέρῳ τόμῳ δὲ περὶ τῶν ζ ρφρας,
νῦν ἐν τῷ τρίτῳ βούλεται διδάσκειν τοὺς ἀγῶνας,
οἵπερ εἰσὶν εἰσαγωγαὶ καὶ λύσεις κεφαλαίων·
ὥσπερ καὶ πρὶν πλατύτερον ἔγραψα περὶ τούτων.
πρὸς δὲ τὸν Αὐτοκράτορα Μάρκον τὸν λόγον τείνει.
τὸ φθάνω δὲ δι' ἐμαυτὸν πολλάκις σοι τεχνώσας
ἔφθασά τε καὶ προὔλαβον ζώσῃ φωνῇ διδάξαι.

Μέρος δὲ τῆς ῥητορικῆς κρεῖττον τὸ τῶν ἀγώνων.
ἕνεκα τῶν ἀγώνων γὰρ εὑρέθησαν καὶ ταῦτα,
προοίμιον, διήγησις ὅμου σὺν ἐπιλόγοις.

τρόποι δὲ τῶν κεφαλαίων δὲ ὡς προλαβὼν εἰρήκειν,

τὸ τὸ ἡμέτερον κεφάλαιον εἰσάγειν,
τὸ τοῦ ἐχθροῦ δὲ τέτρασιν οἷς ἔφημεν πρὶν λύειν·
προτάσει καὶ ὑποφορᾷ, ἀντιπροτάσει λύει.
Γίνονται τὰ κεφάλαια δι᾽ ὅσων πρὶν προέφην·
δι᾽ ἐπιχειρημάτων τε καὶ τούτων ἐργασίας,
καὶ δι᾽ ἐνθυμημάτων δὲ τῶν ταύτας κρατυνόντων.
Εἶτα περὶ τῶν λύσεων ἔφημεν περὶ τούτων,
προτάσει, καὶ ὑποφορᾷ, ἀντιπροτάσει λύει,
ἐνστάσεις ἅμα σὺν αὐταῖς τὰς ἀντιπαρατάσεις.
Ἐξ ὅσων· ἐκ τριῶν δὲ προσώπων συνίσταται,
ἐνστάσεως, ἀντιπαραστάσεως, βιαίου.

Ἓξ τρόπους προειρήκειν σοι τῶν ἐπιχειρημάτων,
πρόσωπον, πρᾶγμα, χρόνον τε, τόπον, τρόπον, αἰτίαν.
ἕκαστον ἐπιχείρημα ἐξ ἐργασίας ἔχει,
ἐξίσου, ἐναύτου τε, μείζονος, μικροτέρου,
παραβολῆς σὺν τούτοις δὲ καὶ τῶν παραδειγμάτων.
ἑκάστη ἐργασία ἐξ ἐνθυμήματ᾽ ἔχει
συγκριτικῷ τῷ σχήματι παραλαμβανομένη,
ἐκ τόπων, περιστάσεων, προσώπων καὶ τῶν ἄλλων
καὶ τῶν ἐνθυμημάτων δὲ ἐμοὶ παρευρεθέντων
σημειωθέντων παρ᾽ ἐμοῦ καὶ παραδεδομένων,
ὡς οὕτω πάντες ῥήτορες κέχρηνται τῶν ἀρχαίων
μεθόδους καὶ κατασκευῇ τριττῇ τῶν κεφαλαίων,
ἤγουν ἐπιχειρήμασι καὶ τούτων ἐργασίαις.
καί γε τοῖς ἐνθυμήμασι ἄλλο οὐδεὶς ἐπέγνω
τῶν συγχρονούντων σὺν ἡμῖν ἢ καὶ βραχὺ προτέρων.

Περὶ προκατασκευῆς.

Ἀγῶνας ὁ τεχνικὸς προθέμενος διδάξαι
οὐ μάτην προκατασκευὴν διδάσκει καὶ τυχαίως·
ἀλλ᾽ ὥσπερ πρὶν διήγησιν παραδιδόναι μέλλων
περὶ προδιηγήσεως ἐδίδαξεν ἐντέχνως,
οὕτω καὶ νῦν κατασκευὰς ἤγουν ἀγῶνας γράφων

τὰς προκατασκευὰς αὐτῶν προτερευούσας λέγω,
καὶ ὅτι τὰ κεφάλαια ὥσπερ ὁ Τζέτζης λέγει
σχήματι προκατασκευῆς τίθησι πῶς διδάξει.

Ποῖα καλεῖ κεφάλαια πολλοῖς διηπορήθη·
οἱ μὲν φασὶν τῶν στάσεων, οἱ δ' ἕτερα τοιαῦτα·
ἐγὼ δὲ νῦν κεφάλαια λέγω καλεῖσθαι πάντα
ἅπερ ὁ λέγων κέκτηται [1] σκόπον ἀναδιδάξαι,
εἴτε τινὰ τῶν στάσεων ἢ πράγματος ἑτέρου.
ζητήματα δὲ κέκρικα πάλιν καλεῖσθαι τάδε
ὅποσαι στασιάζεται καὶ αἷς ὑποπίπτει·
οἷον ὅτι φονεύς ἐστι ἢ τῶν ἱεροσύλων·
ἢ ὅτι δέον πολεμεῖν τόδε σαφῶς πιστώσω.

Ὁ λόγος Δημοσθένους μὲν ὁ κατ' Ἀριστοκράτους
στάσις ἐστὶ πραγματική, κεφάλαια δὲ ταύτης
τὸ νόμιμον, τὸ δίκαιον, συμφέρον, δυνατόν τε
ἔνδοξον ἐκβησόμενον· ὅθεν ἐν τῷδε λόγῳ
τὰ τρία προεκτίθεται ὁ ῥήτωρ Δημοσθένης·
τὸ νόμιμον, τὸ δίκαιον ὅμου καὶ τὸ συμφέρον.
εἰς μόνα ταῦτα ἔμελλεν ὁ λόγος γὰρ τμηθῆναι.

Ὁ τῆς παραπρεσβείας δὲ λόγος ὁ κατ' Αἰσχίνου
συγκατασκευαζόμενος μὲν στοχασμὸν ὑπάρχει,
ἔγκλημα φέρων κατ' αὐτοῦ περὶ παραπρεσβείας·
ἐπεὶ δὲ τοῦ ἐγκλήματος τούτου πολλὰ σημεῖα,
Αἰσχίνου ψευδαγγέλματα, πεῖσις, [zz]τῶν ἀσυμφόρων
τὸ πρᾶξαι ἃ οὐχ ὥρισται, καὶ τὸ χρονοτριβῆσαι,
καὶ πρὸς τοῖς ἄλλοις τὸ λαβεῖν παρὰ Φιλίππου δῶρα·
εἰκότως ταῦτα σύμπαντα καὶ προκατασκευάζει,
τούτοις παραπρεσβεύσαντα δεικνύων τὸν Αἰσχίνην·
οἷον Αἰσχίνης παραπρεσβεύσας τῷ τοῦτο δ' ἐστὶ δῆλον,

[1] An scr. κέκληται vel κέκτηται dubito. [zz] Sic Cod.

τῷ ἀπαγγεῖλαι σε ψευδῆ, τῷ τὰ καὶ τὰ ποιῆσαι.
ταῦτα μὲν οὕτως ἔφησεν· ἰστέον δὲ καὶ τοῦτο.
ὁ ῥήτωρ προκατάστασιν καὶ προκατασκευὴν δὲ
ἓν καὶ ταυτὸν νενόμικεν, οὐ διακρίνων ταύτας,
ἐγὼ δὲ πρὶν προειρηκὼς, νῦν ἀποτρέχω λέγειν.

Εἰ δὲ ζητοίης τοῦ ῥητοῦ ἡ ἔννοια τοιάδε.
λύει μὲν ἀντιπίπτον ὁ σοφιστὴς ἐνταῦθα,
καὶ πρὸς τὸν Αὐτοκράτορα τείνων τὸν λόγον λέγει.
μηδὲν θαυμάσῃς καλεῖ, μὴ δὲ διαπορήσῃς.
εἴπερ τῆς προκατασκευῆς ἔργον προήκουσάς μου
τῶν κεφαλαίων πρόρρησιν καί γε τῶν ζητημάτων.
ἐν δὲ τῷ παραδείγματι τῷ τῆς παραπρεσβείας
οὔτε τῶν πάντων εὕρηκας πρόρρησιν κεφαλαίων,
οὔτε τὴν τάξιν εὔτακτον ἔν γε τῇ διαιρέσει.
ἐν τῇ παραπρεσβείᾳ γὰρ ὁ ῥήτωρ Δημοσθένης
μεθόδῳ τῆς δεινότητος καὶ κατ' οἰκονομίαν
χρῆται σοφῶς τοῖς πράγμασιν τὴν τάξιν ἀναστρέφων.
ἔμελλεν ἀπξς [a] γὰρ ἐλθὼν ἐν τοῖς ἀγῶσι.
ἐγὼ δὲ γράφων τέχνωσιν τὰ τεχνικά σοι γράφω.
τὰ δὲ κατὰ δεινότητος μέθοδον τῶν ῥητόρων
καὶ τὰς περιπετείας δὲ μόνος εὐκαίρως σκόπει,
εἴτε τηρεῖν ἁρμόδιον τὴν τάξιν ἢ συγχέειν.

Ἐπεί τοιγε κἀκεῖνό σοι χάριεν καὶ ἀστεῖον.
ἀστεῖον νῦν τὸ συνετὸν οὐ τὸ γελοῖον λέγει.
ὁ νοῦς τοῦ λόγου δὲ παντὸς τοιοῦτός τις ὑπάρχει.
μεθόδῳ τῆς δεινότητος καὶ κατ' οἰκονομίαν
αἰτ´ * * ἀντιστρέφονται τοῖς πάλαι τῶν ῥητόρων.

Ἀκεῖ[b] καὶ τοῦτο γὰρ εἰπεῖν, καί σοι σαφῶς ἡγείσθω.
καὶ τοῦτο γὰρ βαθύτερον ἐστὶ τεχνογραφίας,

[a] ἀπαξαπλῶς. [b] Leg. ἀρκεῖ.

ὡς τόποι προκατασκευῆς δύο τελοῦσιν ὄντες.
ποτὲ μετὰ προοίμιον πίπτειν γὰρ οἶδα ταυτὴν,
ποτὲ μετὰ διήγησιν, καὶ τοὺς καιροὺς δὲ μάθε,
ὅταν τις ῥήτωρ ἀπαντῶν τοὺς δικαστὰς θελήσῃ·
ταύτην μετὰ προοίμιον εὑρήσεις ἐγκειμένην.
ὅταν δὲ λέγειν ἀψευδῶς, μετὰ τὰς διηγήσεις.

Ὑστέρον τὸ ἀνεύθυνον τέθεικεν ἐπὶ λόγοις.
παραπρεσβεύσαντα δεικνὺς ὁ ῥήτωρ τὸν Αἰσχίνην,
ἐν μὲν τῇ προκατασκευῇ πρῶτον σημεῖον λέγει
ὑπεύθυνον ἃς ἤγγειλε ψευδεῖς ἀπαγγελίας.
ἐλθὼν δ' εἰς τὴν κατασκευὴν, τουτέστι τοὺς ἀγῶνας,
μετὰ πολλὰ κεφάλαια καὶ οὐχ ὡς τῇδε πρώτως
εἰσάγει τὴν ἀντίθεσιν τὴν περὶ τοῦ Αἰσχίνου·
ἀντιληπτικώτερον μὲν ἣν λύει μεταλήψει.
εἰ καὶ ἐξῆν Αἰσχίνῃ σοι ἅπερ ἐβούλου λέγειν,
ἀλλ' οὐ καὶ ἐπὶ δώροις σοι δημηγορεῖν τοιαῦτα.
ὥστε σημειωτέον σοι ἔκ τε τῶν νῦν λεχθέντων
ὡς ἡ τῆς προκατασκευῆς τάξις καὶ ἀταξία
τοῖς ῥήτορσι τοῖς τεχνικοῖς ἀλλ' οὐ τοῖς ὑποψύχροις
πρὸς τὸ χρειῶδες γίνεται τῶν κεφαλαίων.
ἀλλ' οὐκ ἀπάτης ἕνεκα τῶν δικαστῶν συγχεῖται,
ὡς Ἑρμογένης φαίνεται παραδιδοὺς ἐνθάδε.

Ἡ κατὰ τοῦ Μειδίου ὑπόθεσις τοιάδε.
τῷ Διονύσῳ ἑορτὴν ἦγον οἱ Ἀθηναῖοι,
ἥνπερ καὶ Διονύσια ἐκάλουν παρωνύμως.
ἐν ᾗ πολλοὶ τῶν ἀθλητῶν ἀγῶνας συνεκρότουν
χωρὶς τῆς κωμῳδίας τε καὶ τραγικῶν δραμάτων.
τοὺς δὲ χοροὺς τῆς τελετῆς καὶ τῶν ἀγώνων τούτων
δέκα φυλαὶ παρ' Ἀττικοῖς οὖσαι τὴν ἑορτὴν συνίστων.
ὁ δ' ἀναλῶν τὰ χρήματα χορῷ φυλῆς ἑκάστης
κλῆσιν εὐθὺς ἐλάμβανε τὸ χορηγὸν καλεῖσθαι.
καὶ Δημοσθένης χορηγὸς φυλῆς Πανδιονίδος

ἐθελόντης γενόμενος, ἐχθρὸν Μειδίαν ἔχων,
ἕνα τῶν πρώτων τῆς βουλῆς καὶ τῶν ὑπερπλουτώντων,
πολλὰ μὲν τούτῳ τὰ δεινὰ τῇ χορηγίᾳ πάσχει·
καὶ τελευταῖον ἔλαβε καὶ πλήγματα κονδύλων,
ἐν μέσῳ πάντων θεατῶν, ἐν μέσῳ τῆς ὀρχήστρας.
κατηγορεῖ γοῦν τολοιπὸν ἐν δήμῳ τοῦ Μειδίου·
οὐχ ὕβριν οὐδὲ πλήγματα τὰ τῆς ὀξυχειρίας,
ἀσέβειαν δ' εἰς ἑορτὴν τὴν τῶν Διονυσίων.
εἰς ἑορτὴν γὰρ ἀσεβεῖ τὸν χορηγὸν ὁ πλήττων.
κατηγορίας εἶδος δὲ ἡ προβολὴ τυγχάνει.

Καίτοι τὸ κατηγόρημα κἂν νόμιμον ἦν τοῦτο.
ὁ κατὰ Μειδίου πρὶν προειρημένος λόγος
ὑπάρχει κατὰ σύλληψιν ὅρος, ὡς προεγνώκεις.
τοῦ γὰρ Μειδίου λέγοντος ὕβριν τὸ πεπραγμένον,
ἀσέβειαν οὐκ εἶναι δὲ πληγὰς τοῦ Δημοσθένους·
ὁ Δημοσθένης συλλαβὼν ἄμφω τὰ δύο, λέγει
καὶ ὕβριν καὶ ἀσέβειαν εἶναι τὸ πεπραγμένον.
ἀνθ' ὧν γὰρ ἂν φιλόσοφος ἐτύφθην ἔστιν ὕβρις·
ἀνθ' ων τελῶν δὲ χορηγὸς ἐν ἑορτῇ ἐτύφθην,
δῆλον ὡς ἀσέβεια πάντως τυγχάνει τοῦτο.

Ὁ κατὰ τοῦ Τιμάρχου δὲ λόγος ὁ τοῦ Αἰσχίνου
στάσις ὑπάρχει στοχασμὸς, ὡς ἀκριβῶς γινώσκω·
οὐχ ὅρος δ' οὔτε στοχασμὸς τέμνεται τῷ νομίμῳ.
πραγματικῆς κεφάλαιον τὸ νόμιμον γὰρ οἶδας.
ὅθεν ὁ τεχνικὸς εἶπε, κἂν ἡ κατηγορία
Αἰσχίνῃ Δημοσθένει τε νομίμως παρεισήχθη·
ὅμως οὐδόλως οὐδαμῶς ἅπτονται τῶν ἀγώνων,
ἤγουν κατασκευάζουσι τὸ νόμιμον ἀγῶσι,
οὐ δὲ τοὺς ἀντιδίκους νικῶσι τοὺς οἰκείους·
τουτέστιν ἐξελέγχουσιν ὁ μὲν ἠσεβηκότα,
Αἰσχίνης δὲ τὸν Τίμαρχον πάλιν ἠταιρηκότα·
τῷ λέγειν ὡς εἰσέρχονται τὴν δίκην κατὰ νόμους.

τοῦτο δὲ μακρηγόρημα τοῦ τεχνικοῦ τυγχάνει.
ἀγῶνας καινοτέρους γὰρ ἄμφω κεκροτηκότες,
εἰ μὴ προκατεσκεύασαν ὡς νόμιμος ἡ δίκη,
οὐ μειόνως οὐκ ἂν ἤραντο νίκην κατ' ἀντιδίκων,
πιστώσαντες κεφάλαια τούτων τοῖς ἀγῶσιν·
ἀλλ' ἐξ ἀρχῆς ἂν ὤσθησαν ἐκ τοῦ δικαστηρίου,
ὥσπερ οἱ δύο μείρακες οἳ χρόνοις τῶν Ῥωμαίων
κοινὸν εἶναι συνθέμενοι μισθὸν τῶν σφῶν σωμάτων,
ὃν ἀσέλγοντες λάβωσιν ἐκ τῶν ἀσελγαινόντων.
εἶτα μὴ διελόντες δὲ κατὰ ἰσομοιρίαν,
καὶ προσελθόντες δικασταῖς περὶ τοιαύτης δίκης
οὓς ὦσαν ἐπὶ τράχηλον ἐξελόντες τῆς κόμης,
καὶ ῥάβδοις κατηλόησαν, τολμήσαντες συνόλως
εἰς Ῥώμης δικαστήριον λόγον εἰπεῖν τοιούτους.
ἀλλὰ καὶ τὴν ὑπόθεσιν μάνθανε τοῦ Τιμάρχου.
νόμος τις εἶργεν Ἀττικὸς δημηγορεῖν τοὺς πόρνους,
καὶ τοὺς κατεδηκότας δὲ τὴν κτῆσιν τὴν πατρῷαν.
ὁ ῥήτωρ ὁ Αἰσχίνης οὖν κατὰ τὸν νόμον τοῦτον
τοῦ ἀντιτέχνου ῥήτορος κατηγορεῖ Τιμάρχου·
τὸ μειρακίσκον εὐειδῆ Τίμαρχον ἔτι ὄντα
Μισγόλᾳ τε συνομιλεῖν τῷ Φινονέω τότε,
καὶ Πιττακίλῳ προσφοιτᾶν τῷ ὀρνιθοτροφοῦντι·
μάχας περδίκων ὡς ὁρᾶν καὶ τὰς ἀλεκτρυόνων

Ὁ κατὰ Τιμοκράτους δὲ τοῦ Δημοσθένους λόγος
στάσις ἐστὶ πραγματικὴ κατ' εἰσφορὰν δὲ νόμου·
ὅτι Τιμοκράτης ἔγραψε καὶ γὰρ τιόονδε νόμον.
ἂν δημοσίῳ χρεωστῶν τις δέσμιος κρατῆται,
τρεῖς παρασχὼν ἐγγυητὰς δεσμῶν ἀπολυέσθω·
ἄνπερ δὲ μετὰ [illegible] ἕνος οὐκ ἀποτίσῃ·
οὔτε αὐτὸς οὔτ' ἀντ' αὐτοῦ οἱ τὰς ἐγγύας δόντες,
τὸν ἐξεγγυηθέντα μὲν πάλιν εἱρκτῇ δεσμεῖσθαι,
τῶν ἐγγυησαμένων δὲ δημοῦσθαι τὴν οὐσίαν·
τούτου τῷ νόμῳ χρώμενος τῷ λόγῳ Δημοσθένους,

ἄμφω κατηγορήκασι Διόδωρος, Εὐκτήμων,
ὡς ἅμα παρανόμου τε, ἀδίκου, ἀσυμφόρου.
τοιαύτη μὲν ὑπόθεσις ἐστὶν ἡ Τιμοκράτους·
τὰ δὲ λοιπὰ σαφέστατα μέχρι τῶν κεφαλαίων.

Περὶ βιαίου Ὅρου.

Τὸ βίαιον ἐνστάσεως πολύ τι διαφέρει.
ἐνστάσεως διαφορὰν καὶ τοῦ βιαίου μόνον
ὁ Ἑρμογένης, ὡς ὁρᾷς, τῇδε παραδεικνύει.
ἡμεῖς δ' ἀντιπαράστασιν, ἔνστασιν, ἐναντίον,
βίαιον, ἀντιστατικὸν, παραδοξολογίας
ἐν τίνι διαφέρουσι γράψομεν σαφεστάτως.
ἡ μὲν ἀντιπαράστασις ἴσθι τῇ μεταλήψει
τὸν λόγον ἣ καὶ τὸ πραχθὲν φαίνεται συγχωρῆσαι,
εἶναι τυχὸν ἢ χαλεπὸν ἢ τοὐναντίον ῥᾷον·
διά τινα περίστασιν προτρέπει δὲ γενέσθαι·
οἷον κ' ἂν χαλεπόν ἐστι γενέσθαι διὰ τόδε,
κ' ἂν ῥᾷον ἐκτέον οὖν διὰ αἰτίαν τήνδε.
ἡ μὲν ἀντιπαράστασις οὕτως ἐστὶ συγγνώμων
συγχώρησιν τοῦ πράγματος ἢ συνδρομὴν ποιοῦσα.
ἡ δ' ἔνστασις ὑπάρχουσα ταυτὸν τῷ ἐναντίῳ
οὐ συγχωρεῖ ἀλλ' ἀναιρεῖ· λέγει γὰρ εὐσυγγνώστως
τὸ χαλεπὸν οὐ χαλεπὸν, τὸ ῥᾴδιον οὐ ῥᾷον.
τὸ βίαιον δὲ χρῆται μὲν πρῶτα τῇ ἀναιρέσει,
εἶτα βιαίως καταντᾷ καὶ πρὸς τὸ ἐναντίον
τὸ χαλεπὸν οὐ χαλεπὸν ἀλλὰ καὶ ῥᾷον λέγον.
τὸ ἀντιστατικὸν πάλιν ἐπίσης μεταλήψει
καὶ ἀντιπαραστάσει, ὅτι συγχωρεῖ τυγχάνειν·
δείκνυσι μέντοι δι' αὐτὸ μεῖζον πεπραγμένον,
διὰ μικροῦ τε ἀγαθοῦ βλαβὴν τυχεῖν μεγάλην.
παραδοξολογία δὲ βιαίου πλέον φέρει·
μίγνυσι γὰρ τὰ ἀμιγῆ ἑνοῖ τὰ ἐναντία,
φαῦλον, χρηστὸν, λέγουσα, λυπρὸν ἡδὺ τυγχάνειν.
ὁ τραγικὸς Αἰσχύλος σοι παραχρησάτω[b]

[b] Cod. πε' χρησάτω.

“ οὗτος γὰρ οὐ τέθνηκεν οὐ δέ περ θανών.”
Τριὰ εἰσὶ τῶν λύσεων ὡς οἴδαμεν τὰ εἴδη·
ἐνστάσεις, ἅμα σὺν αὐταῖς αἱ ἀντιπαραστάσεις,
καὶ τρίτον δὲ τὸ βίαιον ἰσχύον ὑπὲρ ταύτας.
ἐπεὶ οὖν προεδίδαξε φθάσας περὶ τῶν δύο,
ἰδοὺ περὶ τοῦ τρίτου νῦν διδάσκει τοῦ βιαίου.
ἔστι καὶ τρίτον ἕτερον λύσεως εἶδος λέγων
τοὺς εἰς τὸ τρίτον δὲ μακροὺς ἠπορημένους λόγους
ὁ Τζέτζης ἐπελύσατο δίχα μακρῶν ῥημάτων.
τρισὶ τῶν ἀντιγράφων γὰρ οὐκ ἀρκεσθεὶς βίβλοις,
ἀπὸ τετάρτου τῷ δοκεῖν τῶν ἄλλων φαυλοτέρου·
ταύτην ἀρίστως ἔχουσαν ἐφεῦρε τὴν σύνθεσιν,
καθ’ ἣν γράψας τὸ κείμενον ἔλυσεν ἀπορίας,
τὴν τάξιν θεὶς ὡς γέφυραν εἰς πόρον τῶν ἀπόρων.

Παράδοξον καὶ ἰσχυρὸν τὸ βίαιον δὲ λέγει,
ὡς σθένον τὴν ὑποφορὰν τρέπειν εἰς τοὐναντίον.
ἂν χαλεπὸν γὰρ εἴπῃ τις ἐστὶ τὸ διορύξω,
λύων κατὰ τὸ βίαιον οὕτω τὸν λόγον θείης·
καὶ χαλεπὸν διόρυξις, ἀλλὰ καὶ πρᾶγμα ῥᾷστον
ἂν τιμωρίας ἄξιον ὁ ὑποφέρων λέγῃ.
ὁ λύων κατὰ βίαιον ταὖτον ἐρεῖ τὸν τρόπον·
οὐ τίσεως ἐπάξιον ἀλλὰ τιμῆς ὑπάρχει.
ἡ δὲ ἀντιπαράστασις καὶ ἔνστασις οὐχ οὕτως.
ἡ γὰρ ἀντιπαράστασις καὶ συγχωρεῖ τὸ πρᾶγμα·
οἷον τυχὸν κ’ ἂν χαλεπὸν, ἀλλ’ ὅμως ὀρυκτέον.
ἡ δ’ ἔνστασις ἐνίσταται ὡς χαλεπὸν οὐκ ἔστι.
’Αγανακτήσει Φίλιππος ὁ λόγος κατ’ Αἰσχίνου.
κεφάλαιον ἀσύμφορον ἓν τῶν τελικωτάτων.
ἀπὸ τοῦ ἀσυμφόρου δὲ τοῦ τελικοῦ σημεῖον
ὅτι τοὺς πάντας λύομεν τῶν ἀντιδίκων λόγους,
οὐ μόνον τοῖς ἀγῶσι μὲν ἀλλ’ ὅτου περ ἂν κεῖνται,
αὐτοῖς τοῖς προοιμίοις τε καί γε τῇ διηγήσει
καὶ ἐπιλόγοις, καὶ πολλὰς εὑρήσεις τούτου χρήσεις.

Ἂν τοίνυν ὡς περίεστι Χερόνησος τῇ πόλει
ἀντὶ πυλῇ Φωκέων τε λέγειν τολμᾷ Αἰσχίνης.
τοῦτο μέν ἐστι θετικὴ μετάθεσις Αἰσχίνου,
πρὸς τὸ ὅτι προδέδωκας Αἰσχίνη τοὺς Φωκέας
θεῖναι πείσας πρὸς Φίλιππον εἰρήνην ἄνευ τούτων.
ἐρεῖ γὰρ ἄλλως οὐκ ἐξῆν Φίλιππον εἰρηνεῦσαι,
ἀλλὰ καὶ τὴν Χερρόνησον κίνδυνος πορθῆναι,
εἰ μὴ Φωκέων ἄνευθεν εἰρήνην ἐποιοῦμεν.
ταύτην οὖν τὴν ἀντίθεσιν ὁ Δημοσθένης λύει,
ἀντιθετῶν ἀντιδικῶν ἐνστάσει καὶ βιαίῳ.
Τὸ μὲν μὴ ἀποδόξησθε ἡ ἔνστασις ὑπάρχει·
τὸ δὲ πρὸς οἷς ἠδίκησθε καὶ ὄνειδος τῇ πόλει,
τοῦτο ἐστὶ τὸ βίαιον· λέγοντος γὰρ Αἰσχίνου
καὶ ἀντιστατικώτερον εἰσάγοντος τὸν λόγον,
ὅτι ἐντεῦθεν ὄφελος πλέον ἐστὶ τῆς βλαβῆς·
ἀντὶ Φωκέων ἔχετε Χερρόνησον σωθεῖσαν,
βιαίως ἐπιλύεται ὁ ῥήτωρ Δημοσθένης,
οὐ μόνον οὐκ ὠφέλησθε λέγων ὡς οὗτος λέγει,
ἀλλὰ καὶ ἠδίκησθε καὶ ἤρασθε ὀνείδη.

Περὶ τῶν κεφαλαίων.

Φθάσας τὴν ἀπαρίθμησιν εἶπε τῶν κεφαλαίων
ἐν τῷ περὶ στάσεων ὁ τεχνικὸς βίβλῳ·
τίνα τῆς δεῖνα στάσεως καὶ ποῖα δὲ τῆς δεῖνα,
καὶ ποῖα πρόσωπα δὲ, καὶ ποῖα τῶν πραγμάτων,
ποῖα τε τοῦ διώκοντος, τοῦ φεύγοντος δὲ τίνα,
καὶ τίνα πέφυκε κοινὰ πάντα καλῶς πρὶν εἶπεν.
ἄρτι χωρεῖ διδάξαι δὲ τεχνικωτέρῳ λόγῳ
εἰσαγωγὰς καὶ λύσεις σοι ταύτων τῶν κεφαλαίων,
τὰς ἃς προυφηγούμενος ἔγραψε πρὶν πλατέως.

Εἰ τὸ ὅσα ἑκάστης ἴδια τῶν στάσεων ὑπάρχει
τίνα τῶν κεφαλαίων μὲν στάσει μιᾷ οἰκεῖα,
καθάπερ ἡ ἀπαίτησις ὑπάρχει τῶν ἐλέγχων,

ἡ βούλησις, ἡ δύναμις, μετάθεσις αἰτίας,
ἡ πιθανὴ τὰ σὺν αὐταῖς ὁμοῦ ἀπολογία,
ταῦτα μὲν μόνου στοχασμοῦ κεφάλαια οἰκεῖα.
τινὰ πασῶν δὲ στάσεων ὑπάρχουσιν οἰκεῖα.
ὡς ἡ ποιότης, ἡ κοινὴ ὅθεν καὶ κλῆσιν ἔχει.
τινὰ δὲ πάλιν οὐ πασῶν οὔτε μιᾶς ὑπάρχει,
καθάπερ ἡ διάνοια ὁ βίαιος τὲ ὅρος·
ταῖς λογικοῖς γὰρ τέσσαρσι ταῖς ἀντιθετικαῖς τε
μόναις ὁράται πίπτοντα, οὐ λογικαῖς δὲ ἄλλαις,
οὐ στοχασμῷ οὐδ' ὅρῳ τε οὐ δὲ τῇ ἀντιλήψει,
ὡς καὶ τὸ ἀντιληπτικὸν ἐν στοχασμῷ καὶ ὅρῳ
πίπτει ποτὲ, καὶ οὐκ ἀεὶ ὡς ταῖς ἀντιθετούσαις.
τίνα δ' ἐν διαφόροις μὲν τῶν στάσεων ἐμπίπτει,
οὐ πάσαις οὐχ ὁμοίως δὲ ἀλλ' ἄλλως τε καὶ ἄλλως·
ὥσπερ τὸ παραγραφικὸν κεφάλαιον· εὑρήσεις
ἐν στοχασμῷ γὰρ κείμενον τοῦτο καὶ μεταλήψει.
ἐν στοχασμῷ διαβολὴν ψιλὴν ἔχει τῆς δίκης.
ἐν μεταλήψει πίπτει δὲ παραγραφὴ τελεία
τὰ ἀπ' ἀρχῆς εἰς τέλος τε ἐν στοχασμῷ καὶ ὅρῳ
πίπτοντα οὐχὶ πίπτουσιν ὁμοίως ἀμφοτέροις.
ἐν στοχασμῷ γὰρ πίπτουσιν οὐκ ἀποδεικτικωτέρως·
ἐν ὅρῳ δὲ κατ' αὔξησιν καὶ δείνωσιν καὶ ὄγκον,
τὸ ὁρικὸν κεφάλαιον ὁμοίως τοῖς ῥηθεῖσι.
ἐν ὁρικῇ τῇ τάξει γὰρ καὶ ἀντιλήψει πίπτον,
καὶ ἐν ταῖς ἀντιθετικαῖς ἄλλως καὶ ἄλλως πίπτει.

Κ'ἂν ταῖς πραγματικαῖς φησὶν κεφάλαιον εἰσάγῃς.
πασῶν οὐσῶν τῶν στάσεων δεκατριῶν, ὡς οἶδας,
ὑπάρχουσιν αἱ ιβ´ δικανικοῦ τοῦ εἴδους·
μία δὲ ἡ πραγματικὴ συμβουλευτικωτάτη.
διὰ μιᾶς οὖν στάσεως τοῦ στοχασμοῦ σοι δείξας
τῶν ιβ δικανικῶν κεφαλαιολογίαν,
νῦν καὶ τὰ τῆς πραγματικῆς κεφάλαια διδάσκει,
ἥτις καὶ μόνη πέφυκε τῆς συμβουλῆς τοῦ εἴδους.

Ἡ πρότασις σαφέστερόν ἐστιν ἡρμηνευμένη
τοῦ τεχνογράφου ταῖς γραφαῖς ἢ τῶν ἐξηγουμένων.
πρότασις καὶ προοίμιον καὶ προκατασκευὴ δὲ
ἀλλήλων διαφέρουσιν· πρότασις γὰρ ὑπάρχει
ἑνὸς τῶν κεφαλαίων τις μόνη ἐπαγγελία.
τὸ δὲ προοίμιον ἐστὶ κατασκευὴ καὶ πίστις
καὶ ὅλης ὑποθέσεως ὁμοῦ ἐπαγγελία.
ἡ δέ γε προκατασκευὴ τῶν κεφαλαίων μόνων
ἐπαγγελία πέφυκε, καὶ ὡς προοίμιον τι.

Τὸ διορύσσειν πρᾶγμα γὰρ ὑπάρχει τῶν ῥᾳδίων.
τὸ δυνατὸν πραγματικῆς κεφάλαιον ὑπῆρχε,
τὸ χαλεπὸν χερρόνησον τυγχάνει διόρυξαι.
εἰ μὲν οὖν ὁ ἀντιθετικὸς εἴπῃ καὶ ἐναντίος,
ὅτε εἰ χαλεπόν ἐστι ἀλλ᾽ ὅμως ἀναγκαῖον·
κατὰ ἀντιπαράστασιν τὸ δυνατὸν ἦν λέγων.
εἰ δὲ οὐ χαλεπὸν εἶπεν, ἔλυεν ἂν ἐνστάσει.
νῦν δὲ κατὰ τὸ βίαιον ἡ λύσις ἀντετέθη.
εἰπόντος γὰρ τοῦ λέγοντος ὀρυγὴν ἐργῶδες·
οὗτος κατὰ τὸ βίαιον ἐξ ἐναντίου λύει.
οὐ μόνον φὰς οὐ δυσχερὲς ἀλλὰ καὶ τῶν ῥᾳδίων.
ποτὲ δὲ λόγου κόσμησις ἡ πρότασις ὑπάρχει·
καὶ πότε δεῖγμα φαίνεται καλλίστης θεωρίας.
ὅτε μὲν τὴν ὑποφορὰν καὶ τοῦ ἐχθροῦ τὸν λόγον
ὅτι οὐχὶ χλευάζει γίνεται τότε τῷ λόγῳ κόσμος·
ὁπότε διασύρει δὲ καὶ διαβάλλει τοῦτον,
ἔνδειγμα πάντως γίνεται τεχνικωτέρου τρόπου.
οἷον, ὦ ἄνδρες δικασταὶ ῥήματα μὲν γενναῖα
συνθέσεώς τι γέμοντα καὶ ἀγχινοίας πλήρη
ὁ Περικλῆς ὁ δεύτερος οὗτος εἰρήκει τάδε·
ἦσαν δὲ ταῦτα δυσχερὲς τὴν λύσιν δεδεγμένα·
εἰ παρ᾽ ὑμῖν ὁ Κόροιβος, Μαργίτης, Μελιτίδης
πεπαταγμένος ἄνθρωπος τὸν νοῦν ἐδημηγόρει.
τὸ γὰρ διορύσσειν ἡ λύσις κατὰ τὸ βίαιον

ἡ γὰρ ἀντίθεσις ἦν τὸ χαλεπὸν διορύξαι,
ὅπερ ἐστὶ τὸ δεύτερον τῆς πραγματικῆς.

Ἀγανακτήσει δὲ φησὶν τοίνυν αὐτίκα μάλα.
τοῦτο ἐστὶν ἀντίθεσις ἀντιληπτικωτάτη,
ἧς ἐν τῇ προκατασκευῇ ὁ τεχνικὸς ἐμνήσθη·
καὶ Δημοσθένης λέγει σοι ἐν τῇ παραπρεσβείᾳ,
θέντα πρῶτον ὑπεύθυνον ἐν προκατασκευάσει,
ὕστερον τὸ ἀνεύθυνον εἰπεῖν ἐν τοῖς ἀγῶσι,
τουτέστι τὴν ἀντίθεσιν ἥνπερ τανῦν σοι λέγει.
ἀγανακτήσει τοιγαροῦν ἁπάντων τῶν ἐνθάδε
ἐπὶ τοῖς λόγοις μηδαμῶς εὐθύνας ὑπεχόντων,
μόνος αὐτὸς ὑφέξειεν εὐθύνας ἐπὶ λόγοις.

Ὁ περὶ Ἀλονήσου μὲν λόγος ὁ Δημοσθένους
τοιοῦτον κέκτηται τὸν νοῦν. Ἀλόνησον τὴν νῆσον
λησταὶ κατέσχον πρότερον οὖσαν τῶν Ἀθηναίων·
οὓς ἐκβαλὼν ὁ Φίλιππος τοῖς Ἀττικοῖς ἐδίδου,
ὡς οὖσαν πάντως ἑαυτοῦ, ἐπιστολήν τε γράφει·
πρὸς ἣν ὁ ῥήτωρ ἔγραψεν ἐπιστολὴν τὸν λόγον,
μὴ δοῦναι δὲ Φίλιππον γράφειν ἀλλ' ἀποδοῦναι.
δοῦναι γὰρ χαρίσασθαι ὅπερ τις πρὶν οὐκ εἶχε·
τὸ ἀποδοῦναι δὲ δηλοῖ τὸ προληφθὲν ἐκστρέψαι[b].
τοῦτο κατασκευάζει μὲν ὁ ῥήτωρ Δημοσθένης
προτάσει καὶ ὑποφορᾷ, ἀντιπροτάσει, λύσει·
λύσει τῆς ἀντιθέσεως καὶ ἀντιπαραστάσει.
οὔσης γὰρ τῆς ὑποφορᾶς τοῦ λόγου τοῦ Φιλίππου
ὅτι ληστὰς παρεξελὼν ἐκτήσατο τὴν νῆσον,
ὁ Δημοσθένης συνδραμὼν τῶν ἐκ ληστῶν ἑλέσθαι,
λύει ἀντιπαράστασιν τοιαύτην ἐπιφέρων.

Περὶ ἐπιχειρημάτων.

Πόθεν ἐπιχειρήματα ἐκλήθηντο αἱ πίστεις

[b] Cod. ἐκϛρ[illegible]

αἱ ἀπὸ περιστάσεως πιστούμεναι τὸ πρᾶγμα;
ἀπὸ τοῦ χεῖρα καὶ ἰσχὺν ὄντως ἡμῖν ὑπάρχειν
κατασκευαῖς καὶ λύσεσιν αὐταῖς τῶν κεφαλαίων.

Μητὴρ δ' ἐστὶ περίστασις τῶν ἐπιχειρημάτων
ἐν λόγοις ἐγκωμίων μὲν, τουτέστι πανηγύρει,
καὶ πράγμασι βουλευτικοῖς, δίκαις, δικανικοῖς,
ἁπλῶς ἐν ὑποθέσει τε πάσῃ, παντὶ τῷ βίῳ,
τὰ περιστατικά εἰσι τὸ κράτος κεκτημένα.
χωρὶς γὰρ τούτων τί πραχθὲν εἴτε λεχθὲν οὐχ εὕρῃς.

Λέγουσιν οἱ φιλόσοφοι καὶ ἕβδομον τὴν ὕλην.
ὕλην ἐγὼ τὸ ὄργανον λέγω, μεθ' οὗ τις δρᾷ τι,
ξύλον, ξίφος, ἢ ῥόπαλον, ἢ φάρμακον, ἢ βρόχον,
εἴτε τι τοιουτότροπον ὀργάνων τῶν μυρίων.
ὕλη δ' ἑτέροις ἔδοξε τὰ παρακολουθοῦντα.
καὶ τῶν προσώπων ὕλη μὲν καὶ παρακολουθοῦντα,
γένος γοναῖς ἀνατροφῇ τὸ κάλλιστον αἱ πράξεις.
χρόνου δὲ ὕλη νὺξ ἐστιν ὄρθρος καὶ μεσημβρία.

Εἰ μή που παραδόξως τι πρὸ τούτων εὑρεθείη.
πίπτει τὸ παραγραφικὸν ἐν στοχασμῷ μὲν πρῶτον,
πρῶτον δὲ ἀγωνιστικὸν κεφάλαιον ὑπάρχει.
ἐλέγχων ἡ ἀπαίτησις ἀρχὴ γὰρ τῶν ἀγώνων,
ἂν ἔνδοξον ὑπάρχον δὲ τὸ πρόσωπον τὸ φεῦγον
οὐ πρώτως παραγραφικῷ χρῆται κεφαλαίῳ.
οἷά τι φαῦλον πρόσωπον καὶ τῶν φυγοδικῶν[c].
τοῦτο γὰρ καθαιρετικὸν τοῦ τῆς ἀξίας ὄγκου.
ἐν μέσῳ τῶν ἀγώνων ἢ μετὰ τοὺς ἀγῶνας
χρήσεται τῇ παραγραφῇ * * λάττων τὴν ἀξίαν.
ὅθεν ὁ τεχνικὸς εἶπεν ὁ Ἑρμογένης οὕτως·
εἰ μή που παραδόξως τι πρὸ τούτων εὑρεθείη.

[c] Cod. φυγοδι. quod superscriptum debebat apparere, charta vermibus exesa evanuit.

ἄλλοι δὲ οὕτως[d] ἔφασαν εἰπεῖν τὸν Ἑρμογένην,
διὰ τὰς κατὰ συμπλοκὴν εὑρισκομένας στάσεις·
ὥσπερ τοὺς κατασκάψαντας ἐν τῷ πολέμῳ πόλιν
καὶ γεωργήσαντας αὐτὴν, δόξαντας ἀσεβεῖς δὲ,
ἀνθ᾽ ὧν σπαρεῖσα τοὺς καρποὺς ἐκείνης οὐκ ἀνῆκα.
τὰ γὰρ τῆς ἀντιλήψεως ἐνταῦθα πίπτει πρῶτον,
εἶτα τὰ τοῦ στοχασμοῦ πίπτουσι μετὰ ταῦτα.
ἄλλοι δὲ οὕτω λέγουσιν εἰπεῖν τὸν τεχνογράφον
διὰ τινὰς τῶν στοχασμῶν τῶν ὄντων κατ᾽ αἰτήσεις,
οὓς παραδόξως λέγουσιν ὑπαλλαγῶν προσώπων.
ὁ γὰρ αἰτῶν τὴν δωρεὰν φεύγων ὑπάρχων δ᾽ ὅμως
τὸ πρῶτον λέγειν εἴληχεν ὅπερ τῶν διωκόντων.
πρὸ γοῦν τοῦ παραγραφικοῦ καὶ κεφαλαίων ἄλλων
θήσει τὰ τοῦ διώκοντος τὰ ἀπ᾽ ἀρχῆς εἰς τέλος·
εἶθ᾽ οὕτως εἰς κεφάλαια τοῦ φεύγοντος εἰσέλθοι,
λύων αὐτὰ τοῖς τέτρασιν οἷς ἐδιδάχθη τρόποις,
προτάσει καὶ ὑποφορᾷ, ἀντιπροτάσει, λύσει.
ἄλλοι τινὲς δὲ λέγουσιν ἐν τῷ κειμένῳ κεῖσθαι·
οἷον ἐπὶ τοῦ στοχασμοῦ εἴωθε μὲν ἐμπίπτειν
κεφάλαιον ἀπαίτησις πρῶτον ἢ τῶν ἐλέγχων.
τὸ παραγραφικὸν αὐτὸ πλὴν οὐκ ἀεὶ ἐμπίπτει
ἐν στοχασμῷ, διόπερ νῦν τὸ παραδόξως κεῖται.

Ὁρίσας τὸ κεφάλαιον ἐκ πράγματος τὸ πρῶτον.
ἐνθάδε πρᾶγμα πέφυκε τὸ νῦν ἡ προδοσία.
κεφάλαιον τὸ ὅτι χρὴ ἐλέγχους παρασχέσθαι.
χώριζε τὸ κεφάλαιον ἐκ πράγματος δὲ πρῶτον·
τουτέστι μὴ κοινῶς εἰπεῖν ἐλέγχους· δεῖ παρέχειν
ἐλέγχους προδοσίας τε καὶ πράγματος ἑτέρου·
εἶτα καὶ ἐπιχείρημα τίθει τῷ κεφαλαίῳ·
οἷον παντὸς γὰρ πράγματος ἐλέγχους δεῖ παρέχειν.
Ὁ συκοφάντης ἔλαχε τὴν κλῆσιν τοιῶσδε πῶς
εἰ ταῖς Ἀθήναις νόμους θεὶς * * * ὁ Σόλων

[d] Cod. οὔτι.

πολλὰ μὲν διετάξατο τῇ πράσει τῶν ὠνίων,
ὁποῖα χρὴ πιπράσκειν τε καὶ παρατίθεναι.
σῦκα δ' ἐκ γῆς τῆς 'Αθηνῶν ἀπεμπολεῖν ἀπεῖρξεν,
ὅτι τὲ σπανίως τοπρὶν ἦν τὸ φυτὸν ἐκεῖνο·
καὶ ὅτι ὡραιόκαρπα ὑπερτεροῦν τῶν ἄλλων.
ὁ γοῦν ἐλέγχων ἐκ τότε τινὰ τῶν 'Αθηναίων
συκοπραττεῖν ἐλέγετο δεόντως συκοφάντης,
ὡς φθόνων τὸν πιπράσκοντα σῦκα παρὰ τὸν νόμον.
νῦν δ' ὁ ψευδοκατήγορος καλεῖται συκοφάντης.

Προπέτης δὲ ὁ προπηδῶν ἐτὸς ἀντὶ τοῦ μάτην.
Ἂν δέ γε τὸν κατήγορον πῶς ποτε μελετῶμεν,
ἡμῖν δ' οὐκ ὦσι μάρτυρες, αἰτεῖ δ' ὁ φεύγων τούτους·
καὶ τότε τὸ κεφάλαιον χωρίζειν πρῶτα δέον
ἔκ γε τοῦ πράγματος αὐτοῦ, ὁποῖον ἂν καὶ εἴη·
οὐ κατὰ θέσιν λέξιν ὡς ἐπὶ τῶν φευγόντων
μάρτυρας χρὴ παρέχεσθαι τῆς προδοσίας τοῦδε·
εἶτα καὶ ἐπιχείρημα θεῖναι τοῦ κεφαλαίου.
οὐ γὰρ παντός γε πράγματος παρέχομεν ἐλέγχους.

Περὶ τοῦ 'Αρχιδάμου δὲ τοῦ μετὰ τῶν Λακώνων
τῇ 'Αττικῇ στρατεύσαντος, τὰ δὲ τοῦ Περικλέους
ἐάσαντος ἀδήωτα, τὸ ζήτημα τυγχάνει.

Τὸ μὲν ἀνεύθυνον φησὶν τέθεικεν ἐπὶ λόγοις.
οἷόν τις λόγος τοῦ ἐχθροῦ ὑπεύθυνος τυγχάνει·
τὸ δὲ οὐχὶ ἀνεύθυνος ὧν ἡ τοῖς λόγοις λύσις.
ἰστέον ὡς οὐ λέγει δὲ ὁ 'Ερμογένης ταῦτα,
ὥσπερ παρὰ τῷ ῥήτορι κεῖται τῷ Δημοσθένει.

'Ηξίουν γὰρ οἱ Λάκωνες ποτὲ τοὺς 'Αθηναίους
δι' ἄγος τὸ Κυλώνειον τὸν Περικλῆν ἐλάσαι.

Τὰς ἀπορίας πλατυνεῖς ὑπαλλαγῇ σχημάτων,

ποτὲ λέγων ὑποστροφαῖς, ποτὲ κατ' ἀποφάσεις,
ποτὲ δ' ἐν ἄλλαις ἀλλαγαῖς σχημάτων τῶν ἑτέρων.

Ὡς ἐν τῷ τῆς Παραπρεσβείας τῷ πρώτῳ.

Τὸ μεταστατικὸν τοῦτο τοῦ τῆς Παραπρεσβείας.
εἰς τοῦτο ἀναιδείας μὲν ἥξειν αὐτὸν ἀκούω,
ὥς τε τῶν πεπραγμένων μὲν πάντων ἐξαποστάντα,
ὧν εἶπεν, ὧν ὑπέσχετο, ὧν ἐφενάκισάς τε,
κατηγόρησας πρῶτα μὲν τῶν Λακεδαιμονίων,
εἶτα Φωκέων, ἔπειτα αὐτοῦ Ἡγησίππου,
ταῦτα τυγχάνει γέλως μὲν μᾶλλον δ' ἀναίσχυντα.
ἐνταῦθα μεταποίησιν καὶ τὴν τροπήν μοι βλέπε.
ὃς γὰρ περὶ Φωκέων τι ἐρεῖ ἢ τῶν Λακώνων,
ἢ καὶ τοῦ Ἡγησίππου τε, ἢ τάδε τε καὶ τάδε·
τοῦτο ἡ μεταποίησις ἣν Ἑρμογένης λέγει.
ἄνω γὰρ πρῶτον εἴρηκε τοὺς Λακεδαιμονίους,
δευτέρως τοὺς Φωκέας, νῦν δ' ἀντιστρόφως λέγει.
ἐγὼ δὲ αἰ[e] *καὶ τὴν στροφὴν πρὸς διδαχήν σοι λέξω,*
μὴ τοίνυν κατακούετε ἃ πέπρακται πρὸς τούτου
Φωκεῦσί τε καὶ Λάκωσι, μὴ δὲ ἀνάσχησθέ μοι.

Περὶ ἐνστάσεως καὶ ἀντιπαραστάσεως.

Εἰσαγωγὰς πρὶν παραδοὺς καὶ λύσεις τῶν κεφαλαίων
τετραμερῶς κατέλεξεν εἶναι τὰς λύσεις τούτων.
νῦν δὲ πασῶν τῶν λύσεων τρεῖς εἶναι τρόπους λέγει·
ἐνστάσεις, ἅμα σὺν αὐταῖς τὰς ἀντιπαραστάσεις,
καὶ τρίτον δὲ τὸ βίαιον ἰσχύον ὑπὲρ ταύτας.
τεθὲν ἐχθροῦ κεφάλαιον λῦσαι γὰρ πρῶτα δέον,
εἴτ' οὖν ἐκ τῆς ἐνστάσεως ἢ ἀντιπαραστάσει,
εἴτε κατὰ τὸ βίαιον, ἢ ἅμα πᾶσι τούτοις.
ἀπὸ δὲ παραδείγματος ταῦτά σοι σαφηνίζει
ἐπὶ τῆς μεταλήψεως τὸν λόγον ἐγγυμνάζων.

[e] Sic Cod.

τὸ γὰρ ἐνώπιον μητρός τις τὸν υἱὸν ἀνεῖλε,
στάσις ἐστὶ μετάληψις, ὥσπερ μαθὼν γινώσκεις.

Κεφάλαιον νῦν κέκληκε καταχρηστικωτέρως.
ἔνστασις ταῦτα γὰρ εἰσὶν ἀντιπαράστασίς τε,
μέρη τῶν ἀντιληπτικῶν πάντοδε[f] κεφαλαίων·
καὶ πάντων κεφαλαίων δὲ ταῦτα τυγχάνει μέρη.
ἅπασας καὶ γὰρ κεφαλαίων εἰσάγεις τε καὶ λύσεις
εἰκόσι τῆς ἐνστάσεως καὶ ἀντιπαραστάσει.

Τοῦτο δὲ ἀπόρησας ποῖον δὲ τοῦτο λέγει
τὸ δύο μόνους ἀπορεῖν τῶν ἐπιχειρημάτων;
πλειόνων γὰρ καὶ οὐ δύο πλειστάκις εὐποροῦμεν,
ὡς μυριάκις εὕρησις ἐν ταῖς ἀρχαίων βίβλοις.
Τζέτζης τὸ μακρηγόρημα λέγει δὲ ἀπορίαν,
ὡς καθέξης ὁ τεχνικὸς σαφέστερον δεικνύει,
λέγων, τινὲς ἠρκέσθησαν ἐκ παλαίου τοῦ γένους
αὐτῇ μονῇ ἐνστάσει τε καὶ ἀντιπαραστάσει.

Ὁ τεχνικὸς μνησθεὶς τὸ πρὶν τῶν ἐπιχειρημάτων
εἰκότως παραδίδωσιν νῦν τούτων ἐργασίας.
ἡ δ' ἀκαιρία τῶν μακρῶν λόγων ἐν τοῖς σαφέσι,
τί ἂν καὶ εἴη ἕτερος λεγέτω καὶ κρινέτω.
τὰς παλαίων δὲ γίνωσκε δύνασθαι μάρτυρας
ἐργασίᾳ οὐκ ἔλασσον ἀλλ' ἰσοσθενέστερον·
καὶ τοῦτο γίνωσκε σαφῶς, μὴ δέ σε παραδράμῃ,
ὡς ἓν εὑρίσκεται ποτὲ τῶν ἐπιχειρημάτων
πλειόνων τῶν γενέσεων ἔχον τὴν κοινωνίαν.
δοκοῦν ἐστὶ γὰρ τὸ αὐτὸ πραγματικὸν καὶ πρόσωπον
καὶ τόπῳ καὶ τῷ τρόπῳ δὲ καὶ χρόνῳ καὶ αἰτίᾳ.
οὕτω πολλάκις εὕρηται καὶ μία ἐργασία
πλειόνων τῶν γενέσεων ἔχουσα κοινωνίαν·
ὡς ἀπὸ παραδείγματος εἶναι καὶ μικροτέρου,
εἴτε μὴν ἐκ τοῦ μείζονος, ἀπὸ παραβολῆς τε,

[f] Sic Cod.

εἶτ' οὖν ἀπ' ἄλλης συμπλοκῆς τυχούσης συμπλακῆναι.
καὶ ἐργασίας μὲν τυχὸν παράδειγμά σοι τοῦτο
τῆς ἀπὸ παραδείγματος οὔσης καὶ μικροτέρου.
οἷον κεφάλαιον φυγεῖν τὰς τυραννίδας δέον,
ἀνδρισαμένους κρατερῶς ὑπὲρ ἐλευθερίας.
πρὸς τούτοις καὶ ἐνθύμημα τῇδε παραθετέον·
καλὸν, ἐλεύθερον γὰρ ἕνεκα τῶν καὶ τῶνδε.
τοῦτο τὸ ἐπιχείρημα, εἶτα ἡ ἐργασία
ἡ ἀπὸ παραδείγματος ὁμοῦ καὶ μικροτέρου.
καὶ μῦς ποτὲ θλιβόμενος χερσὶν Ἐπαμινώνδου
δακὼν ἐκεῖνον καρτερῶς ἔσχεν ἐλευθερίαν.
πρὸς τούτοις καὶ ἐνθυμήμασι τῇδε παραθετέον.
εἰ δὲ ζωΰφιον μικρὸν τὸν στρατηγὸν τὸν μέγαν
δακὼν ἀπεδραπέτευσε ζυγὸν τὸν τῆς δουλείας.

[f]*Πῶς ἄνδρες ἀνδρισάμενοι τοίοιδε καὶ τοίοιδε,*
οὐκ ἂν δουλείαν ἀγεννῶν ἐκκλίνονται τυράννων;
ἀλλὰ καὶ ἐργασίας σοι παράδειγμα λεκτέον,
αὐτῆς τῆς ἐκ τοῦ μείζονος ἀπὸ παραβολῆς τε·
τιμᾶν χρεὼν τοὺς ἄρχοντας ὁ Σοφοκλῆς ποῦ λέγει[g]·
εἶτα τοιαύτην δίδωσιν εἰς τοῦτο ἐργασίαν·
καὶ τὰ δεινὰ καὶ κρατερὰ ὑπείκουσιν ἀλλήλοις·
χειμῶνες μὲν νιφοστιβεῖς ὑπείκουσι τῷ θέρει,
νυκτὸς δὲ κύκλος αἰανῆς ἡμέρας εἴκει φάει.

Περὶ ἐνθυμήματος.

Γνωσθὲν ὅπερ ὑπάρχει τε καὶ ὅπερ εὑρεθείη.
τί μέν ἐστιν ἐνθύμημα μάνθανε σαφεστέρως.
λόγος μετ' ἐπιχείρημα καὶ ἐργασίαν πίπτων,
ὡς πρὸς τὸ ἐπιχείρημα συγκρίνων ἐργασίαν,
καὶ τῷ ἐπιχειρήματι τὸ πλέον ἀπονέμων.
τίς δὲ ἡ γέννησις αὐτοῦ καὶ εὕρεσις ὑπάρχει
ἔνστασις ἅμα σὺν αὐτῇ τῇ ἀντιπαραστάσει

[f] Hoc sch. sine nom. Tzetzis in Cod. adhibetur. [g] Aj. 669.

εἶθ' ὡς οἱ ἐξηγούμενοι φασὶν αἱ περιστάσεις,
καὶ ὅπου καὶ τὴν τάξιν δὲ ὁ τεχνικὸς δεικνύει.

Ἑκάστης ἐργασίας δὲ ἐνθύμημα εὑρούσης.
ἢ ὅτι τὸ ἐνθύμημα ἡ ἐργασία φέρει,
ὡς πρὸς τὸ ἐπιχείρημα τὴν σύγκρισιν λαμβάνον
ἐκ τόπου περιστάσεως προσώπων καὶ τῶν ἄλλων·
ἢ τὰ ἐπιχειρήματα νῦν ἐργασίαν λέγει,
ἅπερ ἐκ περιστάσεων τὴν γένεσιν λαμβάνει.
ἑκάστη δὲ περίστασις ἐνθύμημα εὑρίσκει·
ἀπὸ προσώπου γὰρ ποιεῖν ἐνθύμημα εἰ θέλεις·
καίτοι ἐκεῖνος βάρβαρος, ἡμεῖς δὲ Ἀθηναῖοι.
ὁμοίως κἀκ τοῦ τρόπου δὲ καὶ τῶν λοιπῶν ὁμοίως.

Εἰ πολλάκις ἐργασία δὲ μία πολλὰ εὑρίσκει.
ὅπερ τάνυν ἐλέγομεν τοῦτο καὶ πάλιν λέγει.
ἐκ τῶν τῆς περιστάσεως τόπων τῶν ἓξ πολλάκις
ἓν ἐπιχείρημα ποτὲ συμβήσεται γενέσθαι.
ἡ ἐργασία τούτου δὲ τοὐνθύμημα συγκρίνει·
ὥστε καὶ ἐνθυμήματα ἓξ ἂν συμβαίη τότε
τοῦ ἐν αὐτῇ τε καὶ μιᾷ τοιαύτῃ ἐργασίᾳ
γενέσθαι συγκρινόμενα ἑκάστῃ περιστάσει·
ἃ καὶ ἐπενθυμήματα ἐδόκησαν ὑπάρχειν.
τί δὲ τὸ ἐπενθύμημα ὁ τεχνικὸς ἐμφαίνει,
τὸ μετὰ τὸ ἐνθύμημα τυχὸν τὸ ἐκ προσώπου·
ἐπενεγκεῖν δὲ τὸ ἕτερον ἐνθύμημα ἐκ τούτου·
καὶ τῷ ἐκ τῆς αἰτίας δὲ τυχὸν τὸ ἐξ αἰτίας.
εἶτ' οὖν τῷ ἐνθυμήματι τυχὸν τῷ ἐκ προσώπου
ἂν ἄλλης περιστάσεως ἐνθύμημα ἐπάξῃς,
καὶ τῶν ἐκ περιστάσεως τῶν ἄλλων δὲ ὁμοίως·
ἃ καὶ διπλῆ ἐπίτασις συγκριτικὴ καλεῖται.
ἀλλ' ἔν σοι ἐπενθύμημα τὸ ἐκ προσώπου δείξας,
καὶ τὰ ἐκ περιστάσεως τῶν ἄλλων σαφηνίσω.
διορυκτέον τὸν ἰσθμὸν ὦ ἄνδρες Ἀθηναῖοι.

πραγματικῆς κεφάλαιον συμφέρον τὸ ὀρύσσειν.
εἶτα ἐκ παραδείγματος[g] ὅρα τὴν ἐργασίαν.
καὶ βασιλεὺς γὰρ ὁ Περσῶν διώρυξε τὸν Ἄθων.
εἶτα καὶ τὸ ἐνθύμημα συγκριτικὸν, ὡς εἶπον,
τεῖνον πρὸς τὸ παράδειγμα, ἐξ οὗ ἡ ἐργασία.
καίτοι ἐκεῖνος πότε μὲν ὄρος σκληρὸν διῄρει·
ἡμεῖς δὲ γῆν νῦν σκάψομεν ὑπείκουσαν ῥᾳδίως.
ὅπερ μὲν τὸ ἐνθύμημα ἐνταῦθα νῦν εἰλήφει,
ἐκ τοῦ προσώπου Ξέρξου μὲν πράγματος τοῦ ὀρύσσειν.
ἂν δὲ τὸν Ξέρξην τὸ αὐτὸ πρόσωπον πάλιν εἴπῃς,
μετ' ἄλλης περιστάσεως αἰτίας ἢ τῶν ἄλλων,
καίτοι ἐκεῖνος τότε μὲν ἵνα πλεονεκτήσῃ·
ἡμεῖς δ' ἵνα μὴ πάσχωμεν κακῶς πλεονεξίαν.
λέγεις δὲ ἐνθύμημα κατὰ τὸν τεχνογράφον,
ἂν δὲ τὸ ἐπιχείρημα συμβαίη γεγονέναι
ἀπὸ προσώπου, πράγματος, αἰτίας, ἢ καὶ τόπου,
ἢ τρόπου, ἢ καὶ χρόνου δὲ, εἴτε καὶ ἐκ πλειόνων·
τούτων ἑνὶ ἑκάστῳ δὲ τοὐνθύμημα συγκρίνῃς·
οὐκέτι ἐπενθύμημα τὸ δεύτερον καλεῖται·
παντὸς δὲ ἐνθυμήματος τὸ μὲν τυχ * ἐκ * *' που
τὸ δὲ ἀπὸ τοῦ πράγματος καὶ τῶν λοιπῶν ὁμοίως,
εἴπερ ζητοίης τ'[h] οὕτω καθ' ἑκάστ * * *

Οἷον, εἰ λέγοι τις δεινὸν τὸ ἀδικεῖν πατρίδα.
ἕνεκα σαφηνείας δὲ φιλοσυντόμῳ τρόπῳ
οὐ διαρθροῖ, συγχέει δὲ τάχει πολλῷ τὸν λόγον.
ἡμεῖς δὲ διαρθρώσομεν παράδειγμά σοι θέντες.
Μάρκος τις Κυριόλανος Ῥωμαῖος τρισευπάτωρ,
τοῖς Κυριόλοις πόλεμον Ῥωμαίων συναψάντων,
καὶ προτροπάδην τῇ φυγῇ πιπτόντων τῶν Ῥωμαίων,
αὐτὸς πρὸς τὸ Κυρίολον μόνος εἰσδὺς τῶν ἄλλων,
ἐξαίρει πῦρ ἐξαίσιον φλέξας τινὰς οἰκίας.

[g] Cod. [illegible]. [h] Sic.

ἐλάσας δ' ἀκρατέστερον κατόπιν τῶν βαρβάρων,
οὓς μὲν κατετροπώσατο σπάσας τὸν ἀκινάκην.
οἱ δὲ τὴν ῥώμην τοῦ ἀνδρὸς δεινῶς καταπλαγέντες,
σκύλμῳ μεγάλῳ καὶ βοῇ κατέλυσαν τὰς τάξεις.
τέλος στραφὲν τὸ στράτευμα λοιπὸν τὸ τῶν Ῥωμαίων
τοὺς ἄνδρας κατασφάττουσι τὴν πόλιν τε πορθοῦσι,
καὶ Μάρκῳ Κυριόλανον ἐπέθεντο τὴν κλῆσιν.
τοῦτον τὸν Κυριόλανον χάριν σιτοδοσίας
πικροί τινὲς τῶν λογιστῶν μετὰ βραχὺν τὸν χρόνον
ἦγχον χρεῶν παρεκβολαῖς. ὁ δὲ τοῖς Κυριόλοις
προσθέμενος βουλεύεται τὴν πόλιν ἐκπορθῆσαι.
ἡ μητὴρ δὲ καὶ σύζυγος Κυριολάνου τοῦδε,
ὧν κλῆσις Βετουρνία τε μετὰ τῆς Βουλομίας,
μέσαι σταθεῖσαι τῶν στράτων Ῥωμαίων Κυριόλων,
καὶ τοὺς χιτῶνας ῥήξασαι, καὶ πρὸς τὴν γῆν βαλοῦσαι,
γυμναὶ μεθ' ὀλοφύρσεων ἤρξαντο λέγειν τάδι.
οὐκ ἀδικων[1] ἁρμόδιον τῷ Μάρκῳ τὴν πατρίδα·
πραγματικῆς κεφάλαιον νομίμως ἐστὶ τοῦτο,
καὶ τοῦ γράπτου καὶ ῥέοντος καὶ φυσικοῦ τε νόμου.
εἶτα τὸ ἐπιχείρημα ὁ Ἑρμογένης λέγει.
δεινὸν γὰρ ὄντως ἀδικεῖν πολίτην τὴν πατρίδα.
πρὸς τῷ ἐπιχειρήματι σκόπει καὶ ἐργασίαν
ἀπὸ τοῦ παραδείγματος ὁμοῦ καὶ ἐναντίου.
καὶ Κάμιλος γὰρ πώποτε καὶ Βρέννος ὁ Γαλάτης
ἀδίκως οὐκ ἠθέλησαν πόλεις λαβεῖν ἑτέρων·
ἀλλὰ καὶ κατῃκίσαντο τοὺς ταύτας προδιδόντας.
εἶτα καὶ τὸ ἐνθύμημα συγκριτικὸν ὡς πίπτει·
καίτοι καὶ ἄμφω ἦσαν μὲν πολέμιοι ἐκεῖνοι,
σὺ δὲ πολίτης καὶ τραφεὶς ἐν τῇδε τῇ πατρίδι,
ἔργον τοιοῦτον αἴσχιστον θελήσεις δεδρακέναι.
εἶτα τὸ ἐπενθύμημα συγκριτικὸν καὶ τοῦτο.
καίτοι κ'ἂν παρεδέξαντο τὴν προδοσίαν οὗτοι,
κ'ἂν οὗτοι προδεδώκασιν πατρίδας ἀλλοτρίας,
ἀλλ' ὅμως ὡς πολέμιοι ἔτυχον ἂν συγγνώμης·

[1] Cod. ἀδικ. (ων written above)

ἀσύγγνωστος πολίτης δὲ δρῶν τὰ τῶν πολεμίων,
ἂν ἀριστεὺς τυγχάνῃ δὲ πλέον τὸ μῖσος ἔχει.
βλάπτων δεινῶς οὓς πρότερον εὐεργετῶν ὑπῆρχε.

Περὶ τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους.

Τὰ ἀπ' ἀρχῆς εἰς τέλος μὲν φησὶν ὁ τεχνόγραφος,
ἔστι συνεκτικώτερα πάντων τῶν κεφαλαίων.
τὸ μὲν κεφάλαιον τουτὶ τὰ ἀπ' ἀρχῆς εἰς τέλος·
καλεῖται τοῖς στοχαστικοῖς μὲν ἀπ' ἀρχῆς εἰς τέλος·
ἐν ταῖς λοιπαῖς δὲ στάσεσι καὶ προβολὴ καλεῖται·
συνεκτικώτατον δ' αὐτὸ τῶν κεφαλαίων εἶπε,
ὅτι ἐκ τούτου γίνεται ἐν στοχασμῷ μὲν ταῦτα·
ἀντίληψις, μετάληψις μετάθεσις αἰτίας,
καὶ σὺν αὐταῖς ὁμοίως δὲ πιθαναπολογία.
ἐν ταῖς λοιπαῖς δὲ στάσεσι πάντα τὰ μετὰ τοῦτο.
πρὸς γὰρ αὐτὴν τὴν προβολὴν κεφάλαιον πᾶν φέρει,
ἐκείνης μὴ ῥηθείσης δὲ καὶ τ' ἄλλα συνεκλείπει·
κἀν τοῖς λοιποῖς δὲ στοχασμοῖς τοῖς ἀτελέσι λέγω,
ἐν οἷς τὸ πρᾶγμα μηδαμῶς ἀναλαμβάνει κρίσιν·
ἐπεὶ τούτοις οὐ πίπτουσι τὰ ἀπ' ἀρχῆς εἰς τέλος,
καὶ ἃ ἐκ τούτου γίνεται πάντως ἀπολιμπάνει,
ἀντίληψις, μετάληψις, μετάθεσις αἰτίας,
καὶ σὺν αὐταῖς ὁμοίως δὲ πιθαναπολογία·
ἅπερ εἰσὶ κεφάλαια οἰκεῖα τῶν πραγμάτων.

Ἡ γὰρ περίστασις φησὶν οὐχὶ κατασκευάζει,
ἀλλ' ἡ ὑποδιαίρεσις τὰ ἀπ' ἀρχῆς εἰς τέλος,
ἂν ἐν αὐτῷ καὶ τῷ ἑνὶ ζητήματι ἐμπίπτει
ὁμοῦ ἡ πηλικότης τε καὶ σὺν αὐτῷ τὸ πρός τι·
τότε οὐχὶ χρησόμεθα τὴν προβολὴν τιθέντες
ταῖς ὑποδιαιρέσεσιν, ὥσπερ ὁ ῥήτωρ λέγει,
ἐν αἷς κατασκευάζοντας τὰ ἀπ' ἀρχῆς εἰς τέλος.
πῶς οὖν τὸ πρὶν ὁ τεχνικὸς ἐν στοχασμῷ διδάξας,
γίνεσθαί τε καὶ αὔξεσθαι τὰ ἀπ' ἀρχῆς εἰς τέλος,
ἀφ' ὧν καὶ ἡ ἀπαίτησις γίνεται τῶν ἐλέγχων,

ἤγουν ἐκ περιστάσεως, νῦν λέγει τἀναντία,
πρότασιν καὶ κατασκευὴν κεφάλαιον πᾶν ἔχει,
ἐπίσης δ' ἐν προτάσεσι κατασκευαῖς τε ταῦτα
κλῆσιν φέρειν εἰλήχασι τὰ ἀπ' ἀρχῆς εἰς τέλος.
ὅτε γοῦν ἐν ταῖς στάσεσιν ὁ τεχνικὸς ἦν λέγων
γίνεσθαι τε καὶ αὔξεσθαι τὰ ἀπ' ἀρχῆς εἰς τέλος,
ἀφ' ὧν καὶ ἡ ἀπαίτησις γίνεται τῶν ἐλέγχων,
τὴν πρότασιν ἐδίδασκε τῶν ἀπ' ἀρχῆς εἰς τέλος.
οὕτω γὰρ ταυτὴν τίθησιν ὃς κατὰ τέχνην γράφει.
νῦν δέ σοι τὴν κατασκευὴν τῶν ἀπ' ἀρχῆς εἰς τέλος
διδάσκων λέγει γενέσθαι τῇ ὑποδιαιρέσει.
καὶ πρόσχες τῇ προτάσει δὲ καὶ τῇ κατασκευῇ δέ.
ἐφόνευσας, παρίστασο γὰρ θάπτων ἐρημίαις.
τοῦτο ἐστὶ νῦν πρότασις τῶν ἀπ' ἀρχῆς εἰς τέλος.
τὸ θάπτων πρᾶγμα ἔχουσα τὸ ἐρημίαις τόπον.
εἰ δέ γε μὴ παρίστασο, ἀλλὰ ὀδύρου τοῦτον.
εἰ δὲ μὴ ἔθαπτες αὐτὸν, ἀλλ' ἐφεστὼς ἑώρας.
εἰ γὰρ μὴ ἔρημος μὲν ἦν ἀλλ' οἰκητὸς ὁ τόπος·
οὐκ ἂν εἷλκον ποτέ σε δίκας τοῦ φόνου δοῦναι.

Τὸ τρεῖς ἀπέκτεινεν υἱοὺς ῥητοῦ καὶ διανοίας.
τὰ ἀπ' ἀρχῆς εἰς τέλος δὲ τῇ ὑποδιαιρέσει
τότε κατασκευάζονται, ὅτε καὶ μελετῶμεν
τὰ ἀπ' ἀρχῆς κεφάλαιον τιθέμενοι οἰκεῖον·
οὔκουν ὅποταν λύωμεν ὡς ἀντιθέτου τοῦτο.
τῶν ἐσχηματισμένων γὰρ προβλήματι ἁρμόζει,
ὑποφορᾷ, κατασκευῇ καὶ τῶν ἀντιθετούντων.

Τὸ οὐκ ἂν ἐστὶ προσωποποιΐας χαρακτηριστικόν.

[k] Hæc in Cod. Tzetz. assignantur, sed perperam credo Διαφέρει δημόσιον, δημωτικὸν καὶ ἰδιωτικόν· δημόσιον γὰρ λέγεται, ὃ τις ποιῶν βλάπτει ἢ ὠφελεῖ πᾶσαν πτόλιν· δημωτικὸν δὲ ὃ βλάπτει ἢ ὠφελεῖ τινὰς τῶν τοῦ δήμου· ἰδιωτικὸν δὲ ὃ τις ποιῶν ἑαυτὸν ἢ ἐναντία ἀδικεῖ ἢ ὠφελεῖ.

λέγουσι δὲ τοῦτο καὶ δυνητικὸν, τουτέστιν ἔμφασιν
τινὰ δυνάμενον παρέχειν· ἡ γὰρ προσωποποιΐα μετὰ
τοῦ ἂν διστακτικοῦ τίθεται, ὅταν τις πλάττηται
τὸ μὴ ὂν ὡς ὂν· οἷον, εἰ μὴ τότε ἔπραξας, οὐκ ἂν ἔλεγον·
πράξαντος δέ σου τοῦτο χαλεπαίνω.

Μισθὸν φαινόμενον φησὶν τὸν τῷ ποσῷ νῦν δῆλον·
καθάπερ ἔστι τὸ ποσὸν τῶν ρʹ ταλάντων·
τὸ ρʹ τάλαντα Φίλιππος ἀπεστάλκει,
τὸν ῥήτορα βουλόμενος ὠνεῖσθαι Δημοσθενῆς.

Ἀλλαττέσθω δὲ τὰ σχήματα φησὶν ὁ τεχνογράφος,
μὴ ἡ ὑποδιαίρεσις τῶν ἀτερπῶν φανείη
ἐνὶ ταυτῷ τε σχήματι ἀεὶ εἰσαγομένη·
ἤγουν ποτὲ μὲν σχήματι ἐλεγκτικῷ λέγε·
οἷον, οὐκ ἔδει δοῦναί σε τοιάνδε τιμωρίαν·
ἄλλοτε δ' ἀποφαντικῷ σχήματι πάλιν λέγε·
τουτέστι, πεποιθότι τε καὶ μὴ δεδιδαγμένῳ.
οἷον, ἐχρῆν κἂν τούτῳ σε πάντως τιμωρηθῆναι.
ἐπεὶ παισθεὶς δὲ τοῖς πολλοῖς τῶν ἐπεξηγουμένων
δύο σοι νῦν κατέλεξα σχήματα κατ' ἐκείνους,
ἐπιμερίσω καὶ λοιπὰ τῶν ἐνθαδὶ σχημάτων.
εἰ γὰρ ὁρᾷς τὸ κείμενον πάνυ σαφὲς τυγχάνει.
εἰ τόδε γὰρ ἐποίησας, εἴπερ εἰργάσω τόδε.
τοῦτό μοι καθ' ὑπόθεσιν γίνωσκε λέγειν σχῆμα.
οὐκ ἔδει δοῦναί σε ποινὴν, ἐλεγκτικὸν τὸ σχῆμα,
διστακτικὸν, σοφιστικὸν καὶ ἠθικὸν καλεῖται,
εἰς γνωμὴν ἀναφέρον τε τὴν τῶν ἀκροωμένων.
ἐγὼ μὲν ἂν ἀπῄτησα κἂν τούτῳ τιμωρίαν.
τοῦτο σχῆμα πεποίθησις καὶ ἀποφαντικὸν δέ.
καί τοι σμικρὸν ὑπῆρχε μὲν καὶ μετρίον ὑπῆρχε.
πέντε σχημάτων συμπλοκὴ τοῦτο τανῦν ὑπάρχει·
ἐπιμονὴ, ἐπίκρισις, ταυτὸν ἐκ παραλλήλου·
ἀναστροφὴ καὶ θέσις τις, ἃ λεπτολογητέον

καθὸ μὲν ἄμφω ἄρχεται ἀπὸ τοῦ καὶ συνδέσμου,
ἀναφοράν μοι γίνωσκε ἐπιμονήν τε λέγειν.
ἔστι γὰρ ἓν ἀναφορὰ καὶ ἡ ἐπιμονὴ δὲ,
καθὸ δ' εἰς ἓν κατέληξαν ἀμφοτέρως τὸ τέλος·
τὸ ἣν καὶ ἥνδε λέγω σοι ἀναστροφὴν τὸ σχῆμα·
ἐπίκρισις ὡς κρίνον μικρὸν εἶναι τὸ πρᾶγμα·
τὸ δὲ μικρὸν καὶ μετρίον καθὸ δηλοῦσιν ἕν τι·
ἐκ παραλλήλου τὸ αὐτὸ τοῦτο καλεῖται σχῆμα.
καθὸ δὲ καταφατικῶς οὐκ ἀποφάσει δὲ κεῖνται,
τὸ σχῆμα τοῦτο κέκληται καὶ θέσις σὺν τοῖς ἄλλοις.
ἔσχε γοῦν ὡς πρὸς ἔλεγχον τοῦτο τοῦ Ἑρμογένους
λέγοντος σχῆμα σχήματος ἐκφέρεσθαι μηδόλως.

Ἔστι δὲ μεταχείρισις τοῦδε καλλίων ἄλλη.
τῶν ἀπ' ἀρχῆς εἰς τέλος σοι κατασκευὴν καλλίω
τῆς ὑποδιαιρέσεως τήνδε τυγχάνειν λέγει.
ποτὲ μὲν ἐκ τοῦ πράγματος ἀρχόμενον τοῦ λέγειν
λήγειν πρὸς τὴν ἀξίωσιν ἢ καὶ τὴν τιμωρίαν·
ποτὲ δὲ καταρχόμενον ἀπὸ τῆς τιμωρίας
λήγειν πρὸς τὸ προκειμένον ἐν τῇ ζητήσει πρᾶγμα.
οἷον ἐν παραδείγματι τοῦτο σαφηνιστέον.
οὐκ ἔδει πράξαντα τοδὶ δοῦναί σε τιμωρίαν.
καὶ ἀντιστρόφως πάλιν δὲ ἀπὸ τῆς τιμωρίας.
οὐ τιμωρίας ἄξιος ἢ εἰργασμένος τόδε.

Ὅταν δ' ὑποδιαίρεσις γίνεται τῶν ἀλόγων.
ἤγουν ὅταν παράλογον ἢ καὶ μωρὸν δοκοίη
τὸ ὑποδιαιρούμενον ὁποῖον εἴη πρᾶγμα.
τὰς ὑποδιαιρέσεις σου ἐλεγκτικῶς μὴ λέγε,
ἀλλ' ἀποφαντικώτερον καὶ πεποιθοτέρως λέγε·
εἰ εἴπῃς γὰρ, εἰ ἔκλαιες, οὐκ ἂν εἷλκον εἰς κρίσιν.
πάνυ μωρὸν ὡς φυσικῶς ἐπάγον τιμωρίας,
δάκρυσι καὶ τῷ γέλωτι καὶ τοῖς τοιουτοτρόποις.
εἰπὲ δὲ κατ' ἀπόφασιν καὶ πεποιθότως τότε·

καὶ ὅπερ συνεχώρησας βίασαι ἀνατρέπειν.
εἰ ἔκλαιες, ὦ ἄνθρωπε, οὐκ ἂν εἷλκον εἰς κρίσιν.
ἐπεὶ δὲ τόδε δέδρακας, ποινὰς οὐκ ὑπεκλινεῖς.
καίτοι καὶ κλαίων ἄξιος ὑπῆρχες τιμωρίας.

Εἰ γὰρ μὴ λέγοις, εἶπον ἂν ἕτερον δέ τι ἄλλο·
εἴτε μὴ ἠγανάκτησα ἢ ἐδυσχέρανά σε
ἄλλό τι φαίνεται τότε ἡ προσωποποιΐα.
τὸ εἶπον γάρ ἐστι φησὶν ἡ προσωποποιΐα.
καίτοι καὶ κλαίοντα ποινῆς ἄξιον εἶπον ἄν σε.

Καὶ τὸ πλατεπιχείρημα[1] τοῖς ἀπ' ἀρχῆς εἰς τέλος
ἐπὶ τῷ τέλει πρόσκειται ὥσπερ κεχωρισμένον.
οἶδας μὲν τὴν κατασκευὴν τῶν ἀπ' ἀρχῆς εἰς τέλος
ἐξ ὑποδιαιρέσεως κατασκευαζομένην,
νῦν δὲ τούτοις ἐπένειμε καὶ τὸ πλεῖον ἐν τέλει·
ἐπεὶ δ' ὑποδιαίρεσις πλαστόν ἐστιν ἑκάστη·
ὡς τὸ, εἰ μὴ παρίστασο ἀλλὰ ὠδύρου τοῦτον·
εἰ τόδε οὐκ εἰργάζου μὲν, εἰ διεπράττου τόδε,
δεικνὺς πλαστὸν τὰς μερικὰς μὴ λέγε διαιρέσεις,
ἀλλ' ἄλλο τελεώτερον ὅλον τι πλάττον πρᾶγμα
κείμενον ἐν τῷ τέλει δὲ τῷ ἀπ' ἀρχῆς εἰς τέλος.
νῦν παραδειγματίζει σοι καὶ τοῦτο σαφεστέρως
ἐπί τε τῶν κατ' αἴτησιν δωτίνης ζητημάτων.
καὶ οἷον φυγὴ καὶ δίωξις τυγχάνει προκειμένη.

Ὁ Ξέρξης πρέσβεις ἔπεμψε τοῖς Ἀττικοῖς ἄνδρασιν,
λύειν λέγων τὸν πόλεμον, εἰ περὶ τούτων λάβῃ
δῶρον ὕδωρ τί βράχιστον καὶ γῆν σπυρίδος μόνην.
οἱ δὲ Περσῶν τοὺς πρεσβευτὰς εἰς φρέαρ ἐμβαλόντες
ἄνωθεν χοῦν ἐπέβαλον δῶρα λυπρὰ διδόντες.
καὶ τὸν Κύρσιλον ἕνα δὲ βουλῆς τῶν Ἀθηναίων,
ἀνθ' ὧν τοῖς Περσαῖς ἔλεγεν ὕδωρ καὶ γῆν διδόναι,

[1] Sic Cod.

κατέλευσαν οἱ τέλειοι τῶν Ἀθηναίων ἄνδρες·
γυναῖκες δὲ τῶν Ἀττικῶν γυναῖκα τὴν ἐκείνου·
τὰ τέκνα τούτου πάλιν δὲ τῶν Ἀττικῶν τὰ τέκνα.

Τὸ *σχῆμα κύκλος.*

Οὐ *δὲ τοῖς* Ὀλυνθίοις *γὰρ συνήνεγκε πεισθῆναι.*
Ὀλύνθιοι *τὸ πρότερον* Φιλίππῳ *συμμαχοῦντες,*
καὶ πολεμοῦντες μετ' αὐτὸν κατὰ τῶν Ἀθηναίων,
πρῶτον μὲν δῶρον ἔλαβον τὴν Ἀνθεμοῦντα *πόλιν*
οὖσαν ἀμφισβητήσιμον Ὀλυνθομακεδόσιν·
ἔπειτα τὴν Ποτίδαιαν *πρὶν οὖσαν* Ἀθηναίων
ἥνπερ αὐτοῖς ὁ Φίλιππος *διδοῖ πολιορκήσας.*
ὕστερον ὑποπτεύσαντες τὴν γνώμην τοῦ Φιλίππου,
ἀποδημοῦντος στέλλουσι πρέσβεις πρὸς Ἀθηναίους,
καὶ λύουσι τὸν πόλεμον τὸν πρὸς αὐτὸν ἐνσπόδως[k].
Φίλιππος *δὲ δραξάμενος προφάσεως εὐλόγου,*
πορθεῖ πολέμῳ μὲν αὐτοὺς καὶ κατανδραποδίζει.

Διεξελθὼν *τὰς πράξεις γὰρ τὰς τοῦ* Χαβρίου *λέγει·*
ὁ μὲν Χαβρίας *στρατηγὸς ὑπῆρχεν* Ἀθηναίων·
πόλεις δὲ πεντεκαίδεκα πορθήσας τῶν Λακώνων,
καὶ ναῦς δὲ ἑβδομήκοντα κρατήσας αἰχμαλώτων,
ἐξ Ἀθηναίων *ἔσχηκε τῶν ἀτελῶν ὑπάρχειν·*
καθάπερ καί τινες λοιποὶ τοῖς εὐεργετησάντων,
Λεπτίνου *νόμους θέντος τὰς ἀτελείας λ * * **
ὅτι τῇ πόλει γέγονε σπάνις ταῖς ἀτελείαις·
ὑπὲρ Κτησίππου *τοῦ παιδὸς τοῦ στρατηγοῦ* Χαβρίου
ὁ Δημοσθένης *δεδοικώς, ἦν πατρῷος γὰρ τούτου,*
ἐπεχειρεῖ τὸν νόμον μὲν τὸν τοῦ Λεπτίνου *λύειν·*
καὶ μέμνηται πολλῶν τινῶν τῶν ἐπ' εὐεργεσίαις
λαβόντων τὴν ἀτελείαν, καὶ τῶν νικῶν Χαβρίου.
λέγων μὴ εἶναι δίκαιον τοὺς ἐπ' εὐεργεσίαις
λαβόντας τὴν ἀτελείαν ἐκείνης στερηθῆναι.

[k] Sic Cod.

καὶ μετὰ τὸν κατάλογον τροπαίων τοῦ Χαβρίου,
εἶτα κατασκευάζει δὲ καὶ ἐκ τοῦ ἐναντίου·
ἔκ τε τοῦ ἐναντίου ὁμοῦ καὶ μικροτέρου·
ὡς ἄδικον ἀτελείαν μὴ ἔχειν τοὺς τοιούτους·
λέγων, εἰ μὲν ἀπώλεσα νοῦν μίαν ἐν πολέμῳ,
περὶ θανάτου ἂν αὐτὸν ὁ κίνδυνος ὑπῆρχε·
πόλεις δὲ πεντεκαίδεκα πορθήσας τουναντίον,
καὶ ναῦς δὲ ὃ[1] λαβὼν τῶν πολεμίων,
τῆς δωρεᾶς οὐ κύριος ἐσεῖται τῆς δοθείσης.

Περὶ τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους τῆς πραγματικῆς.

Δυσχερεστατὴν ἔχουσι λύσιν ὁ ῥήτωρ λέγει
στάσεως τῆς πραματικῆς τὰ ἀπ' ἀρχῆς εἰς τέλος.
ποῖα δ' ἐν ταῖς πραγματικαῖς τὰ ἀπ' ἀρχῆς εἰς τέλος
τὰ αἴτια δι' ἅπερ τις τόδε τὶ συμβουλεύει.
οἷον τοῖς Καταναίοις τις βουλεύει μετοικίαν,
διὰ αἰτίαν ὅτι ῥεῖ τὸ πῦρ ἀπὸ τῆς Αἴτνης.
ἐγὼ πλέον τὴν συμβουλὴν οὐ μὴν αἰτίαν λέγω.
καὶ πῶς τὴν λύσιν δυσχερῆ τούτων ὁ ῥήτωρ λέγει;
ὅτι ὡς διαφέρουσα τῶν ἄλλων κεφαλαίων
ὑπῆρχεν ἡ κατασκευὴ τῶν ἀπ' ἀρχῆς εἰς τέλος.
τὰ μὲν κατεσκευάζοντο καὶ γὰρ τῇ περιστάσει,
ὡς ὄπισθεν πλατύτερον εἴπομεν περὶ τούτου.
τῇ ὑποδιαιρέσει δὲ τὰ ἀπ' ἀρχῆς εἰς τέλος.
οὕτω καὶ τῆς πραγματικῆς τῶν ἀπ' ἀρχῆς εἰς τέλος
ἡ λύσις ξενότερά τις τῶν ἄλλων κεφαλαίων.
ἡ λύσις τῶν ἑτέρων γὰρ γίνεται κεφαλαίων·
εἴτουν ἐκ τῆς στάσεως ἢ ἀντιπαραστάσεως,
εἴτε κατὰ τὸ βίαιον ἢ πασῶν ἅμα τούτοις.
τῶν ἀπ' ἀρχῆς εἰς τέλος δὲ πραγματικῆς ἡ λύσις
πᾶσι πασῶν τῶν στάσεων γίνεται κεφαλαίοις.
καλῶς οὖν εἶπε δυσχερῆ τούτων τὴν λύσιν εἶναι·
πολλῶν τῶν πάντων ὄντων γὰρ ὡς οἶδας κεφαλαίων,
ἄδηλον ποῖον προσφυῶς τούτων τεθῆναι δέον.

[1] Sic.

εἰ λύσιν δὲ τῆς πραγματικῆς τῶν ἀπ᾽ ἀρχῆς εἰς τέλος
ἐν τῷδε τῷ πραγματικῷ ζητήματι καὶ τῷδε·
πολλὰ γὰρ καὶ ζητήματα πραγματικῆς ὑπάρχει.

Ἐὰν τὸ πρᾶγμα παρ᾽ ἡμῶν εἴη γεγενημένον.
τὰς κατὰ νόμου εἰσφορὰς πραγματικὰς οἱ ἄλλοι
λέγουσιν ὑπαινίττεσθαι τὸν ῥήτορα ἐνθάδε·
πράγμα καλοῦντες γεγονὸς τὸν νόμον τὸν τεθέντα.
οἷον, ὃν ἔθετο τυχὸν Ἀθήναις ὁ Λεπτίνης,
ὃν Δημοσθένους ἄδικον δεικνύναι πειρωμένου,
Λεπτίνης ἀντιστατικῷ λύσει κεφαλαίῳ.
κ᾽ἄνπερ ἐκ μέρους ἀδικῶ, ἀλλ᾽ ἐφ[illegible]μο μεν * *
θήσει δὲ καὶ ἀντέγκλημα κεφάλαιον σὺν τούτῳ.
καὶ ἄξιον δὲ στέρησιν λαβεῖν τῆς ἀτελείας·
πολλοὶ γὰρ ἔτυχον αὐτῆς ὄντες τῶν ἀναξίων.
καὶ τοῦτο μὲν οὐχὶ κακῶς ἔδοξε τοῖς ἄνδρασιν·
ἐγὼ δ᾽ ἐκ παραδείγματος, οὗπερ ὁ ῥήτωρ λέγει,
τῶν Καταναίων μέταρσιν [m] διὰ πυρὸς τὴν ῥύσιν,
πᾶσαν φημὶ πραγματικὴν τὸν τεχνικὸν νῦν λέγειν.
πρᾶγμα δὲ λέγω γεγονὼς καὶ ἀπ᾽ ἀρχῆς εἰς τέλος,
ὅπερ τις συνεβούλευσεν διά τινα αἰτίαν.
φέρε δὲ καὶ γυμνάσωμεν τὸν λόγον ἐπὶ τούτου.
τοῖς Καταναίοις Φίλιστος διὰ πυρὸς τὴν ῥύσιν
μετάρσεως φαινόμενος σύμβουλος λέγει τάδε·
Κατάνης πόρρω φύγωμεν, τὸ πῦρ γὰρ τὸ τῆς Αἴτνης
δίκην μορμύρον ποταμοῦ συχνῶς νῦν καταρρεῖ.
πρᾶγμα τοινῦν ὃ γέγονεν ἡ συμβουλὴ τοῦ φεύγειν,
ὅπερ πολλάκις ἔφην σοι καὶ ἀπ᾽ ἀρχῆς εἰς τέλος,
τὸ πρᾶγμα δὲ τὸ γεγονὸς τὴν συμβουλὴν Φιλίστου
λέξει τυχὸν ὁ Τίμαιος εἰς βλαβὴν τοῦ Φιλίστου
ἄνομόν τε καὶ ἄδικον. ὁ Φίλιστος δὲ λύσει
ἐν κεφαλαίοις στάσεων ἀντιθετικωτάτων,
ὅποσα χρησιμεύουσιν ἐκείνῳ πρὸς τὴν λύσιν,

m Sic.

οἷον τῷ ἀντιστατικῷ χρήσεται λέγων οὕτως.
ἀψύχους λίθους ἀδικῶν ὦ Τίμαιε γινώσκω.
λυσιτελὲς δὲ γίνεται πᾶσι πολίταις οὕτω.
καὶ μεταστάσει χρῆται καὶ συγγνωμικῷ δέ·
καί γε καὶ ἀντέγκλημα κἂν τοῖς τρισὶ βιαίως,
τὸ πῦρ ἡμᾶς ἠνάγκασε λέγειν πατρίδα φεύγειν·
σύγγνωθι γοῦν, ὦ Τίμαιε, εἰ στέργων τοὺς πολίτας
φόβῳ πυρὸς ἐβούλευον ἐκτρέχειν τῆς πατρίδος·
ἢ γὰρ οὐκ ἦν καὶ ἄξιον τοιαύτης γῆς ἐκτρέχειν.
θήσει καὶ μεταληπτικοῦ νῦν κεφαλαίου μέρη,
αὐτὴν φημὶ τὴν ἔνστασιν σὺν ἀντιπαραστάσει·
οὐκ ἀδικία, Τίμαιε, βουλεύειν πῦρ ἐκφεύγειν.
κ'ἂν ἀδικῶ λυσιτελῶν οὐχὶ μεμπτέον τόδε·
καὶ τῶν λοιπῶν δὲ στάσεων χρήσεται κεφαλαίοις,
στοχαστικῷ μὲν οὐκ ἐρεῖς ὡς τυραννίδος τοῦτο·
καὶ μεθιστῶν εἰς ἑαυτὸν μετάγω τοὺς πολίτας·
οὐκ ἐβουλήθη Φίλιστος οὐδέποτε τοιαῦτα,
στεργόμενος τῷ βασιλεῖ καὶ τῇ μητρὶ τῇ τούτου·
ᾧ καὶ ψιθύρους λαλιὰς ἀνέπλασεν ὁ φθόνος,
τῇ γὰρ βουλήσει πάντως ἂν συνέδραμε τὸ σθένος
ἀρχὴν τοιαύτην ἔχοντος τοιαύτην δυναστείαν.
καὶ ὁρικῷ δὲ χρήσει εἰ θέλει λέγων οὕτως.
διασπασμὸν καὶ μέταρσιν τοῦτο μηδόλως λέγε,
εἰ πῦρ τούτους διέζευξε διασπασμὸς ἦν τότε.
χρήσεται δὲ καὶ τοῖς τέσσαρσιν ἀντιθετικωτάτοις,
ὡς ἄνωθεν ἐδίδαξα· καὶ τοῖς πραγματικοῖς δὲ
χρήσεται, ὅτι δίκαιον, ὅτι συμφέρον τοῦτο.
ῥητῷ καὶ διανοίᾳ δὲ χρήσεται λέγων οὕτως·
εἰ νόμος εἴργει μέταρσιν, ποίας πατρίδος εἴργει;
ἀντινομα[m] χρήσεται πρὸς τούτοις κεφαλαίοις·
εἴργει πολίτας νόμος τις ἀπέχειν τῆς πατρίδος·
ἕτερος φεύγειν κακὸν βοᾷ διαπρυσίως[n].
οὗτος ἐκεῖνον ἐναιρεῖ τὸν νόμον περιέχων,
καὶ τὸ πατρίδος δὲ κακὸν πάντως προτρέπει φεύγειν·

[m] Sic. [n] Cod. διαπυρσίως.

ὁ μὴ ἀπαίρειν λέγων δὲ πολίτας τῆς πατρίδος,
οὐκ ἀναιρεῖ τὸ συμφορὰς καὶ περιστάσεις φεύγειν·
χρήσεται δὲ συλλογισμῷ τοιουτοτρόπως λέγων·
ἴσον τὸ μὴ ἀπαίρειν τε τυγχάνει τῆς πατρίδος,
καὶ τὸ φυγόντας τῶν κακῶν σώζεσθαι τοὺς πολίτας.
ἀμφιβόλου τε ῥητοῦ ἀλλ' ἀντιθέτως θήσει,
εἰρωνικῷ δὲ τῷ σχήματι γελῶν τοὺς ἀντιθέτους·
οὐκ ἔστι τι ἀμφιβόλον ἐγκείμενον τῷ νόμῳ,
τὰς λέξεις ἀναμόχλευε, τὸν νοῦν μοι περιάθρει.
παραγραφῇ τε χρήσεται μεταληπτικωτατῇ·
ἄπαιρε δίκας συγκροτῶν ἐπὶ μικρᾷ προφάσει·
καὶ τότε πάλιν χρήσεται τοῖς τελικοῖς προσφόρως·
ἀλλὰ ταυτὶ μὲν ἔλεξα παραδεικνύναι χρήζων,
ὡς τῆς πραγματικῆς εἰσὶ τὰ ἀπ' ἀρχῆς εἰς τέλος,
πᾶσι πασῶν λυόμενα στάσεων κεφαλαίοις.
σὺ δὲ προσέχων ἀκριβῶς μὴ πάντα σπεύδῃς λέγειν,
ἀλλ' ὅσα σοι συμφέρουσιν ἀπὸ τῶν κεφαλαίων.
καὶ τοῦτο δὲ μὴ λάθῃ σου τὴν συνετὴν καρδίαν,
ὡς νῦν ἐγὼ τὸν λέγοντα φεύγειν σοι παρεθέμην·
ἡ τεχνικὸς δὲ μελετᾷ τὸν λέγοντα μὴ φεύγειν.

Περὶ τάξεως ἐπιχειρημάτων.

Ὁ τεχνικὸς μνησθεὶς τὸ πρὶν τῶν ἐπιχειρημάτων
ἔπειτα παραδέδωκε καὶ τούτων ἐργασίας,
διττὴν τάξιν λέγων σοι τῶν ἐπιχειρημάτων,
νῦν δὲ καὶ τάξιν δίδωσι τῆς τούτων ἐργασίας·
καλεῖ δ' ἐπιχειρήματα νῦν καὶ τὰς ἐργασίας.
φησὶ γοῦν, ἄνπερ ζήτημα διπλοῦν τι παρεμπέσῃ,
δικανικὸν ἢ συμβουλῆς ἔχον τυχὸν τὸ εἶδος·
ὕλην τῆς ἐργασίας δὲ πανηγυρικωτάτην·
ὡς Περικλῆς εἰ κρίνοιτο διὰ τὰς πανοπλίας,
Ἀλκιβιάδης τε λαχὼν δᾳδοῦχος γεγονέναι,
καίγε δοκιμαζόμενος καθαρὸς ὁ νόμιος εἶχε.
πρόταττε τὰ δικανικὰ καὶ τὰ τῆς συμβουλῆς δὲ

ἃ δέονται καὶ φράσεως καταφορικωτάτας.
εἰσὶ δ' ἐπιχειρήματα τῶν δικανικωτάτων,
αὐτὸ τὸ ἐξ αἰτίας τε καὶ ἐκ τοῦ ἐναντίου.
τὰ δὲ τῆς πανηγύρεως τάττε μοι τελευταῖα·
τὰ ἔκ τε παραβολῶν εἴτε καὶ νῦν παραδειγμάτων,
τόπου, χρόνου καὶ τρόπου, προσώπου καὶ τῶν ἄλλων·
ὡς ἂν ἀκμάζων καὶ σφριγῶν ὁ λόγος καθηδόνῃ.
κἂν καὶ διπλοῦν δὲ ζήτημα τοιοῦτον οὐχ ὑπάρχει,
τὰ ἐξ αἰτίας πρόταττε ἀεὶ καὶ ἐναντία·
εἶτα τὰ ἐκ παραβολῶν καὶ τῶν παραδειγμάτων,
προσώπων, καὶ τῶν ἄλλων δὲ περιστατικωτάτων.
ὡς κ' ἂν τοῖς προγυμνάσμασιν ἔγραψε περὶ τούτου.

Τί τὸ προκλητικώτατον, ὃ ἀνεγείρειν σθένει
καὶ προκαλεῖσθαι τεχνικῶς κήρυκος δίκην λάλου.
τὸ προσφυὲς κεφάλαιον τίθεσθαι τελευταῖον,
ὡς Ὅμηρος ἐποίησε τῇ Ἄλφα Ἰλιάδος·
ἢ Αἴας, ἢ Ἰδομενεύς, ἢ Ὀδυσσεὺς εἰπὼν γάρ,
ὕστερον πάντων εἴρηκεν αὐτὸν τὸν Ἀχιλλέα·
οὐκ ἐπὶ ὕβρει τοῦ ἄνδρος, ὥσπερ τισὶν ᾠήθη,
ἀλλ' ἵνα ἐγκαίρως ἄρξηται τῶν πρὸς Ἀτρείδην λόγων,
καὶ ἓν ὁ λόγος δόξειε σῶμά τι πεφυκέναι.

εἰ πρώτους δ' ἀπαριθμήσειε τὸν Ἀχιλλέα τι·
ἔπειτα δὲ τοῦ Αἴαντος καὶ τῶν λοιπῶν ἐμνήσθη·
ὁ λόγος ἂν ἐπι φ ὃ ἐσπάσθη τῶν προσώπων·
καὶ στοχασμῷ δὲ ταῦτα σοι παραδειγματιστέον.
ὁ Περικλῆς εἰ κρίνετο διὰ τὰς πανοπλιάς,
ἐπεὶ μετὰ τὴν βούλησιν ἡ δύναμις ἐμπίπτει,
ἔχων ἀπὸ τοῦ πράγματος προσώπου καὶ αἰτίας,
θεῖναι ἐπιχειρήματα μὴ βουληθῆναι τοῦτο·
ἐρεῖ πρῶτον ἐκ πράγματος μὴ θέλων τυραννῆσαι·
φαῦλον γὰρ πρᾶγμα τυραννίς· εἶτα ἐκ τοῦ προσώπου·
μὴ δὲ θελ Περικλῆν φιλαθηναῖον ὄντα·

εἶτα τὸ ἐπιχείρημα θήσεις τὸ ἐξ αἰτίας,
ἐγερτικὸν ὑπάρχει γὰρ δυνάμεως ἐνταῦθα·
λέγων μὴ θέλειν τυραννεῖν, οὐ δὲ γὰρ ἐδεόμην
χρημάτων, ὥσπερ ἕτεροι, πλούσιος γὰρ ὑπῆρχον.
εὐθὺς δὲ καὶ ἡ δύναμις ἐξ ἀντιθέτου πίπτει·
πλούσιος δ' ὢν, εἰ ἤθελον, πάντως ἂν ἠδυνήθην.

Τοῖς ἀντιληπτικοῖς νῦν λέγει κεφαλαίοις.
τὸ γὰρ ἐνώπιον μητρός τις τὸν υἱὸν ἀνεῖλεν·
ἀντίληψις, οὐκ ἔστι μὲν μετάληψις δ' ἡ στάσις.
οὐκ ἔχει δ' ἀντιληπτικὸν μετάληψις ἡ στάσις.
αὐτὸ γοῦν τὸ παραγραφικὸν ἀντίληψιν νῦν λέγει.
ἐν ταῖς ἀντιλήψεσι γὰρ λέγει δὴ ταῖς ἀγράφοις.
ἡ πρὸς τὸ προβαλλόμενον παραγραφὴ φευγόντων
δύναμιν ἀντιλήψεως ἔχει τῆς ἀπὸ νόμου.

Περὶ Ὅρου.

Περὶ τῶν κεφαλαίων πρὶν ὁ τεχνικὸς διδάξας,
καὶ ἐπιχειρημάτων δὲ καὶ τούτων ἐργασίας,
περὶ αὐτῆς τε στάσεως τῶν ἐπιχειρημάτων,
καὶ παραδειγματίσας σοι ἐν στοχασμῷ ἐκείνῳ
ἐλέγχων ἀπαιτήσει τε βουλήσει καὶ δυνάμει,
ταννῦν ἐπιχειρήματα λέγει καὶ ἐργασίας
τῶν ὅρου κεφαλαίων σοι, ὅπως καὶ ταῦτα γνοίης,
τὸν ὅρον, τὸν ἀνθορισμὸν, συλλογισμὸν καὶ λύσιν·
τέσσαρα λέγων κλήσεσι, τοῖς πράγμασι δὲ δύο.
ὅρον γὰρ καὶ συλλογισμὸν ἅπας κατασκευάζων
κατασκευάζει τοῖς αὐτοῖς ἀπὸ τῶν πεπραγμένων.
καὶ πάλιν τὸν ἀνθορισμὸν συλλογισμοῦ τε λύσιν
κατασκευάζει τοῖς αὐτοῖς ἀπὸ τῶν παρειμένων.
ὅρος, λύσις συλλογισμοῦ ἔστι μὲν τῶν φευγόντων.
ἀνθορισμὸς συλλογισμὸς πάλιν τῶν κατηγόρων.
ἐπὶ γοῦν τῶν κατ' αἴτησιν ὅρων ὁ τεχνογράφος,
ὡς ἔχει τὸ μαινόμενος τύραννον ἀνῃρήκει

καὶ σωφρονήσας δωρεὰν αἰτεῖ τυραννοκτόνου·
ὅρον μὲν καὶ συλλογισμὸν ἀπὸ τῶν πεπραγμένων.
ἀνθορισμὸν καὶ λύσιν δὲ ἀπὸ τῶν παρειμένων,
ὡς εἶπον ἄνωθεν, φησὶν κατασκευάζεσθαί σοι.
ἐπὶ τῶν ὅρων δ' οἷς φυγὴ καὶ δίωξις τυγχάνει·
οἷον, σὺ ἱερόσυλος οὐ μὴν κλέπτης ὑπάρχεις.
ἢ ἐκ τῶν παρειμένων μὲν ἐργάζονται καὶ ἄμφω
ὁ ὅρος καὶ ὁ συλλογισμός· ἢ ὡς Δοξοπατρῆς σοι,
ὁ ὅρος παρειμένοις μητρὸς συλλογισμὸς πραχθεί.

Μαινόμενος ἀπέκτεινεν, ὅρος τῷ τεχνογράφῳ·
ῥητὸν δὲ καὶ διάνοιαν Δοξαπατρῆς νομίζει·
Τζέτζης φησὶν δὲ πρὸς αὐτὸν λύων τὴν ἀπορίαν,
ῥητὸν ἂν καὶ διάνοια Δοξαπατρῇ ὑπῆρχεν,
εἴπερ καὶ ὁ ἀντίδικος τοὔνομα συνεχώρει·
τυραννοκτόνον μὲν καλῶν εἶργε δὲ μονόν γέρως·
οἷον, ποῖον ἐκέλευσε τυραννοκτόνον νόμος
γέρως λαμβάνειν δωρεάν· σκόπει τὸν νοῦν τοῦ λόγου.
ἐνταῦθα δὲ μὴ συγχωρῶν κλῆσιν τυραννοκτόνου,
ἅμα καὶ γέρως τὸν αὐτὸν εἴργει τυραννοκτόνον.
σαφές μοι διάφορον μάθε τῶν δύο τούτων·
ὡς ἡ ῥητοδιάνοια τ' οὔνομα συγχωρεῖ μὲν,
τῆς δωρεᾶς ἀπείργει δὲ, ὥσπερ καὶ πρώην ἔφην,
ὅρος δ' ἐν τοῖς κατ' αἴτησιν ἀπείργει καὶ τὴν κλῆσιν.
πλειόνως δὲ τὴν δωρεὰν ἤπερ τὴν κλῆσιν εἴργει.
ἐπὶ τῶν δ' ὅρων οἷς φυγὴ καὶ δίωξις ὑπάρχει,
καὶ φαυλὴν κρίσιν δίδωσιν ἅμα καὶ τιμωρίαν.
ὥσπερ τὸ ἱερόσυλος οὐ κλέπτης σὺ τυγχάνεις·
καὶ δεῖ καθυπαχθῆναι σε θανάτου τιμωρίᾳ.

Ὥστε τῇ δυνάμει τὰ αὐτὰ κ'ἀκεῖνα πεφυκέναι.
ὁποδαπὰ ἐνθάπερ πλὴν χρόνου διαστάσει,
κἀκεῖνα ἤτοι ὅρον νῦν ἀνθορισμὸν τελέως·
τἀνθάδε συλλογισμὸν καὶ λύσιν δὲ τούτου.

λέγει δὲ ὁ Δοξαπατρῆς ὡς οὐ ταυτὰ τυγχάνει
τὰ δύο ταῦτα τοῖς δυσὶν, ἀλλ' ὁ ἀνθορισμὸς μὲν
ταυτόν ἐστι συλλογισμῷ, ὅρος δὲ λύσει τούτου.
σὺ δὲ τὸν ἄνδρα παρεικὼς τῷ Ἑρμογένει πείθου.

Περὶ διασκευῆς.

Περὶ διασκευῆς τανῦν ὁ τεχνικὸς διδάσκει,
καίπερ καὶ πρότερον καλῶς διδάξας περὶ ταύτης.
δεικνὺς ὡς καὶ διασκευὴ πολλοὺς ἔχει τοὺς τόπους·
πίπτει τῇ διηγήσει γὰρ, πίπτει καὶ τοῖς ἀγῶσι.
τὰ ἀπ' ἀρχῆς εἰς τέλος γὰρ ὑπάρχουσιν ἀγῶνες·
καὶ ἐν τοῖς ἐπιλόγοις δὲ πίπτειν ὁμοίως σθένει.

Ἡ διατύπωσίς ἐστιν ἔκφρασις τῶν πραγμάτων·
ἡ εἰς λεπτὸν ἐξήγησις, ἡ ὥσπερ ζωγραφοῦσα
τύποις τισὶν εἰκονικοῖς ὃ ἀπαγγέλλει λόγους.

Διὰ τῶν πεπραγμένων μὲν ὀφείλεται πλατῦναι.
ἐν τόμῳ τῷ δευτέρῳ μὲν ὁ τεχνικὸς διδάξας
πῶς ἄν τις ἑκατάσκευον διήγησιν πλατύνῃ·
ἤγουν αἰτίας λογισμῶν καὶ τοῖς παραλειφθεῖσιν,
αὐτοῖς τοῖς πεπραγμένοις τε καὶ ταῖς αἰτίαις τούτων,
καὶ τοῖς παραλειφθεῖσι τε καὶ τούτων ταῖς αἰτίαις·
τανῦν διδάσκει πλατυσμὸν καὶ τῆς ἐνδιασκεύου,
ἥντινα ἓ πλατυσμὸν, μόνῳ λαμβάνει τρόπῳ·
οὐχ ὡς τὴν ἐνδιάσκευον αἰτίαις λογισμοῖς τε,
ἀλλὰ παρεὶς παράδειγμα παράγειν ἐξ Ὁμήρου,
μιᾶς σοι διηγήσεως νῦν τῆς ἐνδιασκεύου,
ἁπλῆς ἐγκατασκεύου τε καὶ τῆς ἐνδιασκεύου,
παράξω παραδείγματα πλὴν ἐξ ἐμῶν ἰάμβων
περιεχόντων ἔκφρασιν νυκτέρου ναυγίας,
ἣν κατ' Ἰσμάρου θάλασσαν φεῦ δυστύχως ἀνέτλην·
οἱ στίχοι καταχρῶντο δὲ νεάζοντι διχρόνοις.
Δημητρίου μάρτυρος ἦν μνήμη τότε,

ἄρτι δ' ἔβαινεν ἥλιος πρὸς σκορπίον,
ὁ Ζεὺς δὲ παρῆν ἐν δρόμοις ὑδριχόου.
ἡ δ' αὖ σελήνη τοὺς διδύμους παρέπλει.
ἐπεὶ δ' ἔφυ μὲν ἐκ χαλάζης σκορπίος·
ὁ Γαννυμήδης δ' οὗτος ὢν ὑδριχόος,
κάθυγρος ἐστὶν ὡς τὸ πρὶν ὑδριχόος,
φέρει δὲ καὶ πνεύματα καὶ σεισμῶν βίας·
εἰ σὺν χρόνῳ μάλιστα τῷ δεινῷ τύχῃ.
μέσην κατ' αὐτὴν ἥνπερ εἶπον εὐφρόνην,
κορθύετο θάλασσα τῶν ὄρων δίκην.
Ζέφυρος Εὖρος καὶ Βορᾶς γὰρ καὶ Νότος
πνέοντες ἠέρταζον αὐτῶν τὸ στόμα·
ὡς μυρίοι ταῦροι δὲ μυκῶντες μέγα,
οὕτω βρυχηθμοὺς ἐξέπεμπεν ἀγρίους,
ὡς εἰ δυνατὸν ἐκροφῆσαι καὶ χθόνα.
ὁ δ' οὐρανὸς βρονταῖσιν ἐβρόντα μέγα,
καὶ πῦρ κεραυνῶν δεινὸν ἠστραπηλάτει·
ὄμβροι δὲ λάβροι καὶ χαλάζης αἱ πέτραι
οὕτω κατερήγνυντο σὺν πολλῷ κρότῳ,
ὡς ἀντιβροντᾶν οὐρανοῦ πρὸς τοὺς κτύπους.
ἡ νὺξ δὲ τούτων ἦν ἂν ἀστεργεστέρα
δοκοῦσα πίσσης ἐς πολὺ μελαντέρα.
ἡ ναῦς δ' ἐν αὐτοῖς ὥσπερ ἐμψυχωμένη,
στροβουμένη κάκιστα τῷ πολλῷ κλόνῳ
ἐπεστύγναζεν ἐν στόματι πευκίνῳ.
κακοῦ δὲ κακῷ πανταχοῦ συνηγμένου,
ἀνῃρμένοι τι πάντες οἱ ναυαγέται
ἔσωζον αὐτοὺς ἐκλιπόντες ὁλκάδα.
οὕτω μὲν εἶχεν ἡ γραφὴ καὶ θέσις τῶν ἰάμβων.
ἔστι δ' ἁπλῆ διήγησις ἀπὸ τοῦ πρώτου στίχου
μεχρὶ τοῦ, ἡ σελήνη δὲ παρέπλει τοὺς διδύμους·
ἐκ τοῦ, ἐπεὶ δ' ἐκπέφυκε σκορπίος ἐκ χαλάζης,
μεχρὶ τοῦ, πνέοντες αὐτῆς ἠέρταζον τὸ στόμα,
ἔστιν ἡ ἐγκατάσκευος διήγησις κειμένη·

ἐκ δὲ τοῦ, ὥσπερ μύριοι ταῦροι μυκῶντες μέγα,
μεχρὶ τοῦ, ἔσωζον αὐτοὺς τὰ πλοῖα λελοιπότες,
διήγησις καθέστηκεν ἐκ τῶν ἐνδιασκευῶν.

Οὐχὶ τὰ προγυμνάσματα τὰς προσωποποιΐας,
οὐ δὲ τὰς ἃς τιθέαμεν τοῖς ἀπ' ἀρχῆς εἰς τέλος·
οἷον ἐστὶ τὸ εἶπον ἂν καὶ τὰ τοιαῦτα πάντα,
ὁ τεχνικὸς καλῶν ἐστὶ νῦν προσωποποιΐας.
τοὺς ἠθικοὺς τοὺς λόγους δὲ καὶ τὰς ἠθοποιΐας,
οἵας ἐν προγυμνάσμασι τὸ πρὶν ἐκμεμαθήκεις.

Εἰ δὲ τὸ πρᾶγμα ἄξιον διασκευῆς ὑπάρχει.
εἰ δὲ κατὰ τοὺς τρεῖς χρόνους διήγησιν ἐφεύροις,
χρήζουσαν τῆς διασκευῆς οὕτω μοι τόπ * γράφε,
τοῦ ἐνεστῶτος πράγματος ποιούμενος τὴν μνήμην·
ἐγκατασκευῶς μὲν αὐτὸν λέγε μοι ταῖς αἰτίαις·
τὸ παρελθὸν καὶ μέλλον δὲ λέγε μοι μετὰ τρόπου,
τουτέστι ταῦτα λέγε δὲ ἐγκατασκευῶς μόνα.

Ἄλλα γάρ ἐστι κῶλα μὲν τῶν κατασκευαζόντων.
μακρὰ τὰ κῶλα πέφυκε τῶν κατασκευαζόντων·
τῶν διασκευαζόντων δὲ σύμμετρα καὶ βραχέα.

Πρόσετι καὶ κατασκευαῖς ὠθεῖ τὰς περιόδους.
σὺν τούτοις χρὴ καὶ ἀφαιρεῖν ἅμα τὰς περιόδους,
αἷς περ κατασκευάζομεν τὰ ἀπ' ἀρχῆς εἰς τέλος.
που δ' ἀφαιρεῖν προτρέπεται ταύτας τοῖς ἐπιλόγοις.
ἀλλότριον περίοδος ἐστὶ διασκευῆς γάρ·
τοὺς ἐπιλόγους πρέπει γὰρ λέγειν ἐνδιασκευῶς.

Εἰ δὲ τὸ πρᾶγμα ἀπορεῖ διασκευῆς ἀθρόως.
λείπει ἐπιφερόμενον εἴτε προτεθειμένον.
ὁ σύμπας νοῦς τοῦ λόγου δὲ τοιοῦτός τις ὑπάρχει.
εἰ δὲ τὸ πρᾶγμα γὰρ τεθὲν ἀθρόως, ὁλοκλήρως,

καὶ κεφαλαιωδεστέρως, οὐ κατατετμημένως,
ἐκφέρεσθαι οὐ πέφυκεν ἐνδιασκεύῳ τρόπῳ.
ἀλλ' ὑποδιαίρεσις ὁ ὑπομερισμός τε
οὐκ ἀπορίαν κέκτηται τῆς προσωποποιΐας·
τουτέστι μεριζόμενον τῇ ὑποδιαιρέσει
σθένει κατασκευάζεσθαι ταῖς προσωποποιΐαις.

Ταυτολογεῖ *διασκευὴ καὶ ἀγωγὴ χωρίων·*
ὁ ὑπομερισμός ἐστι διασκευῇ ταυτόν τι,
καὶ ἡ διασκευὴ ταυτὸν τῇ ἀγωγῇ χωρίων.
ὥσπερ γὰρ ἡ διασκευὴ ἀθρόον πρᾶγμα λέγει,
οἷον, ἐρήμοις ἵστασο θάπτων· φονεὺς ἧς ἄρα·
εἶτα λαβὼν ὁ μερισμὸς ὑπομερίζει τοῦτο·
εἰ δὲ μὴ θάπτων ἵστασο, εἴπερ μὴ τόδε καὶ τόδε,
εἶτα πάλιν ἐπανελθὼν ἀθρόως τοῦτο λέγει·
ἐπεὶ δὲ θάπτων ἵστασο, φονεὺς εἶ τοῦ κειμένου.
οὕτω χωρίων ἀγωγὴ ταυτολογεῖ ὁμοίως·
καὶ γὰρ κἂν ταύτῃ λέγομεν ταυτὰ ταυτολογοῦντες,
ἀθρόως γὰρ τὸ πρᾶγμά τις εἰπὼν ἐνδιασκεύως,
τριακοσίους τοῖς βωμοῖς ὠμῶς καὶ ἀπανθρώπως
ὡς σφάγια ἐθύσατε καθάπερ ἱερεῖα,
οἰκτροῖς ἐν στεφανώμασι δεινῶς δεδρακρυμένους,
θρηνοῦντας, περιβάλλοντας ὀλοφυρμοῖς ἀλλήλους.
ἐπάγει παραδείγματα ἃ ἀγωγὴ χωρίων·
καθ' ἓν δὲ τοῦτο πρὸς αὐτὸ τὸ πρᾶγμα παραβαίνει,
οἷσπερ καὶ τοῖς ὑπομερισμοῖς, ὥσπερ καὶ πρώην ἔφην.
τριακοσίους τοῖς βωμοῖς ἐθύσατε ὡς ἄρνας.
εἶτα καὶ παραδείγματα πρὸς τοὺς τριακοσίους.
ὃν ἐπηγνήσατε ἀριθμὸν τὸν τῶν τριακοσίων.
εἶτα καὶ ἡ μετάβασις ὡς πρὸς αὐτὸ τὸ πρᾶγμα.
ὦ Λάκωνες ἐφθείρατε τῇ τελευτῇ τῇ τούτων.
εἶτα πάλιν παραδείγματα μετὰ τὸ πρᾶγμα ἄλλο.
ἔθανον τριακόσιοι ἡμῶν καὶ ἐν Θυραίᾳ
ἀλλ' ὥσπερ ἄνδρες μαχηταί, ἀλλὰ πολέμου νόμῳ.

εἶτα πάλιν μετάβασις ὡς πρὸς αὐτὸ τὸ πρᾶγμα.
ὑμεῖς δὲ κατασφάξατε τούτους θυμάτων νόμῳ.
καὶ πάλιν δὲ παράδειγμα καὶ ἀγωγὴ χωρίου.
καὶ βασιλεὺς ἀπέκτεινεν ἡμῶν τριακοσίους,
ὧν εἷς καὶ Λεωνίδης ἦν ἐν τῷ Ἀρτεμισίῳ.
ἀλλ᾽ οὐ κατέθυσεν αὐτούς· ᾐδέσθη γὰρ τὴν φύσιν.
εἶτα καὶ ἐπανάκαμψις πάλιν ὡς πρὸς τὸ πρᾶγμα.
ὑμεῖς δὲ παρεστήσασθε θεοῖς τοῖς ὑμετέροις
τριακοσίους τοῖς βωμοῖς καθάπερ ἱερεῖα.
κατὰ δὲ ἐπανάκαμψιν ἑκάστην πρὸς τὸ πρᾶγμα
ἔξεστι τοῦ πράγματος ἐνδιασκεύως λέγειν,
καὶ πάλιν τι παράδειγμα τιθέναι μετὰ ταῦτα.

Χρὴ δὲ εἰδέναι ὅτι καὶ πᾶς ὑπομερισμός.
Ταυτὸν ὁ ὑπομερισμὸς διασκευαῖς ἰσχύει.
ὡς γὰρ διασκευάζοντες δεικνύομεν τόδε τι·
οἷον, ἐρήμοις ἵστασο θάπτων, φονεὺς ἦς ἄρα·
οὕτως ὑπομερίζοντες δεικνύομεν ὁμοίως.
εἰ μὴ ἐρήμοις ἵστασο ἀλλὰ ἐν πολιτείᾳ·
εἰ δὲ μὴ θάπτων ἵστασο, ἀλλ᾽ ἀφεώρας μόνως.
εἰ δὲ μὴ ἵστασο τυχὸν, ἀλλὰ διήρχου τότε,
οὐκ ἂν καὶ τότε φόνου σοι προσῆπτον τὰς αἰτίας.
ἐπεὶ δὲ θάπτων ἵστασο, φονεὺς εἶ τοῦ κειμένου.
οὕτω ταυτὸν ὁ μερισμὸς διασκευαῖς ἰσχύει.

Τὸ δεῖ γὰρ πάντως ἀνελθεῖν ὡς πρὸς αὐτὸ πρᾶγμα.
ἐξ ὑποδιαιρέσεως καὶ νῦν εἶπον τυγχάνειν
ἐνδιασκεύως εἶπον γὰρ ἀθρόως πρὶν τὸ πρᾶγμα.
οἷον, ἐρήμοις ἵστασο θάπτων, φονεὺς ἦς ἄρα.
εἶτα τοῦτο μερίσας τε καὶ ὑποδιαιρήσας.
εἰ δὲ μὴ θάπτων ἵστασο, εἰ δὲ μὴ τὸν καὶ τόδε,
ἀναδραμὼν κατέλεξε πάλιν ἀθρόως τοῦτο.
ἐπεὶ δὲ θάπτων ἵστασο, φονεὺς εἶ τοῦ κειμένου.

Ἐπίπρασκεν Ἀλέξανδρος Θηβαίων αἰχμαλώτους.

ἡ στάσις ἡ παροῦσα μὲν ἀντίληψις ὑπάρχει.
ἡ περὶ τῶν ἐν Λεύκτροις δὲ τοιάδε ἱστορία.
μετὰ Θηβαίων Λάκωνες πόλεμον συνεκρότουν·
εἶτα τρεῖς πρέσβεις ἔπεμψαν οἱ Λάκωνες Θηβαίοις,
οἵ τινες ἐξενίσθησαν ἐν Λεύκτροις τῷ Σκεδάσῳ.
ἔπειτα τὴν πρεσβείαν δὲ ποιήσαντες Θηβαίοις,
πάλιν ἐπαναστρέφοντες ἦλθον εἰς τὴν Σκεδάσου.
ἐκδήμου τοῦ Σκεδάσου δὲ τῶν Λεύκτρων ὄντος τότε,
τούτους πάλιν ἐξένισαν αἱ τούτου θυγατέρες.
οὗτοι δὲ διαφθείροντες καὶ κτείνοντες ἐκείνας,
καὶ πρός τι φρέαρ ῥίψαντες ἐχώρουν πρὸς τὰ οἴκοι.
εἶτα λοιπὸν ὁ Σκέδασος ἐλθὼν εἰς τὴν οἰκίαν,
καὶ κόρας τούτου μὴ εὑρὼν, μεγάλως ἐδυσφόρει.
ὁ κύων τούτου πράως δὲ δάκνων τοῦ ἱματίου
ὡς πρὸς τὸ φρέαρ εἵλκυσεν οὗ ἔκειντο αἱ κόραι.
ὁ δὲ ἀνιμησάμενος ἐκείνας τε καὶ θάψας,
καὶ γνοὺς Λακώνων πρεσβέων εἶναι τὸ πεπραγμένον,
ἀπῆλθε πρὸς τοὺς Λάκωνας αἰτῶν ἐκδικηθῆναι.
τούτων μὴ φροντισάντων δὲ, μόλων εἰς τὸ μαντεῖον,
χρᾶται Λακώνων αἵμασι τάφους κορῶν ἐμπλῆσαι.
ἔπειτα συμβάντων δὲ Θηβαίων καὶ Λακώνων
ἐν Λεύκτροις, τέλος ὁ χρησμὸς ὁ προῤῥηθεὶς λαμβάνει.
ὕστερον δὲ Ἀλέξανδρος Θηβαίους ἐκπόρθησας,
ὡς ἦν πιπράσκων ἐξ αὐτῶν τοὺς ᾐχμαλωτισμένους,
οἱ Λάκωνες πριάμενοι τούτων τριακοσίους,
ἐν Λεύκτροις τούτους ἔσφαξαν ἀμύνῃ τῆς πρὶν ἥττης[n].

Ἐπαινετὸς ὁ ἀριθμὸς ὁ τῶν τριακοσίων
τοῖς Λάκωσιν ἐτύγχανε διὰ αἰτίας τάσδε.
ἡ Θυρέα χωρίον τι, εἶτουν γε ἡ Θυραία
Ἀργείων δὲ μεσώριον ὑπῆρχε καὶ Θηβαίων.
περὶ τοῦ μεσωρίου δὲ τούτου τοῖς ἄνω χρόνοις

[n] Quod seq. Schol. solut. orat. omnem hanc historiam similiter admodum exponit.

διαφοράκις συρραγαὶ γεγόνασι πολέμων.
τέλος αὐτοῖς τοῖς Λάκωσι δόξαν καὶ Σπαρτιάταις,
κρίνεται τριακόσιοι ἀφ' ἑκατέρου γένους,
ὁπότε Κροῖσον Σάρδαισι Κῦρος ἐπολιόρκει,
καὶ συμβάντες πόλεμον βαρὺν ὡς πρὸς ἀλλήλους,
περὶ τῆς διακρίσεως ἐμάχοντο τῶν ὅλων.
καὶ τέλος πάντες πίπτουσι ἐξ ἀμφοτέρου μέρους,
περιλειφθέντος Λάκωσι τοῦ Ὀρθυάδου[o] μόνου,
Ἀργείοις δὲ Ἀλκίφρονος ὁμοῦ καὶ τοῦ Χρωμίου.
ὡς δ' ἐπελθούσης τῆς νυκτὸς Χρόμιος καὶ Ἀλκίφρων
πρὸς τοὺς αὐτῶν ἀνέζευξαν ὥσπερ νενικηκότες,
Ὀρθυάδης ἅπαντα τὰ τῶν Ἀργείων ὅπλα
συναγαγὼν παρέμεινε ἐν τῇ στρατοπεδείᾳ.
ἐλθόντων δ' ἄμφω τῶν στρατῶν φαυσάσης τῆς ἡμέρας,
τὸν Ὀρθυάδην ἔλεγον οἱ Λάκωνες νικῆσαι,
τοὺς τῶν Ἀργείων δὲ φυγεῖν ἐκνικωμένους τούτῳ.
τέλος βαρὺν συρραξάντες πόλεμον πρὸς ἀλλήλους,
νικῶσι μὲν οἱ Λάκωνες, κείρονται δ' οἱ Ἀργεῖοι,
κόμην βαθεῖαν τρέφοντες τοῖς ἀνωτέρω χρόνοις.
ἔθεντο καὶ κατάραν δὲ, μήτε μὴν θρέψαι κόμην,
μήτε χρυσοφορῆσαι δὲ πρότερον σφῶν γυναῖκας,
εἰ μή πως συνανασώσαιντο τὰς Θυρεὰς τῷ Ἄργει.
οἱ Λάκωνες ἐποίουν δὲ τὰ τούτων ἐναντία.
ὁ Ὀρθυάδης δ' αἰσχυνθεὶς μόνος ὑποστραφῆναι,
ἐν Θυρεαῖς ἀπέσφαξεν αὐτὸν σὺν τοῖς ἑτέροις.
ἡ ἱστορία αὕτη μὲν δι' ἣν ὑπῆρξε πάλαι
ἐπαινετὸς ὁ ἀριθμὸς ὁ τῶν τριακοσίων.

Καὶ βασιλεὺς ἀπέκτεινεν ἡμῶν τριακοσίους,
ὅτε Ξέρξης ἐστράτευσε κατ' Ἀττικῶν ὁ Πέρσης·
γαιῶν μὲν τὸν Ἑλλήσποντον διττῇ γεφυρουργίᾳ·
θαλαττουγγῶν τὸν Ἄθων δὲ διώρυγε βαθέως.

[o] Sic.

χερσῶν πολλοὺς δὲ ποταμοὺς ἀρδείᾳ τῇ τῶν ἵππων,
καὶ βρώσει τούτων, ἀναλῶν δένδρων ἰδέαν πᾶσαν
συγκρύπτων δὲ τὸν ἥλιον νέφεσι τοξευμάτων.
στρατὸς γὰρ πεντακόσιοι ἦν τούτῳ μυριάδες
βραχύ τι ἐκλειπόμεναι. τότε ὁ Λεωνίδης,
ὁ τῶν Λακώντων στρατηγὸς μετὰ τριακοσίων,
οὐκ ἐν τῇ Πύλῳ, ὡς φησὶν ὁ ῥήτωρ Ἑρμογένης,
περὶ τὰς Θερμοπύλας δὲ τὰς ἐν Ἀρτεμισίῳ·
ὃ ἱερὸν τῆς Ἀρτεμίδος, λιμὴν δὲ τῆς Εὐβοίας,
ἀντέστη τῷ ῥηθέντι νῦν παντὶ στρατῷ τοῦ Ξέρξου.
καὶ ἔργα δείξας ἀνδρικὰ καὶ ἀνελὼν μυρίους,
τί γενναίως τέθεικε σὺν τοῖς τριακοσίοις·
ὑπὸ στρατοῦ τοῦ σύμπαντος κατακοπεὶς τοῦ Ξέρξου.
τὸ περὶ Πύλας τε φημὶ καὶ περὶ Σφακτηρίαν.
Πύλος καὶ Κορυφάσιον ὁμοῦ καὶ Σφακτηρία,
Λακώνων πρὶν ὑπῆρχεν μὲν ὑποτελῆ χωρία·
τὴν στρατηγίαν δὲ λαχὼν τῶν Ἀθηναίων Κλέων,
στρατεύσας καὶ πορθήσας γε πολιορκίᾳ ταυτα,
τριακοσίους ἤγαγεν Ἀθήναις αἰχμαλώτους.

ΤΟΜΟΣ Δ. ΠΕΡΙ ΕΥΡΕΣΕΩΣ.

Τετράτομον ὁ σοφιστὴς τήνδε ποιήσας βίβλον,
καὶ πρώτῳ τόμῳ παραδοὺς περὶ τῶν προοιμίων,
περὶ διηγήσεων διδάξας ἐν δευτέρῳ,
τῷ τρίτῳ δὲ τὴν τέχνωσιν διδάξας τῶν ἀγώνων·
ἐπεὶ σύμπαν ἐκφέρεται λόγου διὰ σχημάτων,
ἐν τῷ τετάρτῳ γράφει νῦν περὶ σχημάτων λόγου,
σχημάτων ἀγωνιστικῶν, τὰ γὰρ λοιπὰ μυρία.

Στρογγύλως κατ' ἀντίθεσιν καὶ κατὰ περιόδους,
ταυτὶ γὰρ ἑρμηνευτικὰ τοῦ στρογγύλου.

Πνευματικῶς ἐκτείναντας, ἀκμαίως δέον γράφειν.
ἐντεῦθεν ἀκριβέστερον ἔστι νοῆσαι δέον,

ὃ ἔφη περὶ τινος τῶν ἐπιχειρημάτων,
τὸ τὰ τῆς πανηγύρεως τηρεῖν σε τελευταῖα·
ὡς ἂν ἀκμάζων καὶ σφριγῶν ὁ λόγος καθηδύνῃ.
ἐνταῦθα δὲ σαφέστερον ὁ τεχνογράφος λέγει,
ὅτι τὰ πανηγυρικὰ τῶν ἐπιχειρημάτων
οὐχὶ στρογγύλοις κόμμασιν συνεσφιγμένοις λέγειν,
ἀλλά γε δὴ πνευματικοῖς μακροῖς τε καὶ ἀκμαίοις.

Διπλασιάζων πάντα νοῦν ὃ λέγει γὰρ προτάσει,
καὶ ἐν τῇ ἀποδείξει δὲ πάλιν λαμβάνων λέγει·
οἷον, ἡμέτερον νῦν ἐστὶ δέον ποιῆσαι τόδε.
τοῦτο μὲν πρώτη πρότασις· ὅρα δὲ καὶ δευτέραν,
ἂν γὰρ μὴ ἦν ἡμέτερον πρὶν νὺξ δ' οὐκ ἐχρῆν ποιῆσαι.
εἶτα καὶ ἡ ἀπόδοσις ταυτολογεῖ προτάσει.
ἐπεὶ δ' ἡμέτερον νῦν ἐστὶ δέον ποιῆσαι τόδε.
ἀντίθετον ὑπάρχει μὲν καθὸ διπλασιάζει
τὸν νοῦν τὸν ὑποκείμενον λέγον τὸ κατὰ φύσιν,
καὶ ἀναπλάττου τὸ μὴ ὂν ὅπερ διττολογία.
οἷον, εἰ ἦν γὰρ πόλεμος, πολέμου δὲ μὴ ὄντος·
καὶ οὕτω κέκληται ἀντίθετον τὸ σχῆμα.
περίοδος ὑπάρχει δὲ καθότι ἄρθρον ἔχει
ἐν τῇ προτάσει κείμενον· ἐν δὲ τῇ ἀποδόσει
ἀντωνυμίαν κέκτηται, ὥσπερ φασὶν οἱ ἄλλοι.
ἑτέροις δὲ περίοδος καλεῖται κατὰ τοῦτο,
ὡς ὅλον περικλείουσα τὸν νοῦν ἐν τῇ προτάσει.

Εἰ μὲν περὶ καινοῦ τινος προυτίθετο νῦν λέγειν.
ἐκ πρώτου τῶν Φιλιππικῶν τοῦτο τυγχάνει λόγου·
ὁ νοῦς τῆς ὑποθέσεως τοῦ λόγου δὲ τοιοῦτος.
ἔθος ἐν ταῖς Ἀθήναις ἦν, συλλεγέντος συνεδρίου
καὶ γῆς ἁπάσης τῆς βουλῆς ἄνδρασι πυκνωθείσης,
πάντα βοᾶν τὸν κήρυκα φωνῇ διαπρυσίῳ·
τίς ἀγορεύειν βούλεται, ὦ ἄνδρες Ἀθηναῖοι,
τῶν ὑπὲρ τὰ πεντήκοντα τὴν ἡλικίαν ἔτη;

εἰ δὲ παρῆν ἢ καὶ παρὼν ὑπερπεντηκοντέτης,
ἤθελεν ἄγειν σιωπὴν, ὁ κήρυξ πάλιν οὗτος·
τίς ἀγορεύειν βούλεται πάντων ἀνδρῶν ἐβοᾶ.
καὶ τότε συγκεχώρητο λέγειν καὶ νεωτέροις.

εἰ δέ τις προϋφήρπαζε τὴν π[illegible] τὴν τοῦ λέγειν,
δειναῖς ὑπέπιπτε ποιναῖς, ὅθεν ὁ Δημοσθένης,
ἐπείπερ προϋφήρπαζε τὴν τῶν γερόντων τάξιν,
ποιεῖται τὸν ἀπόλογον ἐν προοιμίοις τοῦτον.
πρεπὸν ἐστὶ τοῖς γέρουσι βουλαῖς πρωτολογία·
ἀλλ' ὅταν ἡ διάσκεψις περὶ καινῶν πραγμάτων.
ἐπεὶ περὶ συνηθῶν δὲ πραγμάτων νῦν ἡ σκέψις,
περὶ Φιλίππου γάρ ἐστι, ὅπερ πολλάκις πάλαι
ἔσκεπται καὶ βεβούλευται τοῖς γέρουσιν ἄνδρασιν,
εἰ μετὰ τούτους τὰ πολλὰ πρότερον εἰρηκότας·
νῦν ἀναστὰς δημηγορῶν πρῶτος ἐξάρχων λόγου,
καὶ μετατρέπων τὸν θεσμὸν, οὐκ ἀδικῶ τοὺς ἄνδρας.
τὸ σχῆμα τὸ ἀντίθετον ὁ τεχνικὸς διδάσκει
τὴν ἐκ τοῦ ἐναντίου τε σὺν τούτῳ ἐργασίαν.
καὶ τούτων τὴν διαφορὰν παραδεικνύειν λέγων,
τὸ μὲν ἀντίθετον τὸ ὂν ὥσπερ οὐκ ὂν προφέρει.
εἴπερ μὴ ἦν ἡμέρα νῦν * * νυκτὸς ἦν κνέφας.
τὴν ἣν ἐξ ἐναντίας δὲ καλοῦμεν ἐργασίαν.
τὸ πρᾶγμα πρὸς τοὺς πάσχοντας ἀπὸ τῶν δρώντων στρέφει,
καὶ πρὸς αὐτοὺς τοὺς δρῶντας δὲ πάλιν ἐκ τῶν πασχόντων.
τὸ πᾶν ὅπερ ἁρμόδιον ἐν τοῖς πολέμοις δρῶντα.

Τοῦτο γὰρ εἰ μὲν ἀντίθετον ἐβούλετο ποιῆσαι.
Ἑρμόγενες σιώπησον· νῦν μάθε δ' ἀπὸ Τζέτζου,
δἰὅπερ[o] νῦν ἀντίθετον σχῆμα κατονομάζεις,
διὰ τοῦ καθ' ὑπόθεσιν σχήματος παρεισήχθη.
λέγεις δὲ πάντως τοῦ εἰ μὲν, ὃ συνεθόλωσέ σε·
καὶ λέγεις τὸ ἀντίθετον καὶ ἐναντίον ἄλλο,

[o] Sic.

καὶ ἀνατρέπεις σεαυτὸν ὥσπερ τις τῶν ληθάργων.
καὶ γὰρ προεῖπες πρὸ μικροῦ τῶν ἐναντίων τοῦτο,
εἰ δέ γε μὴ κατώρθω λέγων ἀλλὰ ἐλήφθην
εἰς τὸν περὶ μεθόδου τε τάξει τρισκαιδεκάτους
ὁμοίως τὸ ἀντίθετον καὶ ἐναντίον λέγεις.
οἷον αὐτὸς ἐδίδασκες, ἐγὼ δέ σοι ἐφοίτων.
νῦν δὲ λαλεῖς ἃ σοι δοκεῖ ὡς εἰς λουτρὸν οὐρήσας.

Περὶ Περιόδου.

Περίοδον *ἀπείληχε τοῦτο τὸ σχῆμα κλῆσιν,*
ἐκ περιόδου χρονικῆς τῆς καὶ κυκλοφορίας,
ἥτις τὸν δωδεκάμηνον χρόνον συμπερικλείει.

Ποῖον *νῦν ἐπιχείρημα ὁ ῥήτωρ ὀνομάζει ;*
ἢ ὅπερ εἶπε πρότερον ἁρμόζειν προσλάβειν,
εἰσαγωγαῖς καὶ λύσεσι πάντων τῶν κεφαλαίων.
εἶτ' οὖν ἁπλῶς πᾶν νόημα καταχρηστικωτέρως·
*πρὸς μὲν τὸ * * ὁ νοῦς τοιοῦτος τοῦ κειμένου.*
κυρίως μὲν καὶ ἀληθῶς περίοδος ὑπάρχει·
ἡ ἅπαν τὸ ἐνθύμημα συγκλείουσα τῷ κώλῳ.
ὡς οἶδας δὲ τοὐνθύμημα συγκριτικὸν ὑπάρχει·
αὐτῆς τῆς ἐργασίας τε καὶ ἐπιχειρημάτων.
τοιαύτη μὲν ἡ ἀληθὴς περίοδος ὑπάρχει.
τὸ δέ γε που ἑτέρωθι, τουτέστι προοιμίοις,
εἴτε καὶ διηγήσεσιν οὕτω πῶς περικλείει
ἐν κώλῳ πᾶσαν ἔννοιαν, περίοδος οὐκ ἔστι,
λόγοις δὲ περιοδικοῖς ἢ σχῆμα περιόδου·
πρὸς μὲν τὸ πρότερον ὁ νοῦς τοιοῦτος τοῦ κειμένου.
ἂν κώλῳ περικλείσειας ὅλον τὸ νόημά σου,
ἀληθινὴν περίοδον ἐποίησας τοῖς λόγοις.
ἂν δ' ἐκκρεμὴς ὁ νοῦς ἐστι καὶ μὴ λαβὼν τὸ πέρας,
τότε οὐχὶ περίοδος, σχῆμα δὲ περιόδου.
ἀληθὴς περίοδος, οὐ σχήματός γε μόνως.
καὶ νῦν δὲ τοὐπιχείρημα συνάγει καὶ συγκλείει·

ἡ ἀληθὴς περίοδος αὕτη φησὶν ὑπάρχει,
ἡ πᾶν τὸ ἐπιχείρημα συγκλείουσα τῷ κώλῳ,
τουτέστιν ἥτις ἅπαντα τὸν νοῦν συμπερικλείει,
οὐ μὴν ἡ μόνον ἔχουσα τῆς περιόδου σχῆμα.
σχῆμα δὲ πρώην ἔφημεν λέγει τῆς περιόδου
τὸ περιοδικώτερον ὑπερβατῶς πῶς λέγειν,
ἂν ἐκκρεμὴς ὁ νοῦς ἐστὶ, καὶ μὴ λαβὼν τὸ πέρας.

Ἐνθύμημα τὴν ἀληθῆ περίοδον καλοῦσιν.
ὥσπερ γὰρ τὸ ἐνθύμημα συνάγει καὶ συγκλείει
αὐτὸ τὸ ἐπιχείρημα καί γε τὴν ἐργασίαν,
οὕτω καὶ ἡ ἀληθὴς περίοδος ἐγκλείει
νοῦν τοῦ ἐπιχειρήματος, ὅνπερ αὐτὸς ἐκφέρει,
ὅτι καὶ τὸ ἐνθύμημα τέως ἐπὶ τὸ πλεῖστον
ἐκφέροντες εἰώθαμεν ἐκφέρειν περιόδῳ.

Ὁ ταῦτα πράττων γάρ φησιν οἷς ἂν ἐγὼ ληφθείην.
ὁ νοῦς τῆς ὑποθέσεως τοιός δέ τις ὑπάρχει.
πρὸς Ἀθηναίους Φίλιππος εἰρήνην ἦγε λόγοις,
ἔργῳ διεπολέμει δὲ, ὅθεν ὁ Δημοσθένης
διανιστᾷ πρὸς πόλεμον τοὺς Ἀττικοὺς Φιλίππου.

Ὧν οὖν ἐκεῖνος χάριν μὲν ὀφείλει καὶ τὰ ἄλλα.
ἐξ Ὀλυνθιακῶν ἐστι τοῦτο δευτέρου λόγου.
Ὁ Δημοσθένης λέγει δὲ τοῦτο πρὸς Ἀθηναίους,
παραθαρρύνων ἐξελθεῖν πρὸς πόλεμον Φιλίππῳ·
ἐν τῷ δεικνύειν ἀσθενῆ τὰ πράγματα Φιλίππῳ·
ἤδη γὰρ παρεδέξαντο πρεσβέας Ὀλυνθίων,
καὶ τούτοις ἐψηφίσατο βοήθειαν ἐκπέμπειν·
τὴν δ' ἔξοδον ἐβράδυνον Φίλιππον ὀῤῥωδοῦντες.

Εἶθ' ὃν ἡ τύχη τε φησὶν ὁμοῦ τῷ δαίμονι.
ἐκ τοῦ περὶ Συμμοριῶν οὗτος ἐστὶν ὁ λόγος·
ἡ δὲ ὑπόθεσις αὐτοῦ τοιάδε τις ὑπάρχει.

φήμη διεθρυλλήθη τις Περσῶν τὸν βασιλέα
μέλλειν παρασκευάζεσθαι στρατεύειν καθ' Ἑλλάδος.
Ὁ Δημοσθένης γράφει δὲ τοῦτο πρὸς Ἀθηναίους,
ποιῶν θαρσεῖν πρὸς πόλεμον δεινῶς ὀῤῥωδηκότας.

Καταφορὰ ἡ τάξις μὲν ἡ ἐν κατηγορίᾳ
οἷον, ὦ ἄνδρες ὁ φρονῶν τὰ πολεμίων οὗτος,
οὗτος ὁ πᾶν τὸ καθ' ἡμῶν καὶ μελετῶν καὶ βλέπων,
οὗτος ὁ τὰ ἀπόῤῥητα τῆς πόλεως ἐκφαίνων,
οὗτος ὑπάρχει τὸ καὶ τὸ, ἵνα μακρὸν μὴ γράψω,
εἶτα, ᾧ τι ἂν γε εἰπών τις σε ὀρθῶς προσείποι.
ἐκ τοῦ περὶ Στεφάνου μὲν ὑπάρχει Δημοσθένους.
ταῦτα πρὸς τὸν Αἰσχίνην δέ φησιν ὁ Δημοσθένης·
ἀνθ' ὧν αὐτὸν ὑπαίτιον ὑπέφηνεν Αἰσχίνης,
πρῶτον τῆς γεγονυίας μὲν πρὸς Φίλιππον εἰρήνης,
ὕστερον πάλιν ἔπειτα τῆς ὡς πρὸς τοῦτον ἔχθρας.

Εἶθ' ἅπερ ἂν ὁ Φίλιππος αὔξαιτο τοῖς θεοῖς·
αὕτη μὲν ἡ περίοδος σύν γε τῇ μετὰ ταύτην
ἀπὸ πρώτου πέφυκε τῶν Ὀλυνθίων λόγου·
τὸ εἶτα οὐκ αἰσχύνεσθε τοῖς Ἀθηναίοις λέγει,
διανιστῶν πρὸς πόλεμον αὐτοὺς τὸν τοῦ Φιλίππου·
φησὶν γὰρ, ἕως ἔχουσι κακῶς τὰ τοῦ Φιλίππου,
οἱ σύμμαχοι δ' ἀπόστασιν ἐκείνου μελετῶσιν,
δέον Φιλίππῳ πολεμεῖν, ὦ ἄνδρες Ἀθηναῖοι·
εἶτα οὐκ αἰσχύνεσθε τὸ ἑξῆς οὕτως.

Τοῦ νῦν δὲ ἃ μὲν πλεύσασιν ὁ νοῦς ἐστι τοιόσδε.
τοῖς Ἀττικοῖς μὲν γέγονε πρὸς Φίλιππον εἰρήνη.
μελλόντων πρέσβεις πέμπειν δὲ περὶ εἰρήνης ὁρκῶν,
ὁ Δημοσθένης τάχιστα δι' Ἑλλησπόντου πλέειν
ἐκέλευε πρὶν Φίλιππος χώσας αὐτοῦ[p] κατάσχοι.

[p] Cod. χ^{ωυ} αὐ^τ.

Αἰσχίνης τούτους δὲ μὴ πλεῖν, ἀλλὰ βαδίσαι λέγων,
ἔπεισεν ὑστερῆσαι μὲν τοὺς φύλακας τοῦ χρόνου·
τὸν Φίλιππον πορθῆναι δὲ πολλοὺς τῶν Ἀθηναίων.
ὑποστραφεὶς Αἰσχίνης δὲ λοιπὸν τοῖς Ἀθηναίοις
ἔπεισεν, ὅτι Φίλιππος τίσεται μὲν Θηβαίους
ἀνθ' ὧν ἡμέτεροι ἐχθροί, σώσει δὲ τοὺς Φώκεας.
ἠπατημένοι τολοιπὸν τούτοις οἱ Ἀθηναῖοι
τὸν Φίλιππον μὲν εἴασαν εἴσω Πυλῶν γενέσθαι,
τοῖς δὲ Φωκεῦσιν οὐδαμοῦ βοηθείαν παρέσχον.
ὅθεν περ ἄρδην ἀπώλοντο Φωκεῖς ὑπὸ Φιλίππου.

Τίς ἑρμηνείας ὁ ῥυθμὸς καὶ φράσεως ἡ πλάσις
τῆς περιόδου πέφυκεν, ἀκούων μάνθανέ μοι,
συγκεῖσθαι ἐκ προτάσεως καὶ ἀποδόσεώς γε,
ἢ ἐκ δύο προτάσεων καὶ ἀποδόσεών γε,
ἢ ἐκ δύο προτάσεων μιᾷ σὺν ἀποδόσει,
οὐ μὴν καὶ τουναντίον δὲ, ἀδύνατον γὰρ τοῦτο.

Ἰστέον δ' ὑποσκελεῖς καὶ ἰσοπλεύρους δέον
τὰς περιόδους γίνεσθαι, ἢ καὶ συντομωτέρας
κατά γε τὴν ἀπόδοσιν, οὐ μὴν καὶ τοὐναντίον.
Δοξαπατρῆς δὲ ἀπορεῖ καλλίστως καὶ γενναίως,
πῶς ἀτονίαν ῥήτορος ὁ τεχνικὸς νῦν λέγει
τὸ μείζονος προτάσεως ἀπόδοσιν ὑπάρχειν,
μειζόνων ἀποδόσεων μυρίας φέρων χρήσεις.
καλῶς μὲν διηπόρησε Δοξαπατρῆς ἐνθάδε·
οὐκ εἶπε γὰρ, οὐ γίνεται συνόλως τὸ τοιοῦτον,
ἀλλ' ὅταν γίνεται, φησὶν, δι' ἀτονίας δρᾶται.
ἄλλως τε καὶ ἀπόδοσιν μείζω μὴ εἶναι λέγει,
οὐχ ὅτι πλείους συλλαβὰς οὐ δύναται κεκτῆσθαι,
ἀλλ' ὅτι πρὶν ἐλέξαμεν ἐκεῖνο τοῦτο λέγει·
τῆς περιόδου ὁ ῥυθμὸς καὶ φράσεως ἡ τάξις
σύγκειται ἐκ προτάσεως καὶ ἀποδόσεως δὲ,
ἢ ἐκ δύο προτάσεων μιᾷ ἐπ' ἀποδόσει·

οὐ μὴν καὶ τοὐναντίον δὲ, ἀδύνατον γὰρ τοῦτο,
τὸ ἀποδόσεις ἀγαγεῖν δύο μιᾷ προτάσει.

Πρὶν ἡ τοῦ Ἀνδροτίωνος ὑπόθεσις ἐγράφη,
ὡς θεὶς ἣν οὗτος ψήφισμα πλὴν τῶν ἀποβουλεύτων·
δι' οὗ τὸν δῆμον τὴν βουλὴν ἔπεισε στεφανῶσαι,
μὴ πρότερον ποιήσασαν τριήρεις, ὡς ἦν νόμος.
οὗ εἵνεκα κρινόμενος ἀπελογεῖτο λέγων,
πολλοὺς ἔσχεν ἡ βουλὴ περὶ τοῦ δήμου δῶρον·
καὶ νῦν διὰ ψηφίσματος ἐκ τῶν ἀποβουλεύτων
ὁμοίως μὴ ποιῆσαι μὴ δὲ τριήρεις τότε.
ὁ Δημοσθένης λύων δὲ ὃ Ἀνδροτίων λέγει,
ὥσπερ εἰ προήλω τις, φησὶν, καὶ τὰ τοιαῦτα.

Ὁ μᾶλλον αὐτοσχέδιον γινόμενον ἐκπλήττει.
ἡ μεταποίησις φησὶν ἐν πάσαις περιόδοις,
ἐν τετρακώλοις, μᾶλλον δὲ ταῖς ἀντιστρεφομέναις,
καὶ ἔτι ταῖς σχιάζεσθαι[q] δεδυνημέναις πλέον,
ἐκπλήττει τοὺς ἀκροατὰς ὑπαλλαγῇ σχημάτων.

Τὸ παρὰ τὴν ἀξίαν εὖ πράττειν ἐν τῷ βίῳ
τοῖς ἀνοήτοις γίνεται τρόπῳ κακοφροσύνης.
ἐξ Ὀλυνθιακῶν δὲ τοῦτο τοῦ πρώτου λόγου·
ταῦτα φησὶν ὁ ῥήτωρ δὲ προτρέπων Ἀθηναίους,
διανιστῶν τε πρὸς αὐτὸν τὸν πόλεμον Φιλίππου.
ὧν οὖν ἐκεῖνο χάριν μὲν ὀφείλει καὶ τὰ ἄλλα,
ἐκ τοῦ δευτέρου πέφυκε τῶν Ὀλυνθίων λόγου·
ἐν μὲν γὰρ τῷ γράψαι μηδένα εἶναι ἀτελῆ,
τοὺς ἔχοντας ἀφείλετο τὴν ἀτέλειαν.

Περὶ Πνεύματος.

Μετά τε τὸ ἀντίθετον σχῆμα καὶ περιόδους
διδάσκει περὶ πνεύματος ὁ τεχνικὸς εἰκότως.

[q] Sic Cod.

καὶ μετὰ τοῦτο βούλεται περὶ ἀκμῆς διδάξαι·
ἐπείπερ τὰ πολιτικὰ περὶ ἐπιχειρημάτων
ἐκφέρομεν ἐν σχήμασι στρογγύλοις ἐσφιγμένοις,
τουτέστι κατ' ἀντίθετον καὶ κατὰ περιόδους·
ἀλλά γε δὴ πνευματικοῖς μακροῖς τε καὶ ἀκμαίοις.
πρῶτον δὲ τὰ πολιτικὰ τίθεσθαι πάντως οἶδας·
τὰ δὲ τῆς πανηγύρεως τηρεῖσθαι τελευτᾷ,
ὡς ἂν ἀκμάζων καὶ σφριγῶν ὁ λόγος καθηδύνῃ·
ὅθεν καὶ οὗτος ἀκριβῶς θέλων τηρεῖν τὴν τάξιν,
προτάξας τὰ πολιτικὰ σχήματα τὰ ῥηθέντα,
νῦν τὰ τῆς πανηγύρεως διδάσκει μετὰ ταῦτα.

Ὁ Ἑρμογένης ἐπῳδὸν φησὶν οὐχὶ γινώσκω·
τρεῖς πόδας δισυλλάβους γὰρ οἴεται τοῦτον εἶναι,
καὶ οὕτω νόει καὶ αὐτὸς ἕνεκα σαφηνείας·
Δοξαπατρῇ παρέα δὲ τὸν ἐπῳδὸν διδάσκειν·
οὐδὲ γὰρ οὐδ' αὐτὸς οἶδε τῶν ἐπῳδῶν τὴν φύσιν.
κἄνπερ αὐτὸς διδάξω σε μάτην μακρηγορήσω·
ἀχρήσιμον γὰρ νῦν ἐστὶ πρὸς ὅ φησιν ὁ ῥήτωρ·
εἴπερ δὲ χρήζεις μάνθανε συνηπειγμένῳ λόγῳ.
ὁ ἐπῳδὸς καὶ ἡ ᾠδὴ καὶ ἀντῳδὸς ὁμοίως
ἐν κωλικοῖς ποιήμασι καὶ κωμικοῖς ὑπῆρχον,
εὐχὴ καὶ ὕμνος εἰς θεοὺς ἀλλ' ὅσων ἄλλων μέτρων·
ἐν τῷδε μὲν τῷ σχήματι τυχὸν ἐκ τετραμέτρων
ἡρωϊκῶν δ' ἑτέρωθεν καὶ ἀλλαχόθι ἄλλων,
οὕτω συντόμως ἔφην σοι τῶν ἐπῳδῶν τὴν φύσιν.
σὺ δέ γε τοῦ ῥήτορος κἂν ἐστὶν ἐψευσμένον,
νῦν πρόκρινε καὶ γίνωσκε τὴν ἑξασυλλαβίαν·
τρίμετρον τὸ ἰαμβικὸν κατὰ διπλοποδίαν·
μόνα τοῖς τρία μέτρα γὰρ αὐτὸ τὸ τοῦ ἰάμβου,
καὶ τὸ τοῦ ἀναπαίστου δὲ συνάμα καὶ σπονδείου,
μετροῦνται καὶ μονοποδίᾳ καὶ κατὰ διποδίαν.
τὰ πέντε τετρασύλλαβα καὶ τὸ ἡρῷον πάλιν,
ἁπλοῖς ποσὶ μεμέτρηνται, οὐ κατὰ διποδίαν.

Τὸ δὲ περινενόηται τοιόνδε τὶ σημαίνει·
ῥητὸν ποσὸν δὲ συλλαβῶν τοῦ κώλου παραδοῦναι
περινόουν τὲ καὶ δύσκολον, ἀόριστον ἐστὶ γάρ.
ποτὲ πλειόνων συλλαβῶν, ποτὲ δ' αὖ ἐλαττόνων.

Τὰ κῶλα τὰ σχοινοτενῆ χρήσιμα προοιμίοις.
τοῖς ποίοις προιμίοις δὲ χρήσιμα ταῦτα λέγει,
τοῦτο σαφὲς καὶ πρόδηλον τοῖς δικανικωτάτοις.
ταῦτα γὰρ ἐξαγγέλλονται σχοινοτενέσι κώλοις·
τὰ δ' ἠθικὰ, παθητικὰ, χαρμόσυνα βραχέσι.

Εἶτα καὶ κόμμα· Ὡρεὸν φέρει καταλαμβάνων·
τὸ ὑπὲρ ἑπτασύλλαβον ἄνω πρὶν λέγων κῶλον,
πῶς τὸ ἐννεασύλλαβον κόμμα κατονομάζει;
κῶλα κομματικὰ φησὶν ὁ ῥήτωρ τὰ τοιαῦτα,
ἕνεκα * * * γὰρ νῦν παρεικὼς τὰ κῶλα,
κόμματα ταῦτα εἴρηκεν, ἤτοι κομματικὰ,
ὥσπερ τὸ ἀντιληπτικὸν ἀντίληψιν, καὶ τ' ἄλλα.

Εἴδη φησὶν ὁ τεχνικὸς πνευμάτων εἰσὶ δύο.
ἓν μὲν τὸ μίαν ἔννοιας πλείστας δηλοῦν τοῖς κώλοις,
ἄλλο τὸ ἀπαρτίζον νοῦν πράγματος κατὰ κῶλον.
οὐκ ἔχω γὰρ σαφέστερον τοῦ τεχνικοῦ τι λέξαι·
ὅθεν ὥσπερ οἱ Λάκωνες ταννῦν βραχυλογοῦμεν,
ἐγκαίρως περιτρέχοντες, ἐγκλίνοντες ὡς δέον
τοὺς ψευδεστικοὺς πλατυσμοὺς τῆς ἀκαιρολογίας.

Νῦν ἀποφαντικόν φησιν ὁ τεχνογράφος σχῆμα,
τὸ μετὰ πεποιθήσεως καὶ μὴ δεδισταγμένον.
οὐχὶ μεμπτὸν ἐξηγητὰς σχήμασιν ἐσφάλθαι,
ὁ τεχνικὸς παραίτιος ταύτης ἐστὶ τῆς πλάνης.
φροντίζων τοῦ συντόμου γὰρ καὶ μόνης σαφηνείας,
σχῆμα πολλοῖς ὀνόμασι δυνάμενον καλεῖσθαι
τίθησιν εἰς παράδειγμα, μίαν καλῶν τὴν κλῆσιν·

ὥσπερ τό τις ἐρώτησιν μόνην καλῶν νῦν σχῆμα·
καίτοι καὶ διαπόρησις ἄλλοσε τοῦτο κεῖται.
οἷον, τίς νοῦς ἀνθρώπινος ταῦτα κατανόησοι;
καὶ τίς κλῆσις ἁρμόδια τῷ δεῖνι δρῶντι τάδε;
καὶ σχῆμα μερικώτατον, οἷον, ἀνὴρ σοφός τις
καὶ σχῆμα ποικιλότητος, τὸ τίς ἐστι σημαῖνον·
ἐπισεμνολογήματι ὁμοῦ καὶ εὐτελείᾳ·
οἷον, γινώσκεις τίς ἐγὼ καὶ τίνων γεννητόρων,
τίς δὲ καὶ τίνων σύ, καὶ πῶς ἐμοὶ νῦν ἀντιφέρῃ;
σημειῶσον δὲ καὶ θαυμασμὸν τό τις σὺν τοῖς ῥηθεῖσιν·
οἷον, τίς νοῦς τῷ γέροντι ὑπῆρχεν Ἀρχιμήδῃ,
δρῶντι τοῖς μηχανήμασι τοσαῦτα καὶ τοιαῦτα;
καὶ τίς Πολυδάμαντος ῥωμὴ καὶ Ἡρακλέους;
ὧν ὁ μὲν πίπτον σπηλαῖον χερσὶν αὐτοῦ στηρίζει,
ὁ δ' Ἡρακλῆς τὸν λεόντα δίκην ἀρνὸς ἀπῆγξε·
τοιαῦτα μὲν τοῦ τίς εἰσὶ σχήματος σημασίαι.
μόνην δὲ κατ' ἐρώτησιν οὗτος καλέσας τοῦτο,
καθάπερ δὴ καὶ σχήμασι τοῦτο καλεῖ ἑτέροις,
ἐξηγηταῖς παραίτιος γίνεται πλανημάτων·
οὗτοι γὰρ τοῦτο ἔκτοτε καλοῦντες ὡς ἐκεῖνο·
οἷα νομίζοντες αὐτὸ μίαν καλεῖσθαι κλῆσιν,
τὰς δ' ἄλλας παρατρέχοντες τὰς ἐν προσφόροις τόποις,
ἀπρόσφορόν τι λύσαντες σφάλλονται καὶ πλανῶνται·
ὥσπερ κἀγὼ τοιοῦτον τί πέπονθα τῇ ἐνστάσει,
χρήζων ὀρθοῦν Δοξαπατρῆν τῇ ἔμπροσθεν σελίδι.

Ἐν τῷ οὐχ οὗτος Εὔβοιαν ἐστὶν ὁ σφετερίζων,
οὐ μόνον νῦν ἐλεγκτικόν, ὅπερ ὁ ῥήτωρ λέγει,
ἀλλὰ καὶ κατ' ἐρώτησιν καὶ δεῖξιν ἐστὶ σχῆμα.
καὶ οὐδ' ἐλεγκτικόν ἐστιν ἄνπερ καλῶς σκοπήσεις.
τὸ ἐπὶ τρίτου ἐρωτῆσαν ἐλεγκτικὸν οὐκ ἔστι,
τὸ πεποιθότως λέγειν δὲ ἐλεγκτικὸν ὑπάρχει·
οἷον, ἐκεῖνος ἢ αὐτὸς Εὔβοιαν σφετερίζει.
ἀλλ' ὅμως ὂν ἐλεγκτικὸν καὶ ἔνστασις ὑπάρχει,

προσώποις τοῖς δευτέροις κἂν πεποιθότως λέγῃς,
κἂν ἐρωτῆσαν ἐλεγκτικὸν τότε τὸ σχῆμα κάλει.
οἷον, σὺ τοῦτον ἔκτεινες· οὐ σὺ ἀνεῖλες τοῦτον;
καὶ ἐν προσώποις πρώτοις δὲ ὁμοίως τοῖς δευτέροις
φαίης ἐλέγχων γάρ ποτε τινῶν ἀγνωμοσίαν·
ἐγὼ τὸ δέ τι ἔπραξα, οὐ τόδε εἰργασάμην.
Σχήματος γοῦν ἐλεγκτικοῦ καὶ τῆς ἐνστάσεώς δε,
διαφορὰν γινώσκων μοι ταύτην οὐχ ἁμαρτάνῃς·
τρίτοις ὁμοῦ προσώποις δὲ δευτέροις καὶ τῷ πρώτῳ,
τὰ μετὰ πεποιθήσεως στιγμῆς τε καὶ τελείας,
τὰ σὺν ἀρνήσει δεικτικὰ μετὰ διαστολῆς δὲ
ἐλεγκτικὰ καλεῖν, ὡς τὸ, οὐχ οὗτος ἐστὶν ὅδε;
οὐ σὺ τάδε πεποίηκας, οὐχὶ ἐγὼ δὲ τόδε;
τὰς ἄνευ ἀρνήσεως δείξαις καὶ ἐρωτήσεις,
τὰς οὔσας σὺν διαστολαῖς κάλει μοι ἐρωτήσεις·
οἷον, ἐκεῖνος ἢ ἐγὼ σφετεριστὴς Εὐβοίας.
τὰ δὲ μετὰ ἀρνήσεως μετὰ στιγμῆς τελείας
καὶ μετὰ πεποιθήσεως λεγόμενα καὶ τόλμης·
οἷον, ἐκεῖνος ἢ ἐγὼ οὐδέν τι εἰργασάμην,
ἔνστασιν μόνον κάλει μοι, ἐλεγκτικὸν μηκέτι·
τὰς δὲ μετὰ ἀρνήσεως δείξεις καὶ ἐρωτήσεις,
τὰς οὔσας σὺν διαστολαῖς κάλει μοι ἐρωτήσεις·
καὶ σχῆμα δὲ ἐλεγκτικὸν ὁμοῦ σὺν ἐρωτήσει·
οἷον, ἐκεῖνος ἢ ἐγὼ σφετεριστὴς Εὐβοίας.
ἐλέγχων γὰρ τὸν λέγοντα ψευδίστατον δεικνύεις·
σχήματος τοῦ κατ' ἔνστασιν καὶ τοῦ ἐλεγκτικοῦ δὲ
διαφορὰν Δοξαπατρῆς τήνδε φησὶν ὑπάρχειν·
τὸ σχῆμα τὸ ἐλεγκτικὸν ἄρνησιν κεκτημένον
φέρει καὶ μίαν δεικτικὴν ὁμοῦ ἀντωνυμίαν·
ὡς, οὐχ οὗτος Εὔβοιαν ἐστὶν ὁ σφετερίζων;
σχῆμα δὲ τὸ κατ' ἔνστασιν ἄρνησιν φέρει μόνην,
οὐ μέντοι καὶ δεικτικὴν ὁμοῦ ἀντωνυμίαν.
τοιούτοις μὲν Δοξαπατρῆς μακρηγορῶν, ψευστάζων
τὸ γὰρ, οὐχ οὗτος Εὔβοιαν ἐστὶν ὁ σφετερίζων,

ἄρνησίν τε καὶ δεικτικὴν ἔχον ἀντωνυμίαν,
ὅμως ὑπάρχει ἔνστασις, ἀλλ' οὐκ ἐλεγκτική δε.
ταῦτα φησὶν Δοξαπατρῆς· εἴδ' οὐχ ὑποχαλκίζει,
ἣν παραθέμην βάσανον σοὶ προς ἰῶ δεικνύει·
ἐγὼ δὲ τῇ διαστολῇ διαχωρίζω ταῦτα,
κ'ἂν θυμανεῖ Δοξαπατρῆς, κ'ἄνπερ ὁ τεχνογράφος,
κἂν κεῖται γὰρ διαστολὴ ἐλεγκτικὸν δεικνύει,
κ'ἂν ἄρνησιν οὐ κέκτηται, κ'ἂν κέκτηται μυρίας,
κ'ἄνπερ οὐκ ἔχῃ δεικτικὸν, κ'ἂν κέκτηται μυρία.
ἂν δ' ἠθικῶς οὐ γένηται, ἤτοι ἐνδιαστόλως,
μετὰ δὲ πεποιθήσεως στιγμῇ τελειοτάτῃ·
ἐλεγκτικὸν μὴ κάλει μοι, ἔνστασιν δὲ τὸ σχῆμα.
ἐνίσταταί τις δράσαι γὰρ, εἴτε μὴ δράσαι λέγων·
οἷον, οὐχ οὗτος Εὔβοιαν ἐστὶν ὁ σφετερίζων;
οὗτος αὐτὸς τὴν Εὔβοιαν ἐστὶν ὁ σφετερίζων.

Ἐν τοῖς Φιλιππικοῖς φησὶν ὁ Δημοσθένης ταῦτα·
τοῖς Ἀττικοῖς στρατεύεσθαι μετὰ συμμάχων λέγων,
ἀφ' οὗ χωρὶς γὰρ ξενικῶν μάχεσθαι στρατευμάτων
χωροῦσι τὰ τῆς πόλεως πρὸς τὸ κατόπιν ἔργα·
τῷ τῆς γραφῆς δὲ κειμένῳ οὕτω φησὶν ἐκεῖνο·
πρὸ τούτων δέ γε δύναμιν τινὰ, ὦ Ἀθηναῖοι,
φημὶ δεῖ προχειρίσασθαι ἢ συνεχῶς ἐκεῖνο,
καὶ πολεμῆσαι δηλαδὴ Φίλιππον καὶ κακῶσαι.
μή μοι μυρίους πρόφερε καὶ δισμυρίους λόγους.

Ὁπότε κατεστρέφετο Φίλιππος, περιεὼν γὰρ
Ἰλλυρίους καὶ Τριβαλλοὺς καί τινας τῶν Ἑλλήνων·
ἐκ τοῦ μὲν περὶ Στεφάνου ταῦτα τοῦ Δημοσθένους.

Τὰ προδότων ὀνόματα οὓς Δημοσθένης λέγει,
Λασθένης μὲν τὴν Ὄλυνθον προδέδωκε Φιλίππῳ,
τὰς Θήβας δὲ Τιμόλαος ἐκεῖνος ὁ Θηβαῖος.
τὸ Λαρισσαῖον ζεῦγος δὲ Εὔδημός τε καὶ Σῖμος,

τὴν πᾶσαν προδεδώκασιν ἐκείνῳ Θετταλίαν.
Ἀρίσταρχος προδέδωκεν αὐτῷ τὴν Σικυῶνα·
τὰ Μέγαρα Παράλαος ὁ Μεγαρεὺς ἐκεῖνος.

Καὶ Ὅμηρος πλήρωσας δὲ τὸ κατὰ κῶλον πνεῦμα
ἐν πράγμασιν ἐπὶ παραβολὴν ἦλθε φησὶν αὐτίκα.
ψεύσασθαι νῦν τὸν τεχνικὸν φαμὲν περὶ Ὁμήρου·
πρῶτον γὰρ τὴν παραβολὴν Ὅμηρος εἰρήκει·
δεύτερον δ' ἐν τοῖς πράγμασιν τὸ κατὰ κῶλον πνεῦμα·
οὕτω γὰρ κεῖται ἐν τῇ Πῖ Ὁμήρου ῥαψωδίᾳ.
" ὡς εἰπὼν ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου·
" μᾶλλον δὲ στίχες ἄρθεν, ἐπεὶ βασιλῆος ἄκουσαν·
" ὡς δ' ὅτε τοῖχον ἀνὴρ ἀράρῃ πυκινοῖσι λίθοισι,
" δώματος ὑψηλοῖο, βίαν ἀνέμων ἀλεείνων,
" ὡς ἄραρον κόρυθές τε καὶ ἀσπίδες ὀμφαλόεσσαι·
" ἀσπὶς δ' ἄρ' ἀσπίδ' ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ' ἀνήρ·
" ψαῦον δ' ἱππόκομοι κόρυθες λαμπροῖσι φάλοισι,
" νευόντων ὡς πυκνοὶ ἐφεσταότες ἀλλήλοισιν."
καὶ οὕτω ψεύσασθαι φαμὲν τὸν τεχνικὸν ἐνταῦθα.
ἐγὼ φημὶ δὲ ψεύσασθαι, καὶ οὐχὶ ψεύσασθαι δέ·
φημὶ δὲ τοῦτον ψεύσασθαι τῇ θέσει τῇ τῶν στίχων·
τῇ δὲ συντάξει ψεύσασθαι τοῦτον οὐδόλως λέγω.
πρὸς γὰρ τὴν σύνταξιν ὁρῶν ὁ τεχνικὸς εἰρήκει,
καὶ Ὅμηρος πλήρωσας δὲ τὸ κατὰ κῶλον πνεῦμα,
ἐν πράγμασιν ἐπὶ παραβολὴν ἦλθε φησὶν αὐτίκα·
οὕτω δὲ γὰρ ἡ σύνταξις ἐπῶν ἔχει τῶν τῇδε·
μετὰ τὸν ἔχοντα αὐτὸ τὸ, ὡς εἰπὼν τὸν στίχον,
καὶ βασιλῆος ἄκουσαν συντάσσεται τὸ πνεῦμα·
ὥσπερ φησὶν ὁ τεχνικὸς αὐτὰ τὰ ἔπη λέγων·
εἶτα καὶ ἡ παραβολὴ τὴν ἣν αὐτὸς προφέρει.
ὅθεν αὐτὸν μὴ ψεύδεσθαι καὶ ψεύδεσθαι δὲ λέγω.

Περὶ τάσεως.

Καταφορὰ ἐπιφορᾶς ἐν τούτῳ διαλλάσσει,

τῷ ὁμολογουμένους δὲ ἐγκλήμασι καὶ δήλοις·
καὶ πρὸ τῆς ἀποδείξεως καταφορὰ ἐμπίπτει·
ὥσπερ ἐν τόποις τοῖς κοινοῖς ἑκάστοτε ποιοῦμεν·
καὶ ἄλλην δὲ διαφορὰν τούτοιν ἀμφοῖν μοι μάθε·
λόγοι σφοδροὶ ἢ καὶ ταχεῖς ὑβριστικοὶ καὶ ἄμφω.
ἀλλὰ πρὸς ἀπόδοσιν τῇ μὲν ἡ λοιδορία,
ὡς ἔστιν τὸ "οἰνοβαρὲς ὄμμα κυνός τ' ἔχων."
ἐπιφορὰ δὲ λοιδορεῖ μετὰ τὰς ἀποδείξεις,
ὡς τὸν Θερσίτην Ὀδυσσεὺς τῇ βῆτα ῥαψῳδίᾳ.

Περὶ Διλημμάτου.

Τὸ οἷον πότερον παρῆς καὶ συνευφραίνου τούτοις,
ἐν τῷ περὶ Στεφάνου μὲν φησὶν ὁ Δημοσθένης·
ἀνθ' ὧνπερ αἰτιώμενος ἦν τοῦτον ὁ Αἰσχίνης,
ὅτι Θηβαίων πόλεμον Φιλίππῳ συμβαλόντων
τοὺς Ἀθηναίους ἔπεισε Θηβαίοις βοηθῆσαι·
οἳ καὶ δεινῶς ἡττήθησαν ὑπὸ Φιλίππου τότε.

Καλῆς ἐγὼ καὶ τῆς αἰσχρᾶς μέσον τὴν μέσην λέγω,
καθάπερ δὴ τὸ χλιαρὸν μέσον ψυχροῦ θερμοῦ τε,
μαινοίμην γὰρ εἰ ἄμεσα ταῦτα κατονομάσω.

Ἑκάστη ἀποδόσεων δὲ δέηται οἰκείας,
ὡς ἦν τὸ πότερον παρῆς καὶ συνευφραίνου τούτοις·
τοῦ γὰρ παρῆς ἀπόδοσις πῶς νῦν κατηγορεῖς δὲ,
τοῦ δ' οὐ παρῆς τὸ ἄξιος ὑπάρχει τιμωρίας.

Τοῦτο δὲ τὸ διλήμματον, ὅπερ σοι νῦν εἰρήκειν,
ἑκάστην πρὸς ἐρώτησιν ἀπόδοσιν κέκτησθαι,
σχῆμα σοφιστικώτατον ἐστὶ τοῦ Δημοσθένους·
τὸ παραλογιζόμενον σοφιστικὸν δὲ λέγει.

Ὅπερ καὶ παρ' ἡμῶν αὐτῶν τῇ διαιρούσῃ τέχνῃ,
τουτέστι τῇ τῶν στάσεων αὐτοῦ διδασκαλίᾳ·

τήνδε γὰρ τὴν ἀντίληψιν ἐμμελετῶν ἐκεῖσε,
οὗπερ μετὰ Χαιρωνείαν Φίλιππος ἐπεστάλκει·
αἵρεσιν δοὺς τοῖς Ἀττικοῖς ὃ θέλουσι λαμβάνειν·
ἢ τοὺς χιλίους τοὺς ἐχθροὺς, εἴτε τοὺς αἰχμαλώτους,
οὗ Δημοσθένης κρίνεται καὶ φεύγει δημοσίων·
χρᾶται τῷ παραγραφικῷ τῷ διλημμάτῳ λέγων·
τοῖς ὕστερον πραχθεῖσί με ἢ πρὶν λεχθεῖσι κρίνεις,
καὶ ἑκατέρου δίδωσιν ἐκεῖ τὰς ἀποδόσεις.

Παρήχομαι παρήχησιν οὐδὲν γὰρ δύσνουν ἔχει·
θήσω δέ σοι παρήχησιν ἐπῶν Ἐμπεδοκλέων,
ἐπὶ ἀρίστῳ ἰατρῷ Ἄκρωνι Ἄκρου τέκνῳ,
ἐπ' ἄκρῳ τῆς Ἀκράγαντος τῷ λόφῳ τεθειμένῳ.
"Ἄκρον ἰατρὸν Ἄκρωνα Ἀκραγαντῖνον πατρὸς Ἄκρου
" κρύπτει κρημνὸς ἄκρος πατρίδος ἀκροτάτης."

Σχῆμα καὶ αὐτὸ ἑρμηνείας.

Τῆς ἑρμηνείας σχῆμα μὲν ἥτις ἐστὶν ἡ φράσις
καλῶς τανῦν ὁ τεχνικὸς εἶναι τὸν κύκλον λέγει·
τοῦτον χωρίζων, διαιρῶν σχημάτων τῆς ἐννοίας·
καὶ ἐννοιῶν καὶ λέξεων σχήματα γὰρ ὑπάρχει·
τῶν ἐννοιῶν μὲν σχήματα αἵ τε ἐπιτιμήσεις,
σὺν ταύταις ἐπιείκειαι, καὶ τὸ δεδισταγμένον,
τὸ ἀδίστακτον λέγει τε καὶ ἕτερα μυρία·
φράσεως δὲ καὶ λέξεως σχήματα πάλιν ἄλλα,
παρήχησις, καὶ πάρισον, κλιμακωτὸν, διπλώσεις,
ἐπιμοναὶ, καὶ κύκλος τε, καὶ αἱ ἀντιστροφαὶ δὲ,
ἀναστροφαὶ σὺν τούτοις τε, καὶ ἕτερα μυρία·
ὅθεν τανῦν ὁ τεχνικὸς οὕτω καλῶς εἰρήκει·
τὸ ἴδιον λόγου δὲ ἐμπεριέχον κάλλος,
δηλοῖ κάλλος διάφορον κεκτῆσθαι τῶν ἑτέρων
σχημάτων, ἅπερ φράσεως προείπομεν ὑπάρχειν.

Τὸ μὴ ἀλλάξαν σχῆμα δὲ μὴ χρόνον μὴ δὲ πτῶσιν,

τινὲς σχῆμα ὀνόματος ὑπέλαβον νῦν λέγειν·
οἷον, ἁπλοῦν, ἢ σύνθετον, ἢ τῶν παρασυνθέτων·
καὶ τοῦτο μὲν οὐχὶ κακῶς· δεκτέον γὰρ καὶ τοῦτο.
τινὲς σχημάτων δέ φησιν τῶν δεικτικῶν καὶ ἄλλων·
ἐκφέρεται πᾶν σχῆμα γὰρ ἐν σχήμασιν ἑτέροις.
οἷον, τὸν κύκλον δεικτικῷ τῷ σχήματι νῦν βλέπεις·
τὸ σὺ γὰρ οὗτος καὶ ἐγὼ τῶν δεικτικῶν ὑπάρχει·
ποιήσω καὶ κατ' ἄθροισιν καὶ μερισμόν σοι κύκλον·
οἱ δύο ἐλευσόμεθα, ἐγὼ καὶ σὺ οἱ δύο.
βλέπε καὶ κατὰ ἄρνησιν καὶ ἔνστασιν καὶ ἄρσιν.
οὔκουν, μὰ τὸν Ἀπόλλωνα, τόδε ὑπάρχειν, οὔκουν·
ἐλεγκτικόν τε βλέπε σοι καὶ κατὰ θέσιν κύκλον·
ἔνι, μὰ τὸν Ἀπόλλωνα, τοῦτο τὸ πρᾶγμα, ἔνι·
καὶ ἄλλοις δὲ κυκλεύσειας σχήμασιν, εἴπερ θέλεις.
ὁ τεχνικὸς δ' ἠπάτησεν, οὐκ οἶδα πῶς, τοὺς ἄνδρας.
σχῆμα γὰρ μὴ ἐκφέρεσθαι σχήμασιν ἄλλοις λέγων·
ἐγὼ δέ σοι καὶ πρότερον ἔδειξα τοῦτο ψεῦδος·
σχῆμα πολλοῖς τοῖς σχήμασι δείξας σοι προηγμένον·
καὶ νῦν τὸν κύκλον, ὡς ὁρᾷς, καὶ τί μακρηγοροῦμεν;
τὴν ἄθροισιν δασύνοντες κατ' ἄθροισιν φαμὲν δὲ,
ὡς τὸν Λευκίππην γράφομεν καὶ τὸν Ἀπηλιώτην,
ὡς Αἰολεῖς καὶ Ἴωνες ζήλῳ τῆς εὐφωνίας,
τὸ δυσκολαλλεπάλληλον φεύγοντες τῶν δασέων·
τὸ ὄνομα, τὸ ῥῆμά τε, καὶ ἡ ἀντωνυμία,
καὶ τὰ λοιπὰ τὰ πέντε δὲ μέρη καλοῦνται λόγου,
πρὸς τὸν ἐκ δύο λέξεων συντεθειμένον λόγον,
ἢ καὶ βραχὺ μακρότερον· οἷον, ἐγὼ νῦν παίζω·
πρὸς λόγον δὲ πολυμερῆ γραφαῖς συντεθειμένον·
ὡς σοὶ γὰρ κλέπτης ὁ πατὴρ, μόρια δὲ καὶ οὐ μέρη·
ὅθεν ταννῦν ὁ τεχνικὸς τὸ σοὶ μόριον εἶπε·
κἄν περ φησὶν ἐξηγητὴς εἰπεῖν ἀδιαφόρως·
οἷα μὴ προσκοπήσαντες, ὥσπερ αὐτὸς νῦν ἔφη·
ὅθεν καὶ μακρήγορόν με ποιοῦσι τοῖς ἀχρείοις.

Λέγεται τοίνυν παρεῶ τὰ τοῦ Θεμιστοκλέους·
ὅπως εἰπὼν τοῖς Ἀττικοῖς τειχίζειν τὰς Ἀθήνας,
αὐτὸς εἰς Λακεδαίμονα πρέσβυς ἀπῆλθε δῆθεν·
τί γὰρ ὡς πρὸς τὴν μάθησιν λυσιτελεῖ τοῦ κύκλου.

Ὅρος ὁρίζων κυκλικῶς τις ὁ τοῦ κύκλου ὅρος.
περὶ σχημάτων λογικῶν ὁ τεχνογράφος λέγων,
καὶ περὶ κύκλου σχήματος νῦν λογικοῦ διδάσκει·
οὐ περὶ κύκλου λίθων εἴτε πωμάτων ἄλλων·
μακρηγορεῖν μὴ χρήζων δὲ ὁ τεχνικὸς ἐνθάδε,
ὡς γνώριμον παρέλειψε τῷ ὁρισμῷ προσθεῖναι·
κύκλος ὑπάρχει λογικὸς, ὥσπερ ἡμῖν ἀρέσκει.

Περὶ Ἐπιφωνημάτων.

Πρᾶγμα τὰ πεπραγμένα νῦν τῇ διηγήσει λέγει·
ἔξωθεν δὲ καὶ τολμηρὸν καὶ παρὰ φύσιν λόγον·
πλὴν οὖν καὶ τοῦ ἐκ φύσεως μέρος δοκοῦντος εἶναι,
αὐτὸ τὸ ἐπιφώνημα, ἤτοι αὐτὴν τὴν εἰρήνην,
ἣν ἐπιδιηγήσεσιν ἔξωθεν προσφωνοῦμεν·
εἴδη δὲ γ' δείκνυσι τῶν ἐπιφωνημάτων·
τὸ παρὰ φύσιν τολμηρῶς πλὴν συναδόντως λέγειν·
ὡς τῶν νεφῶν τὴν πύκνωσιν ἐξ οὐρανόθεν νύκτα·
καὶ τὸ συλληπτικώτατα πάντα παλλιλογῆσαι,
ἐνὶ κώλῳ τὰ πρότερον πλατέως εἰρημένα·
τὰς τροπικὰς τῶν λέξεων εἶδος φασὶ τὸ τρίτον,
ὥσπερ Τζέτζης βούλεται καὶ διαβεβαιοῦται·
οὐδὲν διαφερούσας τι τοῦ εἴδους τοῦ προτέρου.

Αἰθρηγενέτην τὸν Βορρᾶν ὁ ποιητὴς νῦν λέγει·
ὡς τῆς αἰθρίας αἴτιον, τουτέστι τῆς εὐδίας·
ἢ ὡς αὐτὸν τὸ αἶθρος τε γεννῶντα καὶ τὸ ψῦχος·
Βοῤῥᾶς κυλίνδει νύκτα, ὁ Νότος ἀνωθεῖ δὲ,
ὅτι Βοῤῥᾶς ἀφ' ὑψηλῶν τῶν τόπων ἐπιπνέων
ἐπὶ τὸ χθαμαλώτερον τὰ κύματα κυλίει·

ὁ Νότος δ' ἐκ τῶν χθαμαλῶν χωρίων ἀντιπνέων,
βίᾳ πολλῇ τὸ ῥόθιον πρὸς ὕψος ἀναφέρει.

Ἀκμὴ γὰρ ὡς ἐμάθομεν τοῖς ὄπισθεν ῥηθεῖσιν,
ἀλληλουχία τίς ἐστι πραγμάτων συνεχείας·
τὸ πνεῦμα δὲ περιοχὴ κώλων τινῶν ὑπάρχει,
πῶς δ' ἂν ἀκμὴ γενήσεται κώλῳ ἑνὶ καὶ μόνῳ.

Περὶ Τροπῆς.

Ἀψύχων ἐπὶ ἔμψυχα, οἷον Ἑλλήνων ἕρκος·
ἐμψύχων ἐπὶ ἄψυχα, ὡς τῶν νεφῶν ὁ δρόμος·
ἐμψύχων ἐπὶ ἔμψυχα, ποιμὴν λαῶν ὁ ἄναξ·
ἀψύχων ἐπὶ ἄψυχα, σπέρμα πυρός τις κρύπτων.

Οὐδὲν σεμνότερον ἐστὶν ἢ τοῦτο πᾶσι λόγοις,
σιγᾶν ὅπη χρὴ, καὶ λέγειν ἵν' ἀσφαλές·
κατὰ γὰρ τὸν Ἡσίοδον ἐκεῖνον τὸν Ἀσκραῖον·
" γλώσσης τοι θησαυρὸς ἐν ἀνθρώποισι μέγιστος·
" φειδωλῆς πλείστη δὲ χάρις κατὰ μέτρον ἰούσης."

Περὶ Κακοζήλου.

Δωδέκατον διδάσκει νῦν περὶ κακοζήλου.
πῶς γίνεται κακόζηλον, καὶ κατὰ πόσους τρόπους.
γίνεται δὲ κακόζηλον κατὰ τοὺς ἓξ τοὺς τρόπους·
ἐν οἷς ἀνασκευάζομεν ἃ χρὴ διηγημάτων·
ὡς ἐν προϋφηγήσει σοι ταῦτα πλατέως εἶπον.

Περὶ ἐσχηματισμένων Προβλημάτων.

Ὁ τεχνικὸς πρὶν τῶν ὀρθῶν διδάξας ζητημάτων,
κατασκευὰς καὶ σχήματα, καὶ συμπεράνας ταῦτα,
τῶν ἀσχηματισμένων νῦν διδάσκει προβλημάτων·
καὶ σὺν αὐτοῖς καὶ τῶν διπλῶν ὁμοίως ζητημάτων,
ἅπερ αὐτὸς συγκριτικὰ προβλήματα νῦν λέγει.
τίνες εἰσὶ κατασκευαὶ, καὶ σχήματα δὲ τίνα ;

ὥσπερ ἀμφιβολία· καὶ στάσις οὐκ ἔστιν ὅλη,
ἀλλά τι μέρος βράχιστον· ψυχρὸν γὰρ ἂν ἦν τότε,
μὴ συνιέντος μηδενὸς τοὺς λόγους τοὺς ἀδήλους·
οὕτως οὐδ' ὅλη στάσις τις τῶν ἐσχηματισμένων·
μέρη τινὰ δὲ γίνονται τοιαῦτα τῶν ἀγώνων.
σημειωτέον τοῦτο δὲ κάλλιστον ὂν εἰς γνῶσιν·
ὡς τότε μόνον λέγομεν ἐν σχήματι τὸν λόγον,
ὅταν τι δυσχερέστατον πρᾶγμα ζητεῖν δοκῶμεν,
τοῦ ὅπερ λέγουσιν ἡμᾶς ἄξιον πεπονθέναι·
οἷον τυχὸν, εἰ τοὺς Λύδους ὁ Κῦρος ἐκπορθήσας,
θῆλυν ἐκέλευσε στολὴν ἀτίμως ἐνδυθῆναι·
οἱ δὲ θανεῖν ἠξίωσαν σφᾶς ἑαυτοὺς τῷ τότε·
ἐν μόνοις τούτοις σχήμασι προάγομεν τὸν λόγον·
τοῖς ἄλλοις δὲ ζητήμασι πᾶσιν ἀσχηματίστως.
κἂν ἔλαττόν τι δυσχερὲς αἰτῶμεν οὐχὶ μεῖζον,
ἀντὶ θανάτου μάστιγας, εἴτε φυγὴν πατρίδος·
κἂν ἀγαθὸν κἂν φαῦλόν τι τισὶ τῶν ἐναντίων.

Περὶ τῆς Ποτιδαίας τε καί γε τῶν ἐν μῇ Αἰγίνῃ,
τριακοντούτεις[r] σπονδὰς συνέθεντο ἀλλήλοις
οἱ Ἀττικοὶ καὶ Λάκωνες, ἐμμένειν τοῖς οἰκείοις,
καὶ πόλεις ἔχειν ὑπ' αὐτὰς σπονδαῖς τὰς ἐγραφείσας,
αὐτονομότατας εἶναι καὶ πόλεων τὰς ἐγγράφους.
τοὺς Αἰγινήτας δὲ σπονδαῖς μὴ ὄντας γεγραμμένους
ὑφ' ἑαυτοὺς καὶ ἄκοντας εἶχον οἱ Ἀθηναῖοι.
Ποτίδαια δὲ ἄποικος ἦν πόλις Κορινθίων·
ἀπέστη δ' Ἀθηναίων μὲν πρὸς Λακεδαιμονίους.
οἱ Ἀθηναῖοι ταύτην δὲ λοιπὸν ἐπολιόρκουν·
ἐν τούτοις οὖν οἱ Λάκωνες πρέσβεις ἀπεσταλκότες,
τοῖς Ἀθηναίοις ἔλεγον μέλλειν τηρεῖν εἰρήνην,
εἴπερ τοὺς Αἰγινήτας μὲν κατὰ σπονδῶν συνθήκας
ἀφῆτε τὴν αὐτονόμαν ἔχειν ἐλευθερίαν·

τὰς

r Cod. τριακοντού.

καὶ εἰ πολιορκίας δὲ ἐκστῆτε Ποτιδαίας,
καὶ ψήφισμα κσθέ το κατὰ Μεγαρέων.
οἱ Ἀττικοὶ δ' ἐπείσθησαν ἐν οὐδενὶ ἐκείνοις·
ἀλλὰ καὶ τὴν Ποτίδαιαν ἔχοντες πολιορκίᾳ,
ἔδρασαν τοὺς οἰκητόρας, ὢ γνώμης ἀπανθρώπου,
ἀλλήλων ἀπογεύσαντες τροφὴν μὴ συγχωροῦντας.
ἡ περὶ Μεγαρέων δὲ ὑπόθεσις ἐγράφη,
καθ' ὧνπερ θείς τι ψήφισμα, μάχης πυρσὸν ἀνάψας,
πέφευγε δοῦναι Περικλῆς ἀπόλογον χρημάτων.

Κοινὰ τοῦ ἄλλου βίου γὰρ ὑπάρχει τοῖς ἀνθρώποις
ὀνόματα τὰ τοιαδὶ, τουτέστιν αἱ ἐμφάσεις·
ὑπερβατῶς δὲ σύναπτε τοῦτό μοι τὸ χωρίον,
ὀνόματα τὰ τοιαδὶ κοινὰ καὶ ἄλλου βίου,
δηλοῦντα τὸ ἀνεύθυνον καὶ τὸ σεσημασμένον·
δοκεῖ δὲ μᾶλλον ἴδιον ἐμφάσει τῇ κειμένῃ.

Περὶ τῶν συγκριτικῶν προβλημάτων.

Συγκριτικὰ προβλήματα ὁ τεχνικὸς νῦν λέγει,
ὅσα περ τυγχάνουσι διπλᾶ τῶν ζητημάτων·
στοχαστικὰ καὶ ὁρικὰ καὶ τῆς πραγματικῆς δέ·
συγκριτικὰ δὲ λέγεται, ὅτι κατὰ συγκρίσεις
εἰώθασι πῶς γίνεσθαι αἱ τούτων διαιρέσεις·
ἀντίθετον κεφάλαιον πίπτει γὰρ κεφαλαίῳ·
αὐταῖς τε ταῖς συγκρίσεσιν καὶ ταῖς συγκριτικαῖς δέ·
ἢ ὅτι καὶ συγκριτικῶς εἰσάγομεν τὸν λόγον.
συγκριτικὰ προβλήματα εἰ στοχασμοῖς μὲν πέσοι·
συγκριτικὸν στοχαστικὸν Αἰσχίνης Δημοσθένης,
ἐκ τῆς παρὰ τὸν Φίλιππον πρεσβείας ἐπελθόντες,
ἀνεγκαλοῦντες κρίνουσιν ἀμφοῖν παραπρεσβείας.
ὅτι ὁ Δημοσθένης μὲν κατώρυττε χρυσίον·
ὁ δὲ γρᾶψαι ἐτύγχανε λόγος παραπρεσβείας·
ὁ δὲ ποιῆσαι φησὶν ὁ Δημοσθένης πρὸς Αἰσχίνην.

Ὅρου διπλοῦ παράδειγμα κατ' ἀμφισβήτησιν.
ἀνῆλθεν ἀκρόπολιν τις τύραννον κτεῖναι θέλων.
φεύγων τοῦτον ὁ τύραννος κτείνεται παρ' ἑτέρου.
περὶ τοῦ γέρως τοιγαροῦν ἀμφισβητοῦσιν ἄμφω.

Περὶ Ἰδεῶν λόγου.

Τὸ ὅπη ἔχουσι φησὶ Δοξαπατρῆς τοιῶσδε·
οἷον, ἡ μὲν σαφηνεία εὔνουν ποιεῖ τὸν λόγον·
τὸ μέγεθος ἀξίωμα καὶ ὄγχον ἐμποιεῖ δέ·
γοργότης δὲ τὸ ἴδιον ἐξαίρει τὸ τοῦ λόγου·
ἐγὼ δὲ τοῦτο δὲ οὕτως σοι τανῦν ἐπεξηγοῦμαι.
εἰ ἄλλό τι τῷ ῥήτορι ἐστὶ τῶν ἀναγκαίων·
καὶ τὸ γινώσκειν χρήσιμον τοῦ λόγου τὰς ἰδέας,
ὅπη τὲ ἔχουσιν ἰσχὺν δῆλον καὶ κρᾶτος λόγου.
ἢ ὅπη ἔχουσι καλῶς καὶ προσφυῶς ἐμπίπτειν·
ὁποῖαι μὲν τῶν ἰδεῶν ποίῳ τοῦ λόγου εἴδει·
ποῖα προσώποις δὲ καὶ πράγμασιν ὁποίοις·
ἐνδόξοις, ἀμφιδόξοις, ἀδόξοις τε παραδόξοις.
μεθόδου δὲ δεινότητος πάντως ὑπάρχει τοῦτο·
τὸ λόγῳ καὶ τοῖς μέρεσι κεχρῆσθαι τοῖς τοῦ λόγου,
κατὰ καιρὸν τὸν πρέποντα, καὶ ὅπη δέον χρῆσθαι.

Μέρη τανῦν ὁ Σικελὸς πᾶσαν ἰδέαν λέγων,
σαφήνειαν καὶ μέγεθος, κάλλος, καὶ τὰς ἑτέρας·
εἶδος τὸ πανηγυρικὸν τῆς συμβουλῆς, τῆς δίκης.
ὡς μέρος γὰρ τῶν ἰδεῶν ἡ δεῖνα μὲν καὶ δεῖνα
κραθεῖσαι ἀπετέλεσαν τόδε τυχὸν τὸ εἶδος·
ἡ δεῖνα καὶ ἡ δεῖνα δὲ καὶ δεῖνα τὸ τοιόνδε,
ὃ καὶ δοκεῖ μοι κάλλιστα πλέον τῶν ἄλλων ἔχειν.
ἄλλοι δὲ μέρη λέγουσιν ὀκτάδα τῶν μορίων·
ἔννοιάν τε καὶ μέθοδον λέξιν σὺν τοῖς ἑτέροις·
εἶδος δὲ πάλιν λέγουσι τῶν ἰδεῶν ἑκάστην.
ἕτεροι μέρη λέγουσι πάλιν τὰ εἰρημένα.
κἀγὼ δὲ μέρη νῦν φημι τοῦ λόγου τὴν τετράδα·

προοίμιον, διήγησιν, ἀγῶνας, ἐπιλόγους·
εἶδος τῆς πανηγύρεως, τῆς συμβουλῆς, τῆς δίκης,
καὶ τὸ ἐκ τούτων συμμιγῆ τὴν θέσιν κεκτημένον.

Ὅποσοι δὲ ἥψαντο τεταραγμένως εἶπον·
πρὸ Ἑρμογένους ἔγραψαν καὶ ἄλλοι γὰρ ἰδέας,
αὐτὸς ὁ Διονύσιος, σὺν ᾧ καὶ Βασιλίσκος,
καὶ Ζήνων δὲ, καὶ Ζώσιμος ἀνὴρ Ἀσκαλωνίτης,
καὶ σὺν ἐκείνοις ἕτεροι, ὧνπερ ἐῶ τὰς κλήσεις.[s]

Αἱ μὲν ἐφ' ἑαυτῶν, ἤγουν ἐκ τῶν ἀτόμων·
τουτέστι εἰδικώταται καὶ μὴ διῃρημέναι·
τὸ κάλλος, ἡ γοργότης τε, ἀλήθεια, δεινότης,
αἱ ὑποβεβηκυίας δὲ ἰδέας κεκτημέναι,
ἤγουν ἰδέαι γενικαὶ πεφύκασιν γ' αὗται,
σαφήνεια, καὶ μέθοδος, καὶ σὺν αὐταῖς γοργότης.

Περὶ Μεθόδου Δεινότητος.

Τοῦ Τζέτζου εἰς τὸ περὶ μεθόδου δεινότητος τὸ προοίμιον πανηγυρικὸν, λαμπρὸν, σεμνὸν, καὶ γοργὸν ἔχοντι καὶ τραχύτητα[t].

Ἤδη μὲν ἐξενάρκησαν καὶ νωχελεῖς ὁρῶνται,
αἱ λογικαὶ σοῦ, λογικὴ Μοῦσα, σκιρτήσεις ἵππων.
δρόμους καὶ γὰρ παρήλασαν μακροὺς καὶ τετραγνάμπτους.
σὺ δ' οὐ πρεπώδεις παρεᾶς τούτους κεκτῆσθαι νάρκην,
λακέρυζα κορωνή τις μὴ κατ' Ἀσκραῖον[u] κρώζῃ.
ἐπίβαλε δὲ μάστιγα, καλῶς ἡνιοστρόφει,
καὶ ποππυσμοῖς διεύθυνε, καὶ πέραινε τοὺς δρόμους.
οὐ τέρμα δωδεκάγναμπτον διφρεύεις Ὀλυμπίοις,
οὐ δὲ μετέρχῃ πένταθλον τῶν θρυλλητῶν ἐκεῖνο·

[s] Seq. in Cod. hoc schol. ὅρος γὰρ αὐτοῖς ἄλλοις] εἰς τοὺς ὑπομνηματίσαντας τοῦ Δημοσθενικοῦ λόγου ἐνίους ἀποτείνεται, καὶ τὰς περὶ αὐτῶν θεωρίας. φιλοτιμότερον ἐπεξεργασάμην Βασιλίσκον τε καὶ Ζήνωνα καὶ τοὺς ὁμοίους.

[t] Leg. ἔχον τὶ καὶ τραχύτητος.

[u] Cod. κατασκρέων.

ῥητορικὸν δὲ πένταθλον πεντάγναμπτον καμπτῆρα.
τοῦτον οὖν σπεῦσον τερματοῦν μίμησαι τὸν Ἑρμῆν·
καὶ γίνου πενταθλόνικος ῥητορικοῦ πεντάθλου·
ὡς ἂν καὶ ταινιώσειε σὴν Ὑψιπύλη κάραν·
μὴ δ' ὥσπερ ἐπαρίστερος οὐ τῶν περιδεξίων,
τοῖς μὲν τῶν ἄθλων κηρυχθεὶς, τοῖς δ' ἐνσεισθεὶς εἰς ἄχη,
χώρει λοιπὸν πρὸς τὸν εἱρμὸν τοῦ δρόμου καὶ τοῦ λόγου.
Ἔλλειμα μὲν τὸ σύνταγμα δεινότητος ὑπάρχει,
μεγάλων δ' ὑποθέσεων πρὶν εἶχεν ὑποσχέσεις·
ὁ τεχνικὸς ἐν τούτῳ γὰρ ἐβούλετο διδάξαι,
πῶς τε καὶ πότε καὶ δι' ἣν αἰτιάν τε καὶ τρόπον,
χρεὼν ἦν παρεισάγεσθαι τοὺς λόγους τῶν ῥητόρων·
καὶ ὅσα τούτων συμπληροῖ καὶ παριστᾶ τὸ σῶμα·
προοίμια, διήγησιν, ἀγῶνας, ἐπιλόγους.
εἴδη, ἰδέας σὺν αὐτοῖς, καὶ ἰδεῶν τὰ μέρη·
ταῦτα διδάσκειν ἔμελλεν, βασκάνῳ δὲ τῇ τύχῃ
κατασυρεὶς εἰς λήθαργον ἀμνημονεῖ μὲν τούτων·
τριάκοντα μεθόδους δὲ καὶ πέντε νῦν διδάσκει·
μεθόδους τῆς δεινότητος, οὐκ ἰδεῶν τῶν ἄλλων·
περὶ τῆς οὔσης λέγω δὲ καὶ μὴ δοκούσης εἶναι,
ὁποία ἡ δεινότης ἦν τοῦ ῥήτορος Λυσίου·
τὸ Δημοσθένους γὰρ δεινὸν κατ' ἔννοιαν ὑπάρχει·
δεινότης ἡ Δεινάρχου δὲ γίνεται μόνη λέξει.
φέρε δὲ καὶ τὸν ὁρισμὸν δεινότητός σοι λέξω.
ὅρος ἐστὶ δεινότητος χρῆσις ὀρθὴ τοῦ λόγου·
ἡ μέθοδος ὑπάρχει δέ τις τρόπος ἐπιστήμων,
τοῦ πῶς χρεὼν ἐκφέρεσθαι τὸ νόημα τοῦ λόγου.
ὁ δ' Ἀριστείδης ὁρισμοὺς δίδωσι τούτων τούσδε·
δεινότης λέγων πέφυκεν ἡ κατὰ ῥητορείαν,
τὸ πόρρωθέν τι χρήσιμον αὐτῇ προδιοικεῖσθαι·
καὶ τὸ προανατρέπειν δὲ αὐτῇ τὸ ἀντιπίπτον.
μέθοδος δὲ κατ' ἔννοιαν σχηματισμὸς ποιός τις·
τὸ σχῆμα δ' ἐστὶ λέξεως· ἡ μέθοδος ἐννοίας·
τὸ δὲ δεινὸν τὰ δ' ταῦτα σημαίνειν νόει·

τὸ φοβερὸν, τὸ ἴσχυρον, τὸ μέγα, τὸ βαθύ τε·
ὅπερ καὶ ἐπιτήδειον καὶ τῶν φρονιμωτάτων.

Αὐτὸς σημαίνει πολλὰ καὶ τὸ αὐτὸ ὁμοίως.
τὸν ἕνα, καὶ τὸ δεικτικὸν, τὸ σὺ, καὶ τὸ ἐγώ δε·
ἄλλως οὖν λαμβανόμενον καὶ ἄλλως ἄλλο σθένει·
τὸ δεικτικὸν γὰρ καὶ τὸ σὺ σφοδρότητα προσήκει·
καί γε τῇ καθαρότητι τὸ σὺ θαυμαστικὸν δὲ
ἰδέας τῆς γλυκύτητος ἐστὶ καὶ ἀφελείας·
τὸ λέγειν δὲ κομπαστικῶς αὐτὸς, ἤγουν ἐγώ δε,
ἰδέας τῆς λαμπρότητός ἐστι καὶ τοῦ μεγέθους.
Φαίδων εἷς τοῦ Πλάτωνος ὑπῆρχε τῶν λόγων·
Πλάτων γὰρ λόγοις τοῖς αὐτοῦ ὀνόματα ἐτίθει·
Φαίδων καὶ Πρωτάγορας καὶ Τίμαιος καὶ Χαρμίδης,
καὶ ἕτερα τοιάδε, καὶ ἅπερ ἐκεῖνος γράφει·
γ' μέθοδοι εὑρέσεως οὗτος ὁ νοῦς τοῦ λόγου·
μέθοδος δὲ δεινότητος εἶναί μοι τοῦτο νόει·
τὸ ὅτε χρὴ καὶ ὅπου χρὴ ταῖς λέξεσιν κεχρῆσθαι·
ἢ ἐθνικαῖς, ἢ τεχνικαῖς, ἢ μουσικαῖς, ἢ νόμων
καὶ ἀστρολόγων μαντέων καὶ τῶν μηχανουργῶν
ὡς πο x προποδομοὺς, καὶ πήξεις καὶ κολλήσεις,
οἰκίσκους τὲ τῶν μαντέων παρθένου σπλαγχνοτέρου,
καὶ τῶν μηχανουργῶν δὲ φασκοειδεῖς κοχλίας.
κακῶς φησὶν δ' ὁ τεχνικὸς οὕτως ὀφείλων φάναι,
ὥσπερ αὐτὸς νῦν ἔφησα σαφῶς ἠκριβωμένως·
οὐχ ἧπερ οὐδ' εὑρέσεις γὰρ διδάσκει τῶν ἀγώνων.
τὸ χρῆσθαι δὲ ταῖς λέξεσιν, ὡς ἔφην καὶ ἁρμόδιον,
δοκεῖ διδάσκειν μέθοδον δεινότητος ὑπάρχειν.

Περὶ πάσης λέξεως.

Εἰσαγγέλια ἡ ψιλή ἐστι προσαγγέλια.
ὁ δεῖνα ἱερόσυλος· ἔνδειξις δεῖξις τούτου.

x Quid hoc sit assequi nolo, nisi leg. ὀπισθοδόμους, προδόμους.

εἰσαγωγὴ τὸ ψῆφος δὲ τῶν δικαστῶν τυγχάνει,
ἡ τιμωρίαν ἄγουσα τοῖς κατακεκριμένοις,
φάσις τὸ δεῖξαι * * * * * * ὁμοία.

Μοσχεύειν τὸ χωννύειν δὲ τῇ γῇ φυτὰ καὶ βόθροις,
ὡς ἂν ῥιζοφυήσαντα πῇ φυτευθῶσιν ἄλλῃ·
ἐπὶ κλημάτων προσφυῶς λέγεται δὲ ἡ λέξις.
ταῦτα φασὶν οἱ λέγοντες· ὁ Τζέτζης δ᾽ οὕτως λέγει·
σαφῶς οὐχ εὑρόν τι δηλοῖ ἡ λέξις τοῦ μοσχεύειν,
ἐν βίβλοις ταῖς τοῦ Βάρωνος καὶ ταῖς τοῦ Δημοσθένους,
καὶ τῶν λοιπῶν οἳ γράφουσι φυτουργικὰ βιβλία·
ἐξ ὧν δ᾽ ἐσημειώσατο ἐκ τῶν βιβλιῶν τούτων,
φησὶν τὴν μεταφύτευσιν ἡ μόσχευσις σημαίνει,
τῶν φυομένων νεογνῶν ἐκ τῶν ῥιζῶν τῶν δένδρων.

Διπλᾶ τὰ ἁμαρτήματα γίνεται κατὰ λέξιν·
κατά τε τὸ μὴ κύριον καὶ τὸν βαρβαρισμὸν δέ·
μεθόδου δὲ δεινότητος εἶναι καὶ τοῦτο λέγω.
λέξει κυρίᾳ χρῆσθαί τε καὶ τοῦ μὴ βαρβαρίζειν.
καὶ χρῆσθαι πάλιν ὅπου δεῖ βαρβαρισμῷ τροπαῖς τε.

Περὶ ταυτότητος.

Πότε ταυτότητι χρεὼν ἐν ταῖς γραφαῖς κεχρῆσθαι,
καὶ πότε ποικιλίᾳ δὲ ὁ τεχνικὸς διδάσκει.
λέγων δὲ τῆς δεινότητος μεθόδου εἶναι ταῦτα·
τὸ χρῆσθαι πᾶσι προσφυῶς οἷς εἶπεν, οἷς τε λέξει,
ὅταν φησὶν γὰρ προσφυὴς τοῦ πράγματος ᾖ λέξις,
καὶ ἐπ᾽ αὐτοῦ καὶ μόνου δὲ κεῖται κυριωτάτως·
τὸ πῶς τὴν λέξιν τὴν αὐτὴν πολλάκις ταυτολογεῖ,
ὡς Ὅμηρος ἐποίησε τῇ τηκεδόνος λέξει·
οὐδὲν γὰρ προφυέστερον χιόνι τηκεδόνος.
ἂν δέ γε λέξῃς περιττὰ ταυτὸ δηλοῦσι πρᾶγμα,
ἀλλεπαλλήλων τίθει μοι λέγων Ἀφθόνιος,
ὡς ἐξ Ὁμήρου κεῖταί σοι παράδειγμα καὶ τούτου.

Πᾶν μέρος εὕρηται πρὸς μίμησιν πραγμάτων·
αἱ λέξεις φησὶν εὕρηνται τοῖς ὀνοματοθέταις,
εἰς γνωρισμὸν καὶ δήλωσιν τοῖς οἷς πραγμάτων κεῖνται
ἤγουν ἑκατέρῳ πράγματι γνώριμος λέξις κεῖται.
πρᾶγμα δὲ νῦν ὁ τεχνικὸς καλεῖ τὰς περιστάσεις·
πρόσωπον, πρᾶγμα, τόπον τε, τρόπον, αἴτιαν, χρόνον·
οὕτως αἱ λέξεις εὕρηνται φησὶν τοῖς παλαιτάτοις·
ἐγκαιρῶς τε καὶ προσφυῶς τοῖς πράγμασι τεθεῖται·
καὶ ἀκριβῶς γινώσκομεν ὅπου κυρίως κεῖνται·
οἷον τὸ Ἱπποδαμεία καὶ τὸ Ἀτρεὺς ὁμοίως
ἀμφότερα ὀνόματα τυγχάνει τῶν κυρίων·
πολλάκις καὶ τοῖς ῥήτορσι δεινότητος μεθόδου
ἐγκαίρως μεταλλάττεται τρόπου τινὸς προσθηκῇ·
οἷον, ἐν παραδείγματι τοῦτο διαρθρωτέον,
ἐν εἴδει τῷ δικανικῷ σφοδρὰν ποιῶν ἰδέαν δὲ
καὶ εἴδει πανηγυρικῷ τῷ ἀμοιβείῳ λέγω·
εἴτε τὸν Εὐφορίωνα μιμούμενος ἢ ἄλλον,
τὴν Ἱπποδάμειαν αὐτὴν ὁμοίως καὶ Ἀτρέα,
οὐ θήσεις ὡς ὀνόματα, ὡς δὲ δριμείας λέξεις·
ἀτρέα δῆμον ἄτρεστον ὡς Εὐφορίων λέγων,
καὶ χεῖρα ἱπποδάμεια[y] τὴν ἡνιόχων χεῖρα·
ἐν εἴδει δὲ τῆς συμβουλῆς δίκῃ καὶ πανηγύρει
καὶ λόγοις διδασκαλικοῖς ἱστοριῶν γραφῶν τε
σαφήνεια βουλόμενος ἐργάσασθαι ἰδέας,
ταῦτα θήσεις ὡς κύρια οὐχ ὡς δριμείας λέξεις.
καὶ τὰ λοιπὰ δὲ τοῖς λοιποῖς ὁμοίως τοῖς ῥηθεῖσι·
οἷον ἐν εἴδει συμβουλῆς καὶ τῷ δικανικῷ δὲ,
οὐ λέγω δὲ τοῖς ἰδικοῖς ἀλλὰ τοῖς δημοσίοις

ἰδέ * * * * * ἢ τραχυ^τ^ ποιῆσαι
εὐσύνετον οὐκ ἄκρατον οὐδ' ἀσυνέτου τρόπου
χρῆσαι τοιαύταις λέξεσιν οἷαι τοῦ τεχνογράφου
ἴδιον καὶ διάφορον διάφορα δηλούσαις,
καὶ ἐν αὐτῷ σὺν αὐταῖς οὕτω τοῖς λόγου λέγων,

[y] Sic.

οἷον, ὦ ἄνδρες βουλευταὶ τί κακουργεῖτε μάτην;
καὶ τί δημηγορεῖτε δέ; ὁρᾶτε τὸ συμφέρον,
οὕτως ὑμεῖς μὲν ἄνθρωποι ἐδείχθητε τῷ χρόνῳ·
οὕτως ἐπὶ τραχύτητος τοῖς βουλευταῖς πῶς λέξεις,
καὶ ἐπὶ προβλημάτων δὲ τῶν ἐσχηματισμένων,
ὡς ἂν τραχὺς μὴ δόξειας καίπερ ὑβρίζων οὕτω,
τὸ κακουργεῖτε μὲν τιθεὶς ἀντὶ κακοπραγεῖτε
τῷ δὲ σκόπῳ κακουργούς τε καὶ κλέπτας ὀνομάζων.
καὶ τὸ δημηγορεῖτε δὲ κατὰ τὸ προφανὲς μὲν
βουλεύεσθε, τὸ δ' ἔσωθεν χαρίζεσθε τῷ δήμῳ.
τὸ ἄνθρωποι πανοῦργοι δὲ τὸ χρόνῳ ἐν συντόμῳ
οὕτω ταὐτό τε καὶ τὸ ἕν· ἡ αὐτὴ δὲ λέξις
πρὸς εἴδη καὶ ἰδέας δὲ καὶ πρόσωπα καὶ χρόνους
ἄλλως ἐκλαμβανόμενα καὶ ἄλλως, πρὸς τὸ δέον δὲ
μέθοδον ὑπεμφαίνουσαν δεινότητος ῥητόρων,
τουτέστι τρόπον φαίνουσα ῥήτορος ἐνδυναμένου

Καιρὸν τὸν ἐπιτήδειον· ἰδίου τοῦ προσφόρου·
ἤθους προσθήκην λέγει νῦν εἴτε μὴν τῶν ῥητόρων,
ἢ τῶν ὑποκειμένων δὲ προσώπων ἐν τοῖς λόγοις.
ἢ γὰρ ὁ ῥήτωρ ἤθει τε καὶ τρόπῳ τῷ οἰκείῳ
τὴν λέξιν ὥς περ λέγεται τιθεῖ ἢ παραλλάττει·
εἴτε μὴν ἐκμιμούμενος ἦθος τινὸς προσώπου,
ὡς ὄπισθεν ἐδήλωσα πλατύτερον ταῦτά σοι.

Ἰδίαν μίαν νῦν δηλοῖ, διαφόρους δὲ δύο.
τὸ διαφόρους δὲ πολλὰς τὸ δέ γε ἐναντίας
ἀλλήλαις ἀντιθέτους τε καὶ τῶν ἀντικειμένων.
οὐχ ὅσα γὰρ διάφορα ταῦτα καὶ ἐναντία.
ἰδίαν ἄλλοι λέγουσιν ὡς εἴπομεν τὴν μίαν
τὴν ἰδικὴν καὶ γνώριμον, ἐγὼ δὲ τὴν κυρίαν.
εἰς τὸ ἐναντίας δὲ ὡς τὸ μείνω τ' ἐπὶ χρόνον,
καλῶς ὁ ῥήτωρ νῦν λέγει· γεωμέτρα,
ὁ σὸς δὲ πολλὰ χαιρέτω Σταγειρόθεν,

Τζέτζου λογισμοῖς ἐξελεγχθεὶς, οἷς δέον
εἰς ὀργανοῦσαν λοξοσύστροφον βίαν.
Πέντε τῶν μουσικῶν εἰσὶν αἱ πᾶσαι συμφωνίαι·
ἡ διὰ τῶν τεσσάρων τε, καὶ ἡ διὰ τῶν πέντε,
ἥ τε διὰ πασῶν, καὶ ἡ διὰ πασῶν καὶ πέντε,
καὶ ἡ τελειοτάτη δὲ ἡ δὶς διὰ πασῶν γε.
λόγον ἔχει ἐπίτριτον ἡ διὰ τῶν τεσσάρων·
λόγον δὲ ἡμιόλιον ἡ διὰ πέντε φέρει.
οὕτως οἱ πλείους λέγουσιν, Τζέτζης δ' ἐκ Γαυδεντίου
ἓξ συμφωνίας δίδωσι, τρεῖς μὲν ἁπλᾶς τὰς πρώτας,
τὴν διὰ τῶν τεσσάρων τε, καὶ τὴν διὰ τῶν πέντε,
καὶ τρίτην τὴν διὰ πασῶν, ὥσπερ δοκεῖ κἀκείνοις·
εἶτα φησὶ διὰ πασῶν ὅμου καὶ τῶν τεσσάρων,
ἣν καὶ παραλιμπάνουσιν, εἶτα τὰς ἄλλας δύο.

Τεκμήριον, μαρτύριον, παράδειγμα, σημεῖον,
ἀλλήλων διαφέρουσι, οἷς μυριάκις ἔφην.
ὁ νοῦς δ' ὅτι οἱ Ἕλληνες ἐλήστευον ἀλλήλους,
δῆλον ἐκ τεκμηρίων τε καὶ τῶν λοιπῶν ὧν λέγω·
διὸ καὶ οὐκ ηὐξήθησαν διὰ τὰς μετοικίας.
οἱ Ἀθηναῖοι δὲ λυπρὰν ἄζηλον γῆν οἰκοῦντες,
ηὐξήθησαν, ὡς οὐ τινῶν αὐτοὺς ἐκβεβληκότων.

Διατριβὴ ὅταν ἑκὼν ὁ ῥήτωρ ἐμβραδύνῃ
βραχεῖ διανοήματι τὸν λόγον ἐπεκτείνων.
ἡ περιττότης τέμνεται, τουτέστι διαιρεῖται
εἰς λέξιν καὶ εἰς ἔννοιαν, ἥνπερ καλεῖ νῦν γνώμην.
ἡ λέξις εἰς διατριβὴν καὶ πλῆθος διαιρεῖται.
ἡ γνώμη πρὸς ἐνθύμησιν καθολικούς τε λόγους.
ὅταν οὖν ἐνδιάθετον ἦθος ἐνδεῖξαι θέλῃς,
λάμβανε τὰ τῆς λέξεως διατριβὴν καὶ πλῆθος.
ὅταν λεᾶναι δὲ σκληρὰ νοήματα θελήσῃς,
χρῶ ταῖς ἐπενθυμήσεσι· λόγους τοὺς σοὺς πιστῶν δὲ
λάμβανε τοὺς καθολικοὺς λόγους εἰς ἀποδείξεις.

Ἱστορία.

Τοῖς Ἀττικοῖς πρὶν ἄνδρασιν ἐπηρμένοις,
μέγα φρονοῦσι ταῖς τύχαις ταῖς πατρῴαις,
ἐνῆν νόμος τις ὀφρύος πεπλησμένος.
Ἀμαζόνας γὰρ Ἄρεος ὡς οὔσας κόρας
ἡττηκότες πρώτιστον ἐν στερᾷ μάχῃ,
Θηβῶν μετ' αὐτὰς δευτέραν πανοπλίαν,
τρίτην ἐνυὼ καρτερὰν Εὐρυσθέως,
ἄλλην τε μακρῷ τῆσδε δυσχερεστέραν,
φάλαγγα πυκνὴν Περσικὴν Δαρειάδα,
Ξέρξην μετ' αὐτὴν τὸν πνέοντα φασγάνου,
τὸν τὰς ἀπείρους τῶν στρατῶν λοχαρχίας[1]
πεζῇ διεξάξαντα τοῦ πόντου μέσῳ,
ἄθλων τε τὸν πλεύσαντα ναυσὶ μυρίαις,
νόμους ἔθεντο τῶν φρενῶν ἐπαξίους.
τοὺς γὰρ πεσόντας ἐν Μαραθῶνι τότε,
καὶ τοὺς πρὸ αὐτῶν Ἀττικῶν στρατηγέτας,
ὑμνεῖν ἐτῶν ἔταξαν εἰς περιδρόμους.
λαχὼν δὲ τούτους καὶ Περικλῆς αἰνέσαι,
προοίμια τέθεικεν αὐτῷ τῷ λόγῳ
πρὸς τοὺς ἀρίστους τοὺς πεσόντας ἐν μάχαις.
αὔθαδες
γράφειν ἐπαίνους οὐκ ἐχρῆν, σκληρὸν τόδε·
φέρει δ' ἐπενθύμημα καὶ κοινοὺς λόγους.
τούτους γὰρ αἰνέσας τις ὡς πρὸς ἀξίαν,
ψεύστης δοκεῖ πῶς ῥήτορος γράφων σθένει·
εἰ δ' ἐνδεῶς ᾔσχυνε τοὺς ἄνδρας γράφων.

Πόσαι καὶ ποῖαι παραμυθίαι τῶν αὐθαδῶν
καὶ τολμηρῶν διανοημάτων.

Ἐνταῦθα τὸ μονονουχὶ τυγχάνει ἡ προσθήκη·
αὔθαδες γὰρ ἦν ἐξειπεῖν, ὡς ὁ καιρὸς νῦν λέγει.

[1] Cod. λοχαρ.

Περὶ ἑσπέραν ὁ καθεὶς τῶν κωμαζόντων νέων
οἴνου χοέα ἔπινε βικόν τε καὶ ἀγγεῖον.
ὃς δ' ἂν ἐφύπνωσεν αὐτῷ οὐχὶ πιὼν ἐκεῖνον,
περιέχειτο ἕωθεν τοῦτον ἐκ τῶν σὺν τούτῳ,
καὶ ἑωλοκρασίαν δὲ τοῦτο λοιπὸν ἐκάλουν.

Πλάτων Λυσίαν ῥήτορα Φαίδρου ἐρῶντα πλάτει
λόγους τε λέγοντα αἰσχροὺς ὥσπερ καλεῖ ὁ Φαῖδρος
λόγους καὶ θαλμυρίζοντας, τοὺς δὲ σεμνοὺς ποτίμους.

Περὶ παραλείψεως καὶ ἀποσιωπήσεως.

Παράλειψις ἂν λέγῃ τις σιγᾶς ἐν προσποιήσει.
ἀποσιώπησις δ' ἐστὶ παραλιπεῖν ὃ πρέπει.

Λόγος φησὶν ἦν, ὥς πατὴρ ἐμοίχευσε τὴν νέαν
ἧς καὶ τεκούσης τὸ τεχθὲν ἐχρήσθη πατρὸς φονεύς.
ὁ παῖς τε ἐκκηρύσσεται, μὴ ἐκτιθεὶς ἐκεῖνο
φησὶ, φήσει τις πάτερ με βλέπων ἐκκηρυχθέντα·
εἴτε ἀντείπῃ τῷ πατρὶ, ἢ οὐκ ἐπείσθη τούτῳ.

Τοὺς χώραις ἐγχορεύοντας καὶ τοὺς στρατολογοῦντας
ὁ Δημοσθένης χορεύτας τανῦν κατονομάζει.
ὁ νοῦς τοῦ λόγου δὲ παντὸς τοιοῦτός τις ὑπάρχει.
ὅσα τοὺς στρατολόγους μὲν ἐξώχληκε Μειδίας,
ὡς ἂν ἐάσειεν αὐτὸν ἕλκειν πρὸς ἐκστρατείαν,
καὶ ὅσα ἐλιπάρει δὲ τοὺς προῤῥηθέντας ἄνδρας,
γενέσθαι ἐπιμελετὰς τῆς ἑορτῆς ἐάσω.

Περὶ περιπλοκῆς.

Περιπλοκὴ τὸ ἀσαφῶς περὶ τινῶν τι λέγειν·
εἴτ' οὖν ὡς αἰσχυνόμενον, εἴτε μὴν ὡς μισοῦντα.
θέλων εἰπεῖν τὸν ἄνδρα γὰρ ἔνοχον τῇ πορνείᾳ,
ἔνοχον οἷς ἠκούσατε τῷ γράμματι προλέγει.

Σημειῶσαι διαφορὰν πορνείας ἑταιρείας,
ἅπερ ὁ Τζέτζης εἰσαεὶ λέγειν οὐκ ἐοι
ἐλέγχων ἐν ταῖς στάσεσιν καὶ τεχνικοὺς καὶ πάντας
ὅσοι τὴν πόρνην ἔλεγον ἑταίρ * οὐχὶ πόρνην.

Διαφθορὰν τῶν νέων τίς μὴ τὴν αἰσχρὰν νοείτω·
τοιοῦτοι πάντες γὰρ σχεδὸν ἦσαν οἱ Ἀθηναῖοι.
διαφθορὰν δὲ τῶν ἠθῶν τῶν νέων τίς νοείτω·
εἶργε τούτους Σωκράτης γὰρ πράξεων δημοσίων.
τὰ τῇδε πάντα δὲ σαφῆ τυγχάνουσι πρὸς τέχνην.
τοῖς δὲ μωροῖς τί κάλλιστον δοκεῖ μακρηγορίας;

Ὁ Δημοσθένης στρατηγὸς λέγει πρὸς Ἀθηναίους,
πολλὰ ἐκ νήσων χρήματα λεγόμενος λαμβάνειν.
ὁ νοῦς πάντες λαμβάνουσιν οἱ στρατηγοὶ ἐκ νήσων,
ἢ ἐὰν οὐ λαμβάνουσιν ἐγὼ πάσχειν ἐθέλω.

Χρυσοῦς στεφάνους παλαιοὺς ἐκ τῶν ἀναθημάτων
χωνεῦσαι συνεβούλευσεν οὗτος ὁ Ἀνδροτίων·
πομπεῖα καὶ φιάλας δὲ τούτους κατασκευάσαι·
καὶ ἐπιστάτης γέγονε κατασκευῆς τῆς τούτων.

Περὶ ἀσυνδέτου.

Τὸ σχῆμα τὸ ἀσύνδετον τῶν ἠθικῶν ὑπάρχει,
τουτέστιν ἀνειμένον τε καὶ πρέπον ἀφελείᾳ.
ἁρμόζεται διηγήσει δὲ τῇ ἐκφραστικωτάτῃ,
καὶ τῇ κινούσῃ πάθη· οἷον, ὁρᾶν ἦν τότε
πόλεις, οἰκίας, τὰ λοιπὰ, μετὰ τῆς ἐρημίας·
καὶ ὅταν ὀργιζόμεθα ὡς ἐπὶ σφοδροτάτων·
ὡς ὁ λοιμὸς, ὁ φαρμακὸς ὃν οἰωνήσαιτό τις.
Ὁ γεωμέτρης τὸν καιρὸν νῦν οὐκ εἰρῆσθαι λέγει·
Τζέτζης φησὶν δὲ, ἄνθρωπε καιρὸν εἶναί μοι νόει,

τὸ τοῖς συνδέσμοις χρῆσθαι μὲν, ἂν πρᾶγμα μεγεθύνῃς·
ὡς οὗτος γράφει ὁ ἀνὴρ, οὐ χρὴ μακρηγορίας·
τοῖς ἀσυνδέτοις ἦθος δὲ δεικνὺς ἐπιεικείας.
Πράγματα μὲν ὑπάρχουσι Ὄλυνθος καὶ Μεθώνη·
τὸ δὲ ἐῶ παράλειψις ἤθους ἐπιεικείας.

Περὶ ἴσων σχημάτων.

Οὐκ ἔχων τι σαφέστερον εἰπεῖν τοῦ τεχνογράφου.
Ἴσά μοι ἐν ἀγῶνι νόμιζέ τις καὶ κάλει,
ὅταν ἀποδεικνύων τι καὶ τοῦτο μεγεθύνων
ἔξωθεν εἴπῃς πάρεργα, οἷα περ οὗτος λέγει·
Ὁμήρου Θουκυδίδου τε σοὶ παρεισφέρων χρήσεις.
ἃ Θουκυδίδης γράφει δὲ νοῦν ἔχουσι τοιόνδε·
Ἑλληνικοῦ στρατεύματος καὶ στόλου τοῦ πρὸς Τροίαν
λέγει πολυπληθέστερον τὸν Πελοποννησίων.
ἀχρηματίᾳ γάρ φησιν οἱ Ἕλληνες πρὸς Τροίαν,
ἔλαττον ἤγαγον στρατὸν τοῦ Πελοποννησίων.
τοιαῦτα λέγων ὁ ἀνὴρ πείθει σχεδὸν τοὺς πάντας·
ἐκ τεκμηρίων δὲ ἐμφανῶν τοιόνδε φησὶν ὁ Τζέτζης·
χρήματα μᾶλλον περισσὰ ἦν Θουκυδίδου τότε
Τρωσὶ καὶ τοῖς Ἕλλησι καὶ τοῖς λοιποῖς ἀνθρώποις.
Ἕκτορος νέκυν Πρίαμος πόσου χρυσοῦ ὠνεῖται;
τὸν Ἀχιλλέα πόσοις δὲ πρὸ τούτου τοῖς ταλάντοις
ὁ Ἀγαμέμνων τῆς ὀργῆς ἀπέπαυσε καὶ χόλου;
τὸν τοῦ Λαέρτου Φαίακες πόσων ταλάντων πλήθη
ξένια δόντες στέλλουσι πρὸς τὴν αὐτοῦ πατρίδα;
ἐκ τεκμηρίων ἔγνως νῦν τοὺς πρὶν πολυχρημάτους
μάνθανε καὶ τὸν στόλον δὲ καὶ τὸν στρατὸν Ἑλλήνων·
νηῶν μαχίμων ἀριθμὸς τοῖς Ἕλλησιν ἦν τότε,
πρὸς ταῖς χιλίαις ρ̂ϛ̂ σὺν ὀγδοηκοντάδι,
στρατοῦ πλῆθος ἀπόμαχον μετὰ καὶ τοῦ μαχίμου.
ἐγὼ δὲ τὰ ἔπη λέξω σοι, σὺ δέ μοι ἀρίθμει·
" πεντήκοντα ἔσαν πυρὸς ἔσχαραι, ἐν δὲ ἑκάστῃ

πεντήκοντ' ὀφελοί, περὶ δὲ κρέα πεντήκοντα·
τρὶς δὲ τριηκόσιοι περὶ ἓν κρέας εἶατ' Ἀχαιοί·
πῶς οὖν ἐκείνους ἐλαττοῦς τῶν Πελοποννησίων;

Ὁ Δημοσθένης εἴρηκε τοῦτον τὸν λόγον οὕτως·
ποτὲ τὴν Σοφοκλέους γὰρ Αἰσχίνης Ἀντιγόνην
ὑποκρινόμενος καλῶς μιμήσει τραγῳδίας,
ὡς ὁ τρισάλιτρος συμπλάττει Δημοσθένης,
προδότης παραπρεσβευτὴς ἐφάνη, μὴ φυλάξας
ὅσα Κρέων κατέλεξε περὶ φιλοπολίδων.

Περὶ ὑπερβάτου.

Ὑπερβάτου καθέστηκε δύο φησιν τὰ εἴδη·
τό τε κατὰ παρένθεσιν καὶ τὸ καθ' ὑπερθέσεις.
καὶ τὸ μὲν καθ' ὑπέρθεσιν εἶναι τοῦ καλοῦς λέγει,
τὸ ἔχον τὴν αἰτίαν δὲ μέσην ἐντεθειμένην.
ὅπερ κατὰ παρένθεσιν ἔλαχε κλῆσιν φέρειν.
οἱ μὲν πολλὴν νομίζουσι περίοδον τοῦ κάλλους·
τοῦτο δὲ τῆς γοργότητος ἐστὶ καὶ σαφηνείας.
ἂν ἡ αἰτία δεῖται δὲ μέσης αἰτίας ἄλλης,
μακρὸν ἐστὶν ὑπέρβατον, περιβολὴν ποιεῖ δέ.

Περὶ ἀντιθέτου.

Τὸ ἀληθὲς ἀντίθετον ὅπερ καὶ ἐναντίον
ἄλυτον σχῆμα τοῖς ἐχθροῖς καὶ τῶν ἀναντιρρήτων,
τούτου νῦν παραδείγματα ὁ Ἑρμογένης λέγει.
τὸ δὲ ψευδὲς ἀντίθετον κακόηθες καλεῖται·
οἷον φησὶν ὁ τεχνικὸς ποιῆσαι Δημοσθένην.
ὅπερ καὶ Ὅμηρος ποιεῖ τῇ Α ῥαψωδίᾳ·
ἔχθραν τὴν Ἀγαμέμνονος λέγων καὶ Ἀχιλλέως
διὰ τὴν Βρισηΐδα γε γενέσθαι καὶ τὴν τοῦ Χρύσου.
οὐσῶν τῶν δύο γὰρ αὐτῶν Ἕλλησιν αἰχμαλώτων·
Χρύσης ἦλθε λισσόμενος αὐτοῦ τὴν θυγατέρα·
ἀποτυχὼν δὲ τοῦ σκοποῦ λοιμὸν εὐθὺς ἐπάγει·

ἐξ ἧς αἰτίας ἐμπεσεῖν τούτοις τὴν ἔχθραν λέγει·
καὶ ἀληθὲς τῶν γυναικῶν ἐστὶ τῶν αἰχμαλώτων·
ψευδὲς δὲ καὶ κακόηθες τὸ διὰ Χρυσηΐδα.
διά τε Βρισηΐδα γὰρ γέγονε μᾶλλον ἔχθρα·
τοῦ Ἀχιλλέως ἔρωτι ταύτης κατασχεθέντος,
καὶ παραβάντος ὅρκους δὲ καὶ τῷ κοινῷ μὴ δόντος.
ἔχων δὲ ταύτην ταῖς σκηναῖς ἀκόντων τῶν Ἑλλήνων,
τὴν ἥνπερ καὶ ἀφείλαντο, καὶ γέγονεν ἡ ἔχθρα·
μὴ ἔχων ψεῦδός τι λαβεῖν ἔγραψε τὸ Ὁμήρου.
ὁ γεωμέτρης δὲ ἡμῖν πάλιν κενώσει λόγου·
λύων τὸ νῦν ἀντίθετον, ὃ Ἑρμογένης λέγει.
οὐκ ἔστιν οἷον εἴρηκεν εὑρέσεων τῇ βίβλῳ,
ἐκεῖνο σχῆμα λέγων, τοῦτο δὲ διανοίας.
ὦ γεωμέτρα σκόπησον, καὶ σὺ καὶ πάντες ἄλλοι·
τοῦτο ἀντίθετόν ἐστι, ὥσπερ καὶ Τζέτζης λέγει·
ἐκεῖ ὁ Ἑρμογένης δὲ ψευσάμενος εἰρήκει·
σχῆμα τὸ καθ' ὑπόθεσιν ἀντίθετον ὑπάρχει·
τὸ εἰ γὰρ καθ' ὑπόθεσιν καὶ τὸ ἐὰν καλεῖται·
σὺ μακρολογεῖς δὲ πολλὰ καὶ πλατύνεις τὰς βίβλους.

Περὶ παρίσου σχήματος.

—αι
Πάρισον καὶ παρόμοιον καὶ παρονομῖ
καλεῖται καὶ παρήχησις, ἥνπερ εἰς πλάτος εἶπε,
τετάρτῳ τῶν εὑρέσεων τόμῳ, καλῶς διδάξας.
ἴσον, ὁμοιοτέλευτον, καὶ ὅμοιον δ' ὑπάρχει,
ὃ ὁμοιοκατάληκτον κάλεῖται παρ' ἑτέροις.
οἷα τανῦν φιλομαθὴς καὶ τὸ πολυμαθὴς δέ·
τῷ γεωμέτρῃ δὲ εἰπὲ, καλῶς ὁ ῥήτωρ λέγει,
καὶ λέξιν οὐκ ἐκάλεσεν· ἐν συλλαβαῖς δὲ τάττε
τό τε πολὺ καὶ τὸ φιλο, πρὸς γὰρ ὁλοκληρίαν
αὗται τελοῦσι συλλαβαὶ, σὺ λέγεις δ' ἅπερ βούλει.

Περὶ προσποιήσεως.

Οὔθ' ὁ συμβουλευόμενος, οὔθ' ὁ μανθάνειν θέλων,

Ἑρμογένες, ἀνέχονται ἀκούειν τῶν τυχόντων·
ἀλλ' ἐπιστήμην ἀκριβῆ πραγμάτων ἐσχηκότων·
σὺ δ' ὢν διδάσκεις νῦν ἡμᾶς πρὶν ἐν μυρίοις τόποις
τὰ ἐναντία εἴργασθαι ὑοσπβ οὐ σὺ τυγχάνων.
λέγων γὰρ ὅτι μέθοδος τόδε τι καὶ οὐ σχῆμα,
τοῖς Κορινθίοις βοηθοῖς οὕτω Λυσίαν γράφει·[1]
ὁμολογεῖ γὰρ σκέψασθαι καὶ προετοιμᾶσθαι·
αἰῶνα δὲ τὸν σύμπαντα τὴν ἀρετὴν ἐκείνων
φησὶν μὴ εἶναι ἱκανὸν περιλαβεῖν πᾶν τούτων.
καὶ πῶς ἐξ ὑπογυίου τις ἂν ἐξυμνήσῃ τούτους;

Περὶ αὐξήσεως.

Αὔξησιν νῦν ὁ τεχνικὸς κατονομάζει τῇδε
τὴν ἐκ περιουσίας γε τινὸς κατηγορίας.
ἡ αὔξησις δὲ γίνεται καθάπερ προειρήκει,
ἐκ τόπου, χρόνου, πράγματος, προσώπου καὶ τῶν ἄλλων.
ἀπόδοσις ὑπάρχει δὲ διὰ γραφῆς τις δεῖξις.

Τὸ ἀμελεῖται ὡς οὐδὲν τοῖς δικασταῖς ἡγεῖται.
ἔθος καὶ γὰρ τοῖς Ἀττικοῖς ἐρᾶν τε καὶ ἐρᾶσθαι.

Οἱ περὶ χρόνον ὄντες γὰρ τῆς μέσης ἡλικίας
οὐ τόσον διαβάλλονται ἐν πράγμασι τοιούτοις.
ἄπαιδες ὄντες διέπρασαν, ἢ διελήθησάν πως,
ὥσπερ τοιαῦτα πράξαντες, ὁμοίως οὐδὲ γέρων.
τίς γὰρ φρονῶν ἀκροατὴς ἢ δικαστὴς ἀκούσας
προσδέξαιντο διαβολὴν ἢ καὶ κατηγορίαν
μετὰ τοσαύτην ἐκδρομὴν καὶ παρελεύσεις χρόνου;

Ψήφισμα γράφει Κτησιφῶν στέφειν τὸν Δημοσθένην
ἐν μέσῳ τῷ θεάτρῳ, οὐδ' ἐν τῇ ἐκκλησίᾳ.
τρισσῶς τοῦτο παράνομον δεικνύει ὁ Αἰσχίνης·

[1] Sic.

πρῶτον ὅτι ὑπεύθυνον οὐ στεφανοῖ ὁ νόμος,
μὴ δόντα πρῶτον λόγους τῶν τούτῳ πεπραγμένων·
τειχοποιῶν δ' οὐκ ἔδωκε λόγον ὁ Δημοσθένης·
ἓν μὲν τουτὶ παράνομον ὦ Κτησιφῶν ὑπάρχει·
ἐν τῷ θεάτρῳ[a] στεφανοῦν παράνομον δεύτερον.
νόμος ἐν ἐκκλησίᾳ γὰρ οὐκ ἐν θεάτρῳ[b] στέφειν.
τρίτον τοὺς ἄνδρας τοὺς χρηστοὺς δίδωσι νόμος στέφειν.
σὺ Δημοσθένην εἶναι δὲ ψευδῶς χρηστὸν εἰρήκεις.

Περὶ ἐγνωσμένου ψεύσματος.

Εὐρύβατος διάσημος ἦν ἐν τοῖς τοιχωρύχοις.
τοῦτον δ' οἱ δεσμοφύλακες εἱρκτῇ ποτὲ κρατοῦντες,
ᾐτοῦντο ἐπιδείξασθαι ὀγκίαις μετεώροις,
ὅπως ἐπανερπύζει τε καὶ ταύτας διορύττει.
ὁ δὲ λαβὼν σιδήρια τὰ συνεργὰ τῆς τέχνης,
τοίχοις προδήλου τῆς εἱρκτῆς ἐπαναβαίνων τούτοις,
καὶ τῶν τοίχων ἄνωθεν ὑπῆρχε, φησὶν τάδε·
ὁρᾶτε δεσμοφύλακες οὕτως ἐπανερπύζω,
καὶ πάλιν οὕτω προδηλῶν κατέρχομαι τοῖς κάτω.
ταῦτα δὲ λέγων κατελθὼν ἐκ τοῦ ἑτέρου μέρους
ᾤχετο τούτους ἀποδρὰς δείξει τοῦ ποιουμένου.

Πότε ῥήτωρ ὀμόσει καὶ ὅρκῳ χρήσεται.

Ῥήτωρ οὐκ ἐπὶ πράγματος ὀμνύει λέγων οὕτω.
ὁ δεῖνα φόνον ἔδρασεν, ἢ καὶ κλοπὴν νὴ Δία.
τὸν ὅρκον δὲ τὸν ἠθικὸν καλῶς ὀμνύει ῥήτωρ.
μάθε δὲ τίς πραγματικὸς καὶ ἠθικὸς τίς ὅρκος.
πραγματικὴν ἀπόδειξιν ὃς ἔχει τῶν πραγμάτων.
ὅρκος δὲ πάλιν ἠθικὸς ὁ ἀφελὴς ὑπάρχει,
ὁ ἐπὶ δυστυχίαις τε καὶ συμφοραῖς καὶ πάθει.
Ὅμηρος πρῶτον Πλάτων τε καὶ τρίτον Δημοσθένης
τῷ ἠθικῷ ἐχρήσατο, ἕκαστος δ' ἄλλῳ τρόπῳ.

[a] Cod. θατέρῳ. [b] Cod. θατέρῳ.

Ὅμηρος μὲν θρηνητικῶς· εἰρωνικῶς δὲ Πλάτων
ὁ ῥήτωρ δὲ πολιτικῷ τὸ ἦθος βεβαιοῦντι.

Περὶ τοῦ προτείνειν τὰς ἐναντίου προτάσεις.

Πῶς ἂν λυσιτελήσειεν Τζέτζης φησὶν ἐνθάδε
ἐχθροῦ προτάσεις τὰς σαθρὰς εἰπεῖν ἐπιστήμην,
τὰς μέσας εἰς δοκήσεις δὲ καὶ στοχαστικωτέρας,
τὰς δ' ἰσχυρὰς παρεισφορεῖν ὥσπερ ἀκούων ταύτας.
μᾶλλον δὲ χρὴ τὰς ἰσχυρὰς ἐπιστημόνως λέγειν,
ὡς ἂν ἐκεῖνον ἀχανῆ ποιήσῃ παραυτίκα.

Περὶ τοῦ λεληθότος τὰ αὐτὰ λέγειν.

Τάξεως μεταβολὴ τὸ τὰ ἐν προοιμίοις
εἰπεῖν, ἐν τοῖς ἀγῶσί τε, εἴτε τοῖς ἐπιλόγοις·
καὶ τούτων τὸ ἀνάπαλιν· καὶ οὐχὶ τοῦτο μόνον
μεταβολὴ τῆς τάξεως, ἀλλὰ πολλὰ καὶ ἄλλα,
ὑπαλλαγὴ τῶν πτώσεων γενῶν καὶ ἀριθμῶν.

Ἐν λόγοις Διοπείθους μὲν ὁ ῥήτωρ Δημοσθένης,
ὃν νῦν περὶ στρατιωτῶν οὗτος κατονομάζει·
καὶ ἐν τοῖς Ὀλυνθίοις δὲ λέγων ταῦτα ὁμοίως,
ὅτι χρεὼν πρὸς Φίλιππον μάχην ἀναρρηγνύειν·
τὰ πρὸς τὴν μάχην προτροπὴν Ὀλυνθίοις συστέλλει.
τῷ Διοπείθους ταύτων δὲ παρεπεκτείνει λόγῳ·
τὸν περὶ τῶν χρημάτων δὲ λόγον σύστελλει τῇδε·
ἐν λόγοις Ὀλυνθίων δὲ τοῦτον παρεπεκτείνει.
νόμος ἦν Ἀθήναις τιμᾶν λόγοις ἐπιταφίοις
τοὺς ἐν πολέμῳ θνήσκοντας πολίτας καὶ συμμάχους.
καὶ Θουκυδίδης ἔγραψε καὶ Πλάτων εἰς ἐκείνους.
τὰ δὲ λοιπὰ σαφέστατα. τοῦτο φησὶν δ' ὁ Τζέτζης,
μὴ ἐκ τῶν λόγων ὧν φησὶν ὁ Ἑρμογένης τῇδε·
τὸν Πλάτωνα νομίσειας ὕστερον Θουκυδίδου·
τοῦ Τζέτζου δὲ κατάκουε, καὶ οὐ σφαλεῖς εἰς χρόνους·
πρῶτος Ἀναξάγορας ἦν, δεύτερος Εὐριπίδης·

ὁ Ἀρχέλαος συμφοιτῶν καί γε τῷ Περικλέως·
τρίτος Σωκράτης φοιτητὴς ὑπάρχων Ἀρχελάου·
ὁ Πλάτων πάλιν φοιτητὴς ὑπάρχων τοῦ Σωκράτους,
ἐκ τοῦ Ἀναξαγόρου μὲν βαθμοῦ τελεῖ τετάρτου·
ἐξ Εὐριπίδου τρίτος δὲ καὶ συμφοιτητῶν τούτου.
Ἡρόδοτος δὲ μέμνηται στίχων τοῦ Εὐριπίδου,
ὡς παλαίου καὶ πρὸ αὐτοῦ· τοῦ δ' Ἡροδότου πάλιν
ἐν βαθμῷ ἦν ὕστερος αὐτὸς ὁ Θουκυδίδης.
ὅτε τὰς ἱστορίας γὰρ Ἡρόδοτος ἦν γράφων,
παιδίσκος ὢν ἐδάκρυσεν ἀκούσας Θουκυδίδης.
τῷ Θουκυδίδου πατρὶ Ἡρόδοτος εἰρήκει,
ὁ σὸς υἱὸς, ὦ Ὄλουρε, ὀργῶσαν ψυχὴν ἔχει.
ἐκ τούτου μοι σημείωσαι τοὺς χρόνους Τζέτζης λέγει,
καὶ κρίνε καὶ συμβίβαζε τὸν Ἑρμογένους λόγον.

Πραγματικὴν τὴν σύστασιν μὲν ἐν τῷ περὶ ἀτελείας
καὶ συμβουλὴν τυγχάνουσαν δικανικὴν νῦν λέγει,
ἀνθότου στασιάζεται, καὶ ὑπὸ δίκην πίπτει.

Οὗτος ὁ νῦν προκείμενος Φορμίων τελῶν ῥήτωρ,
πρῶτος προυκατηγόρησε τοῦ νόμου τοῦ Λεπτίνου·
ὁ Δημοσθένης δεύτερος τὴν τάξιν ἐναλλάξας.
Τὸ μὲν καλὸν πανηγυρὶς εἴληχε τέλος ἔχειν.
συμφέρει δὲ πραγματική· οὕτως δὲ νῦν εἰρήκει,
ὅτι καὶ ἔθος Ἀθηνῶν τῇδε μεμιγμένος·
ἢ ὅτι πᾶν συμφέρον μὲν καλὸν οὐκ ἐξ ἀνάγκης·
τὸ δὲ συμφέρον τουτοῒ κάρτα καλὸν ὑπάρχει.

Περὶ τοῦ ἀνεπαχθῶς ἑαυτὸν ἐπαινεῖν.

Ὁ Ἑρμογένης γοῦν φησὶν ὑπάρχειν τὰς μεθόδους,
λόγον κοινὸν καθολικὸν, προσποίησιν ἀνάγκης,
ὑπαλλαγὴν προσώπων τε, ἥνπερ κακῶς νῦν λέγει
αὐτὸς πρῶτον ὁ τεχνικὸς καὶ οἱ ἐξηγηταὶ δέ.
ὑπαλλαγὴ γὰρ οὐδαμοῦ, ἀποστροφὴ δ' ὃ λέγει

κοινός τις λόγος μέν ἐστιν· οἷον τυχὸν, εἶ σώφρων·
μακροὶ οἱ σώφρονες εἰπὼν οὖν κοινοτέρως,
αὐτὸς σαυτὸν ἐπῄνεσας, μὴ φορτικός τις δόξας·
ὡς Ἀστυδάμας τραγικὸς υἱὸς ὁ τοῦ Μορσίμου·
προσποίησιν ἀνεύσῃς δὲ ὅταν οὕτως λέγῃς·
σοῦ ταῦτα λέγοντος ἐμοὶ καιρὸν λοιπὸν χωρεῖν ἐμὲ
λέγειν προγόνους, ἐκτροφὰς, καὶ τὰς ἐμάς σοι πράξεις·
προσώπου δὲ ὑπαλλαγὴν, ὥσπερ ὁ Παῦλος λέγει·
εἶδον πρὸ χρόνων ἄνθρωπον εἰς οὐρανοὺς ἀρθέντα
καὶ ὁ παρθενὸς δέ φησιν, ὃν Ἰησοῦς ἠγάπα·
τοιαυτὴ μὲν ὑπαλλαγὴ ἐστὶν ἡ τοῦ προσώπου.
ὅδ' Ἑρμογένης τέθεικεν ὑπαλλαγὴν προσώπου.
ἀποστροφήν μοι γίνωσκε τυγχάνειν σὺ προσώπου,
λυσιτελοῦσαν οὐδαμῶς εἰς ἐκφυγὴν τοῦ φόρτου.
πῶς γὰρ ὁ ῥήτωρ πέφευγε τὸ φορτικὸν τοῦ λόγου,
τῷ ἀποστρέψαι καὶ εἰπεῖν, ἀκούεις ὦ Αἰσχίνη,
εἰ μή πω τοῦτο τάξειας μεθόδῳ τῇ δευτέρᾳ·
ἀνάγκης προσποιήσει γὰρ φησὶ πρὸς τὸν Αἰσχίνην,
ὥσπερ ἀντέβαινεν αὐτοῖς λόγος ἀντιπίπτων·
ὑπαλλαγῆς προσώπου δὲ παράδειγμα μὴ ἔχων,
οἷον, ἡμεῖς τεθείκαμεν εἰς φύρσιν ὀλισθήσας·
τὸ σχῆμα τὴν ἀποστροφὴν τέθεικε τοῦ προσώπου.

Περὶ παλαισμάτων δικαστηριῶν ἃ Δημοσθένης ἐτεχνήσατο.

Ὁ Δημοσθένης δὲ αὐτὸς πράξεις πειρᾶται λέγων
αὐτὸς, μὴ οὔσας ἰσχυρὰς, τότε δ' οὐ κρινομένας.
ὡς δὲ παρέργων μέμνηται νομίμων τῶν Αἰσχίνου,
τῷ κατ' Ἀριστοκράτους πάλιν ὁμοίως λόγῳ,
τὸ ἰσχυρὸν τὸ ἑαυτοῦ, κρίσιν δ' οὐκ ἔχον τότε
εἰσάγει καὶ προτίθησι τὸ περὶ Χερονήσου.
τὸ ἰσχυρῶς δὲ δωρηθὲν ἐκβάλλων Χαριδήμῳ,
ἁπλότητα μεμίγηται τοῦτον τιθεὶς πολίτην·
εἶτα φησὶν, ἅδ' οὐδ' ἡμῖν ἐδόθη τοῖς πολίταις δὲ,
οὐδὲ ἐκείνῳ ἄξιον δοθῆναι παρανόμως.

Περὶ δευτερολογιῶν.

Ἡ κατ' Ἀριστογείτονος ὑπόθεσις τοιάδε.
Πυθάγγελος καὶ Σκάφων τις ποτὲ ἱερόσυλον
τῶν ἱερῶν ἱματίων φέροντα κατιδόντες,
πρὸς τοὺς Πρυτάνεις ἄγουσιν, ὡς ἱεροσυλοῦντα·
Ἀριστογείτων ψήφισμα τῶν ἀπροβουλεύτων πρῶτον,
ἔπειτα δὲ δεινότητος ἐξέθετο τοιόνδε·
ὁμολογοῦντα μὲν αὐτοὺς περὶ τῶν ἱματίων
θανεῖν αὐτίκα κρίνεσθαι δεῖν, ἄνπερ[c] ἀρνῆται τοῦτο·
ὁ γὰρ πατὴρ τοῦ φεύγοντος Ἱεροκλέους τούτου,
τῶν παρανόμων γράφεται τὸ ψήφισμα τυγχάνειν,
τῇ Δημοσθένους χρώμενος γλώττῃ συνηγορούσῃ.
Ἀριστογείτων πέντε δὲ τάλαντα ζημιοῦται.
ἐν τῷ τοιούτῳ λόγῳ γὰρ πρῶτον ὁ Δημοσθένης
κατηγορῶν ἀπέδειξεν, αὔξει δ' ἐν τῷ δευτέρῳ.
ἔστι δ' ἡ στάσις ὁρικὴ ζήτησιν κεκτημένη·
περὶ τοῦ εἴπερ χρεωστῶν ἐστὶν Ἀριστογείτων.

Περὶ διηγήσεως.

Πρᾶγμά τι διηγούμενον ἀμφίβολον δεῖ χρῆσθαι,
ἂν ὁ φοβῶν τῇ πρός τινας τῆς ἀσφαλείας πάρος,
καὶ βεβαιώσει τὸ πιστὸν περιποιοῦντα λόγον·
ὡς ἐν τῷ μύθῳ γέγραφεν Ἀφθόνιος ἐκ τούτου.
ὁ μῦθος ἦλθε· ποιητῶν γέγονε καὶ ῥητόρων.
διάφορον τὸ ποιητῶν βεβαίωσις ῥητόρων,
κἂν περ τινὲς ὑπόψυχροι τῶν ἐξηγησαμένων,
τοῦ μύθου παρεπόμενα ταῦτα φασὶν τυγχάνειν·
γένος, εἶδος, ὁρισμὸν, διαφορὰν, καὶ κλῆσιν.
καὶ γένος μὲν τὸ ποιητῶν φασὶν λογοπλοκοῦντες,
καὶ τὰ λοιπὰ τοῖς ἑαυτῶν ῥήμασι καταλλήλως.

Περὶ χρήσεως ἐπῶν ἐν πεζῷ λόγῳ.

Ὅστις δ' ὁμιλῶν ἥδεται. τοῦτο τοῦ Θεόγνιδος[d].

[c] Cod. δεῖπερ. [d] Hoc glossatoris est scholium interlineare rubr. charact. adscriptum.

Τοῦ Τζέτζου.

Μενάνδρου τοῦτο πέφυκεν ἐκ δράματος Πλοκίου, οὐ Θεόγνιδος.

Περὶ κοινῶν διανοημάτων.

Κοινὰ διανοήματα λέγουσι τὰ δημώδη·
ἐγὼ δὲ τοὺς καθολικοὺς κατονομάζω λόγους.
τὰ δὲ κοινὰ νοήματα ἴδια πῶς ποιοῦμεν
ὁμολογίαν τοῦ κοινοῦ, ἤγουν τῷ λέγειν οὕτω·
λόγος τριγέρων παλαιὸς ἢ λόγος κοινὸς λέγει
τάδε καὶ τάδε, καὶ αὐτὸς προηγοῦμαι λέγειν.
Τὴν ἕνωσιν καὶ κόλλησιν ταυτὸν εἶναι μοι νόει·
ἄλλο τὴν παρῳδίαν, καὶ διάστασιν δὲ ἄλλο.
κόλλησις ὅλον προσφυὲς ἔπος ψιλῷ τῷ λόγῳ·
ὡς ἐξ αὐτοῦ τοῦ λέγοντος οὐκ ἐκ τοῦ ποιητοῦ δὲ,
οἷον ἐνάγων κατ' ἀνδρὸς φθορέως εἴπερ εἴ ω *[e].
ἄνδρες ὃ λέγω δικασταὶ κατ' ἀνδρὸς νῦν τοῦτο
παρθένον ἀφήρπασεν, ἀναινομένην τε δάμασε·
τοῦτο μὲν ἕνωσις καὶ κόλλησις ὡσαύτως.
μαθὼν δ' ἤδη τὴν κόλλησιν μάθε καὶ παρῳδίαν,
ἣ λέγει καὶ περίφρασιν, παρὰ γραμματικοῖς δὲ
ἥτις ἐστὶ περιτροπὴ τοῦ ὁλοκλήρου ἔπους.
ὡς εἴπερ τὸ Ὁμήρειον περιτροπὴν προφέρει
ἀφραίναις Θεόδουλε διοτρεφὲς, οὐδέ τι σε χρή—
ἔγνως ἤδη τὴν κόλλησιν ὁμοῦ καὶ παρῳδίαν,
μάθε καὶ τὴν διάστασιν, ἥτις ἐστὶ τοιάδε·
ἂν λέγῃς ὡς ἐκ ποιητοῦ, καὶ οὐχ ὡς σὸν τὸ ἔπος·
οἷον, ὡς εἴπῃ ποιητὴς ἢ ποιητὸν ὡς λέγω·
καὶ τότε θεὶς τὰ ῥητὰ διάστασίν μοι κάλει,
ἐπιφορὰν, ἐπαγωγὴν, ἐπένθεσιν καὶ χρησμούς.
κόλλησιν καὶ ἐν ἔπεσιν ἐξ ἄλλου δράσαις ἔπους,
ὥσπερ ποιεῖν εἰώθαμεν ἔν γε ταῖς ῥαψῳδίαις.

[e] Una saltem litera sub ω deesse videtur.

Περὶ τῶν κεκρατηκότων.

Περὶ κεκρατηκότων σοι πρώην παθῶν εἰρήκειν,
καὶ περὶ πάντων τῶν λοιπῶν μέχρι παντὸς τοῦ τέλους.
λοιπὸν ἐξαποτρέχοντες τῆς περιττολογίας,
ἐκεῖνο μόνον λέγωμεν οὗ περιττὸν φανέν τι
ἤ τι ἐναντιούμενον, εἴτε ταυτὸν ὑπάρχει.

Περὶ ὁμολογουμένων ἀδικημάτων.

Ταυτὸν ὁ Τζέτζης οἴεται καὶ τοῦτο τῷ προτέρῳ.
ὃς γάρ φησιν ὁμολογεῖ ἀδίκημα ὃ πράξει,
οὐκ ἀντιτείνει πάθεσι τοῖς προκεκρατηκόσι
τῷ φερομένῳ κατ᾽ αὐτὸν θυμῷ τε καὶ τῷ μίσει·
ὁμολογούμενα λύει δὲ ταῦτα καὶ ἐλεεῖται.

Περὶ τοῦ τραγικῶς λέγειν.

Σίγα καὶ σὺ καὶ Πλούταρχος καὶ πᾶς τοιάδε λέγων,
καὶ πᾶς πολίχνιον εἰπεῖν τὴν Ἴλιον τολμήσας.
Τζέτζης οὕτω τὴν ἅλωσιν λέγει παραλελεῖφθαι.
καθάπερ καὶ τῆς μήνιδος τὴν ἀληθῆ αἴτιαν
τὸν Παλαμήδους θάνατον λέγω τὴν Βρισηΐδα.
σκοπὸς ἐν Ἰλιάδι γὰρ καθέστηκεν Ὁμήρου
αἰνεῖν τὸν Ἀχιλλέα μέν, δευτέρως δὲ τοὺς ἄλλους.
ἐπεὶ δὲ παρεσπόνδησε φανεὶς τῶν ἐπιόρκων
τῷ Βρισηΐδος ἔρωτι καὶ ταύτην ἀποκρύπτει,
τοῦτ᾽ ἐπιγνόντες Ἕλληνες ἔκτειναν Παλαμήδη·
αἴτιαν ἐπιρρίψαντες ὡς σὺν αὐτῷ πορθοῦντες
τὴν Βρισηΐδα δ᾽ ἔλαβον καὶ ἄκοντος ἐκείνου.
ὁ Ὅμηρος δ᾽ ὢν πάνσοφος δεινότατος ῥητόρων,
ἄλλα μὲν πάντα γε σιγᾷ, τὰ δ᾽ ἄλλα μετατρέπει·
ἵνα σφῶν αἴρων τὸν σκοπὸν ἐπίορκον μὲν δείξῃ,
καὶ οὓς δευτέρως ἐπαινεῖ τῶν ἀνοσιωτάτων,
ὡς κτείναντας τὸν πάνσοφον ἐκεῖνον Παλαμήδη·
ἀπόρριπτον ποιήσῃ δὲ ποίησιν τὴν οἰκείαν,
καὶ τὴν Ἰλίου ἅλωσιν οὕτω παραλιμπάνει·

ὅπως ἂν μὴ τὸν θάνατον ἐρεῖ τοῦ Ἀχιλλέως.
ὁ Ἀχιλλεὺς γὰρ πρὸ αὐτῆς ἀπρεπέστερον θνήσκει.
οὕτως ἡ Τροίας ἅλωσις, οὗ λέγει πολιχνίου,
Ὁμήρῳ παραλέλειπται, οὐχ ὡς ὑμεῖς λαλεῖτε,
ὅπη πασιγνώστου γὰρ ψυρίας καταλέξας,
καὶ τῶν Θηβῶν τὴν πόρθησιν τῶν Κιλικίων γράψας,
καὶ μὴ καθολικώτερον εἰπὼν ἐν τῷ ἐκεῖσε,
καὶ περὶ Τροίας ἀφανοῦς ἂν εἶπε πολιχνίου.

Περὶ Ἀμφιβολίας.

Ἀμφιβολίαν οὐδαμῶς ἐν τοῖς ἀρχαίων βίβλοις
εἶναι φησὶν ὁ τεχνικὸς, ἐγὼ δ' ἐθέμην ἔπος·
τοῖς οὐκ ἐρχομένοις ὁ γέρων ἐκρίνετ' ὀνείρους·
ἐξ οὗ πρὶν ἔδειξα τρανῶς κ' ἂν ταῖς ἀρχαίων βίβλοις
ἀμφιβολίαν φέρεσθαι, μὴ παντέλως ἐκλείπειν.
τὰ πλείους δ' ἐξελέγχεσθαι οἷς Ἑρμογένης εἶπεν.

Περὶ Δημηγορίας.

Τὸ λυπηρὸν ὠθούσης δὲ πῶς τῆς παραμυθίας.
καὶ τοῦτο γὰρ τὸ αὐτὸ δοκεῖ μοι πεφυκέναι,
ὃ περὶ τῶν παθῶν εἶπε πρὶν τῶν κεκρατηκότων.
πρὸς τὰ κρατοῦντα πάθη γὰρ φησὶ μὴ ἀντιτείνειν,
παραμυθεῖσθαι δ' ἄκοντα μιμήσει τοῦ Ὁμήρου.

Περὶ Ἀποφάσεως.

Τοῦ πλείονος παράδειγμα φησὶν ὁ Ἑρμογένης
τὸ, οὗ μιν ἀφαυρότερος ἔβαλε τῶν Ἑλλήνων·
οὐκ ἄρα τούτους κατιδὼν ὁ Ἀχιλλεὺς ἐχάρη.
νῦν γὰρ τῆς καταφάσεως δηλοῦν φησὶν τὸ πλέον,
ἤγουν ὁ ἰσχυρότερος καὶ λίαν ἐλυπήθη.
ἐγὼ καταιτιῶμαι τὸν ῥήτορα οὐδόλως,
ἐξ ἔθους ὀλισθαίνοντα ληθαργικῷ τῷ πάθει.
τοῖς τούτῳ πειθομένοις καὶ καθάπερ ἀναισθήτοις
δριμὺς εἰμὶ καὶ φορτικὸς, οὕτω βοῶν καὶ λέγων·

ποῦ νῦν ὦ γενναιότατοι ἀπόφασις ἣν λέγει,
ἢ τοῦ οὐδ' ἄρα κατιδὼν ὁ 'Αχιλλεὺς ἐχάρη,
μεῖζον τῆς καταφάσεως δύναται τῆς οἰκείας.
σκοποῦντι πάλαι μὲν ἐμοὶ δοκεῖ τὸ μνῆσθαι
φέρειν πολὺ τὸ ἔλαττον τοῦ λυπήθη λίαν.
ὃ περὶ ἀποφάσεως νῦν 'Ερμογένης εἶπε,
σχῆμα καλεῖται ῥήτορσι τοῖς πρὶν ἐξ ἐναντίου,
καὶ περιέχει σύμπαντα τὰ τούτῳ λελυμένα.
τὸ ἀφανὲς τῷ φανερῷ πάντως γὰρ ἐναντίον,
ὁ ἄφρων τῷ φρονίμῳ δὲ, τῷ ἀφαυρῷ ἰσχύων.
καὶ τὸ μὴ γεγηθέναι δὲ τῷ χαίρειν ἐναντίον.
κατάφασις, ἀπόφασις ἀεὶ γὰρ ἐναντίαι.
ἀντὶ γοῦν καταφάσεως εἰ χρή σοι ἀποφάσει
μεθόδῳ γράφεις τεχνικῷ καὶ τρόπῳ δεινοτήτων,
ὡς εἴπερ γράφεις καὶ λοιποῖς οἷς περ εἰρήκει τρόποις.
οὕτω μὲν ταῦτα, καὶ χρεὼν ἡμᾶς σεσιγηκέναι,
τὸν πένταθλον πληρώσαντας ῥητορικῶν ἀγώνων.

EXCERPTA RHETORICA.

Exc. e Cod. Bodl. Ol. Saibant. Auct. T. v. 6.

ΠΕΡΙ ποδῶν τοίνυν πάσης ἰδέας ἐκθέμενοι καθάπερ Ἑρμογένει δεῖν ᾠήθημεν, καὶ τῆς περὶ τοῦ Λαχάρου[f] ἐκθέσθαι, ὡς ἂν δι' αὐτῶν παράδειγμα λαβόντες τὰ μετρηθέντα ὑπ' αὐτοῦ κῶλα Πλάτωνος[g] καὶ Θουκυδίδου τὰ ἐν τῷ ἐπιταφίῳ, καὶ Δημοσθένους τὰ ἐν τῷ περὶ τοῦ Στεφάνου· τούτων ἀκρίβως νοηθέντων καὶ τῆς ἰδέας γνωσθείσης ὁποιά ἐστι, ὅτι ἀξιωματικὴ καὶ λαμπρὰ καὶ τῶν λοιπῶν ἰδεῶν τῆς καθαρᾶς καὶ τῆς σεμνῆς. Ἔστι δὲ τῆς ἰδέας καὶ τοῦ ὡραίου καὶ κεκαλλωπισμένου λόγου καὶ τῶν λοιπῶν, ῥαδίαν εὕρωμεν ἑκάστου ῥήτορος λόγον τὴν ἀναμέτρησιν, καὶ μάλιστα τοῦ καθηγεμόνος.

Ἔστω δὲ πρῶτον παράδειγμα τὰ Θουκυδίδεια κῶλα· εἰ γὰρ μὴ εἴη ὑπὲρ μέτρον τὰ τῶν ῥητόρων σκέμματα, κινδυνεύει τῆς τέχνης τὸ χρήσιμον συμπνίγον τὸν λέγοντα, μὴ περὶ τοῦ γνωριζομένου, ἀλλ' ἀγχοῦ νύσσης τρέχοντος τοῦ δρομέως μέχρις ἂν εἰς κρημνὸν ὡς οἷα καταντήσαντος, ἢ ἄλλου τινὸς ἐπιπροσθοῦντος κατὰ πρόσωπον συναπαντήσῃ, οὐκ ἀκριβολογηθήσεται τὸ μέτρον ἐν παντὶ μέρει τοῦ κώλου, ἀλλὰ γνωσθείσης τῆς τελευτῆς. Αἱ μὲν ἀρχαὶ καὶ τὰ τέλη ὀφείλουσι τῆς ἰδέας αὐτῆς οὐ τὸ κῶλον ἀκριβῶς εὑρίσκεσθαι, καὶ λίαν τῇ αἰσθήσει γνωρίζονται· τὰ δὲ μέσα οὐκ ἀκριβολογηθήσεται ὡς ὑπὸ τῶν ἑκατέρων μερῶν συγκαλυπτομένης τῆς μεσότητος, καὶ λανθανούσης τῆς παραλλαγῆς· διὰ τοῦτο εἰ τύχοι ἑτέρως ἰδέας εὑρίσκεσθαι πόδας ἐν αὐτῇ β' ἢ γ· οἷον τῇ σεμνότητι τῆς καθαρότητος, ἢ ἐν τῷ κεκαλλο-

[f] Λαχώρου Cod. [g] $\overset{\text{τνι}}{\text{Πλα}}$ Cod.

πισμένῳ τῆς περιβολῆς οὐδὲν λαμβανεῖται τῷ λόγῳ· τοῦτο γὰρ εὕροις καὶ παρ' αὐτῷ τῷ ῥήτορι· μήτιγε παρ' ἄλλῳ τῶν οὐχ οὕτως ἀκριβολογησαμένων περὶ τὴν τοῦ λόγου εὐρυθμίαν καὶ θαυμαζομένην ἁρμονίαν.

Ἄρξομαι δὲ οὕτω, περιστίξας τοὺς πόδας οὐ κατὰ τὰ παρὰ τῶν λεξέων, ἀλλὰ κατὰ τὰ τέλη τῶν ποδῶν, ὡς ἂν καὶ τοῖς εἰσαγομένοις εὐμαρὴς εἴη ἡ περὶ αὐτῶν γνῶσις· πρὸς μέντοι τοῖς φυσικοῖς θ' ποσὶν, προσθείην καὶ τοὺς λοιποὺς η', ὧν ὁ Λάχαρος μέμνηται· ὁμῶς οὖν κρεῖσσον ἅμα συνάψαντας πάντων νῦν μνησθῆναι, ἵνα μὴ κερματιζόμενοι ἐν διαφόροις τόποις ἀσάφεις παρέχωσι τοῖς ἀναγινώσκουσιν.

Εἰσὶ τοίνυν πόδες εὑρισκόμενοι ἐν τῷ πεζῷ λόγῳ, ἄλλοι ἐν ἄλλαις ἰδέαις, οἵδε· σπονδεῖος, ἴαμβος, τροχαῖος. Δεῖ δὲ γινώσκειν ὡς ἀντὶ τροχαίου ὑπεισέρχεται χορεῖος, διαλυομένης τῆς ἐν τῷ τροχαίῳ μακρᾶς ἢ μετὰ ἰάμβου κειμένης ποιεῖ χοριαμβικὸν μέτρον· ἀλλὰ καὶ ἰάμβου διαλύεται ἡ μακρὰ, καὶ γίνεται χορεῖος. ὁ γὰρ τροχαῖος καὶ ὁ ἴαμβος δυνάμει χορεῖοί εἰσιν· εἶτα δάκτυλος, ὃς καὶ αὐτὸς διαλύων τὴν μακρὰν, ἡνίκα χρεία εἴη, γίνεται προκελευσματικός. ἀνάπαιστος ⏑ ⏑ – βάκχειος = ⏑ παλιμβάκχειος = ⏑ ἀμφίμακρος, ὃ καὶ κρητικὸς καλούμενος – ⏑ – μολοττὸς ≡. τετρασύλλαβοι δὲ οἵδε· παίων α' – ⏑ ⏑ ⏑ παίων τέταρτος ⏑ ⏑ ⏑ – ἰωνικὸς ἀπ' ἐλάττονος ⏑ ⏑ =. ἐπίτριτος πρῶτος ⏑ ≡ ἐπίτριτος δεύτερος ⏑ – ⏑ =. ἐπίτριτος τρίτος = ⏑ –. διίαμβος ⏑ – ⏑ –. δισπόνδειος ≡. Δεῖ δὲ γινώσκειν ὅτι δύο βραχεῖαι συναιροῦνται εἰς μίαν μακράν· καὶ ἡ μία μακρὰ εἰς δύο βραχείας διαλύεται· καὶ τοῦτό σοι ἔστω κανών· ἡνίκα χρεία γένηται ἐκ περισσοτέρων συλλαβῶν ὀλιγοτέρας εὑρεθήσεσθαι καὶ ἐξ ὀλίγων πλείονας· ἀλλὰ καὶ τοῦτο μὴ διαλανθανέτω, ὡς αἱ θέσει μακραὶ ἀνεμποδίσεως συντέλλονται, ἀλλὰ καὶ τὸ ⏑ καὶ τὸ ⏑· τὸ μέντοι ὡς φύσει διογκοῦν τὸ στόμα καὶ εὐφωνότεραν ποιεῖ τὴν συλλαβήν. Ἔστι δὲ διαφορὰ ἐν τοῖς συμφώνοις· ἃ μᾶλλον ἀξιωματικώτερον καὶ μεγαλοπρεπῆ τὸν λόγον ἀποτελοῦσι· πρῶτον μὲν τὰ

διπλᾶ· εἶτα δεύτερα τὰ δασέα, καὶ μετὰ ταῦτα τὰ μέσα. εἶθ' οὕτως τὰ ἀμετάβολα εἶτα δὲ καὶ ψιλά· καὶ τούτων οὕτως ἐκδηλωθέντων, δεῖ εἰδέναι ὅτι ὥσπερ τὸ δακτυλικὸν μέτρον γνώριμον ἔχει τὸν στίχον, καὶ τὸ ἰαμβικὸν ὡσαύτως καὶ τὸ τροχαϊκόν· τὰ γὰρ ἕτερα πολύμικτα ὄντα οὐκ ἔχει ἓν πέρας. ἀλλὰ τὰ μὲν δισύλλαβα, τὰ δὲ τριῶν ἢ τεσσάρων ἢ καὶ ἕως ἕπτα καὶ περαιτέρω· τὸ μέντοι ἰαμβικὸν, ὡς εἴρηται, τὸ καθαρὸν συλλαβῶν ιβ' ὁμοίως καὶ τὸ τροχαϊκὸν, τὸ δὲ δακτυλικὸν συλλαβῶν ιζ'· καὶ οὐδεὶς ὑπερβαίνει, οὔτε τὸ ιβ' ἐν τῷ ἰαμβικῷ, οὔτε συνάπτεται τῷ τέλει τοῦ στίχου μέρος ἕτερον στίχου· ἀλλ' οὔτε ἐν δακτυλικῷ· ἀλλὰ καὶ ἐν τοῖς διμέτροις καὶ τριμέτροις τὸ αὐτὸ εὑρίσκεται· κἂν ἕτερος στίχος καὶ βραχύτερος εἴη, οὕτως καὶ ἐν τῷ πεζῷ λόγῳ, εἴ τις βούλοιτο μετρεῖν τινα λόγον ῥητορικὸν μὴ ὑπερβαίνειν τὸ κῶλον, ἢ τὸ κόμμα ἢ τὸν ἐπῳδὸν, κατὰ περίοδον γίνεται ἡ μέτρησις, ἀλλὰ καὶ κατὰ πνεῦμα· ἀλλ' ὡς εἴρηκε κατὰ κῶλον, ὡς δειχθήσεται ἔκ τε τῶν τοῦ Λαχάρου[h] παραδειγμάτων, καὶ ἐξ ὧν μετρικῶς σοι θήσομαι· τὸν ὅλον Δημοσθενικὸν λόγον, τὸν ἐπιγράφοντα πρὸς τὴν ἐπιστολὴν Φιλίππου· τοῦτον γὰρ στίξομεν σὺν Θεῷ φάναι κατὰ κῶλον καταντήσαντες εἰς τὴν προσότητα τῶν κώλων κατὰ τὸν ἀριθμὸν ἐγκείμενον ἐν τοῖς ἀρχαιοῖς βιβλίοις, ὡς ἐμέτρησεν αὐτὸς ὁ Δημοσθένης τὸν ἴδιον λόγον.

Εἴπωμεν οὖν πρῶτον Λαχάρου τεχνολογίαν, ἣν ἐκ τοῦ Διονυσίου παρείληφεν—

Οἱ μὲν πολλοὶ τῶν ἔνθαδε εἰρηκότων, ἐπαινοῦσι τὸν προσθέντα τῷ νόμῳ τὸν λόγον τόνδε· ὡς καλὸν ἐπὶ τοῖς ἐκ τῆς πόλεως θαπτομένοις ἀγορεύεσθαι αὐτόν—

μετρεῖται δὲ οὕτως.

Οἱ μὲν πολλοὶ τῶν ἐνθά δε εἰ ρη κο των δυο ἐπαινοῦσι τὸν προσθέντα τῷ νόμῳ λόγον τόνδε.

(εἶτα τὸν τρίτον κῶλον)·

ὡς καλὸν ἐπὶ τοῖς ἐκ τῶν πολέμων θαπτομένοις ἀγορεύεσθαι αὐτόν.

h Λαχώρου Cod.

τετράμετρον ὑπερκατάληκτον διὰ τὴν περιττεύουσαν συλλαβήν· εἶτα Πλατωνικὸν ῥητόν·

Ἔργῳ μὲν ἡμῖν οἵδε ἔχουσι τὰ προσήκοντα σφίσιν ἀνθρώποις.

τετράμετρον καταληκτικὸν, κατὰ διποδίαν βαῖνον· εἶτα τὸ δεύτερον κῶλον·

ὧν τυχόντες πορεύονται τὴν εἱμαρμένην πορείαν.

τρίμετρον ἀκατάληκτον, διὰ τὸ εἰς τέλειον πόδα λήγειν.

Δημοσθενικὸν ἐκ τοῦ λόγου τοῦ περὶ Στεφάνου.

Πρῶτον μὲν ὦ Ἄνδρες Ἀθηναῖοι[1] τοῖς θεοῖς εὔχομαι καὶ πάσαις.

τοῦ δὲ δευτέρου κώλου·

ὅσην ἔννοιαν ἔχων ἐγὼ διατελῶ τῇ τε πόλει καὶ πᾶσιν ὑμῖν.

τρίμετρον ὑπερκατάληκτον τοῦ δὲ τρίτου κώλου·

τοσαύτην ὑπαρξάμενος παρ' ὑμῶν εἰς τουτονὶ τὸν ἀγῶνα.

τρίμετρον ἀκατάληκτον· τοῦ δὲ τετάρτου κώλου·

ἐπείθ' ὅπερ μάλιστά θ' ὑπὲρ ἡμῶν καὶ τῆς ἡμετέρας εὐσεβείας καὶ δόξης.

τετράμετρον ὑπερκατάληκτον· πέμπτον·

τοῦτο παραστῆσαι τοὺς θεοὺς ὑμῖν·

δίμετρον ὑπερκατάληκτον· ἕκτον κῶλον·

μὴ τὸν ἀντίδικον σύμβουλον ποιήσασθαι περὶ τοῦ πῶς ἀκούειν ὑμᾶς ἐμοῦ δεῖ.

καταληκτικὸν εἰς συλλάβην· εἶτα ἕβδομον κῶλον·

σχέτλιον γὰρ ἂν εἴη τοῦτόγε·

δίμετρον ἀκατάληκτον· ὄγδοον κῶλον·

ἀλλὰ τοὺς νόμους καὶ τὸν ὅρκον·

δίμετρον ἀκατάληκτον· ἔννατον κῶλον·

ἐν ᾧ πρὸς ἅπασι τοῖς ἄλλοις καὶ τοῦτο γέγραπται.

τρίμετρον ὑπερκατάληκτον εἰς συλλαβήν· δέκατον κῶλον·

τὸ ὁμοίως ἀμφοῖν ἀκροᾶσθαι.

δίμετρον ἀκατάληκτον. ἑνδέκατον κῶλον, ἤτοι κόμμα· τοῦτο δέ ἐστι μονόμετρον ἀκατάληκτον δωδέκατον·

οὐ μόνον τὸ μὴ προκατεγνωκέναι μηδέν·

[1] Cod. ὦ ἀθ.

τρίμετρον ἀκατάληκτον εἰς συλλαβήν· τρισδέκατον κῶλον·
οὐ δὲ τὸ τὴν εὔνοιαν ἴσην ἀμφοτέροις ἀποδοῦναι·
τρίμετρον ὑπερκατάληκτον· τεσσαρακαιδέκατον κῶλον·
ἀλλὰ καὶ τὸ τῇ τάξει καὶ τῇ ἀπολογίᾳ·
τρίμετρον βραχυκατάληκτον· πεντεκαιδέκατον κῶλον.
ὡς βεβούληται καὶ προείρηται τῶν ἀγωνιζομένων ἕκαστα.
τετράμετρον καταληκτικὸν εἰς συλλαβήν· ἑκκαιδέκατον κῶλον.
οὕτως ἐᾶσαι χρήσασθαι·
δίμετρον καταληκτικὸν εἰς συλλαβήν.

Ταῦτα παρεθέμεθα εἰς ἔνδειξιν ὑποδείγματος μέτρου ῥητορικῶν σκεμμάτων.

Μέθοδος προσφωνητικὴ λόγου [i].

Νῦν χρεία τοὺς προσφωνητικοὺς ἐξεύρηκεν· ἡ δὲ ὑπόθεσις ἔστιν αὐτῶν τοιαύτη· παρακατάθεσθαι τὴν πατρίδα τοῖς ἄρχουσι· τὰ δὲ κ̄ε κ̄ε ἀνάγκη τῶν πεμψάντων βασιλέων ἔπαινον ποιήσασθαι, ἀπὸ πάντων μὲν τῶν ἐθνῶν, μάλιστα δὲ τούτου περὶ οὗ ὁ λόγος τῆς πόλεως. Ἀνάγκη δὲ καὶ αὐτοῦ τοῦ πεμφθέντος ἄρχοντος ἔπαινον εἰπεῖν καὶ διορᾶν τὰ προσόντα ἀφ᾽ ὧν ἦρξεν· ἐπαίρειν δὲ πρῶτον ὡς καταπέμφθη σὺν ἐπαίνῳ πρὸς εὐνομίαν καὶ εὐδοκίαν παρακαλεῖν. Τρίτου κεφαλαίου ὁ τῆς πόλεως ἔπαινος, οὐχ ἁπλῶς εἰσακτέος, ἀλλὰ μετὰ τοῦ προτρέπειν πρὸς εὔνοιαν τὸν ἄρχοντα· ἀγαθὸν γὰρ αὐτὸν φήσομεν, καὶ πόλεως ἐπιφανοῦς ἄρχον. Καὶ ἐνταῦθα ἀπὸ τοῦ γένους τῆς πόλεως ὁ βίος ἐξετασθήσεται ἐν βραχεῖ. Προσθήσει δὲ καὶ τὸ ἴδιον αὐτοῦ ὁ λέγων· ἢ τὸ πρὸς τὸν ἀρχόμενον· ἵνα ἔχῃ συναγωνιστὴν τὸν ἄρχοντα τῶν εὐδοκιμούντων, καὶ αὐτὸ τοῦτο ἀνεπαχθῶς συνιστᾶν.

Κατάληξίς ἐστι λόγος γνῶσις ἀκριβῆ μετὰ αἰτιῶν τῶν ὑποκειμένων περιέχων. Ἐμπειρία ἐστὶ λόγος ἐκ πλειόνων ὁμοίων καταλήξεων τὴν γνῶσιν ποιούμενος. Διαίρεσίς ἐστι λόγος τομὴν ἀκριβῆ τῶν ὑποκειμένων μετὰ ἀκριβείας ἀπεργαζόμενος. διαφέρει δὲ συγκοπῆς, ὅτι εἰ καὶ ἡ συγκοπὴ

[i] Hæc habet Cod. ad calc. Opusc. Maxim. περὶ ἀλυτ. ἀντιθ.

τομὴ τίς ἐστι, ἀλλ' οὖν συγκεχυμένη καὶ οἷον ἀδιάφθαρτος.

Fol. 83. In Hermog. Στασ... βουλεύονται Ἀθηναῖοι εἰ χρὴ θάπτειν τοὺς ἐν Μαραθῶνι. Πεσόντας τῶν βαρβάρων. Schol. Εἰς τὸ αὐτὸν Ἡροδότου. Ἱππίας ὁ Πεισιστράτου, ἐκβληθεὶς τῆς τυραννίδος παρ' Ἀθηναίων, ἔπεισε Δαρεῖον πολεμεῖν Ἀθηναίοις· ὁ δὲ πέμπει λ' μυριάδων στρατὸν, οἵγε ἐν παράπλῳ Νάξον ἀνήρπασαν, καὶ Ἐρέτριαν κατασκάψαντες, τοὺς αἰχμαλώτους ἀνέπεμψαν Δαρείῳ, εἰς οὓς ἐστιν ἐπίγραμμα Πλάτωνος.

Εὐβοέων γένος εἰμὲν Ἐρετρικὸν, ἀγχὶ δὲ Σούσων
κείμεθα φεῦ ἄἲης [k] τόσον ἀφ' ἡμετέρης.

οἱ δὲ Ἀθηναῖοι ἔπεμψαν Φιλιππίδην ἡμεροδρόμον παρακαλοῦντας συμμαχεῖν Λακεδαιμονίους· οἱ δὲ Λακεδαιμόνιοι ἔφασαν διὰ τὸ μὴ εἶναι κατὰ τὸν νόμον πανσελήνιον ἐφ' ᾧ καὶ τὰ κατὰ τὸν Πᾶνα· οἱ δὲ εἵλοντο στρατηγὸν Μιλτιάδην τὸν Κίμωνος, ὃς εὐθὺς στρατολόγησας ἐνακισχιλίους Ἀθηναίους παρεγένετο εἰς Μαραθῶνα· εἰς ὃν τόπον ἐστρατοπέδευσαν οἱ βάρβαροι ἀπέχοντα ἀπ' Ἀθηνῶν [l] σταδίους τ, δυσίπαστον ἔχοντα πηλούδιον [m] καὶ τενάγη καὶ λίμνας. καὶ συμβαλὼν ἐνίκησε, τοὺς μὲν ἀποκτείνας, τοὺς δὲ τρέψας. θάψας δὲ τοὺς πεσόντας τῶν βαρβάρων ἔστησε τρόπαιον· ἦν δὲ ὁδὸς τῶν τριῶν νυχθημέρων σταδίων ᾳφ.

[k] Cod. pot. ἀῖον sed scriptura evanida est.

θθ ΔΔ —
[l] Cod. ἀπ'ά, στα τ.

[m] Incert. an πηλούδιον aut πηλούσιον.

EXCERPTA RHETORICA.

Excerp. e Joann. Doxopatr. Comment.

In Hermog. π. εὑρ. Lib. I. Cod. Barocc. 175. f. 16, v.

Περὶ Προοιμίων.

Εἰ δὲ φαῦλον εἴη τὸ πρᾶγμα τὸ γεγενημένον.

Καὶ ὁ Λιβάνιος ἐν τῷ παρόντι[m] ζητήματι μελετῶν κατὰ τὸν παρόντα τρόπον προοιμιάσατο· "εἶδω[n] ὑμᾶς ὦ ἄνδρες "πολῖται καὶ τοῖς ἀτυχοῦσι τῶν πολιτῶν συναχθομένους "καὶ πρὸς τὴν ἀγνώμονα καὶ πονηρὰν[o] τύχην ἐναντίως δια- "κειμένους, σωτηρίαν μὲν οὐδ' ἥν τινα οὖν, οὐ δὲ ἀσφάλειαν "αἰτήσων πάρειμι, καὶ ἔγνωσμαι ἐπὶ τοῖς ἐσχάτοις· καὶ "δεῖσθαι καιρὸς περὶ τούτων οὐκέτι ἄλλα δὲ παρ' ὑμῖν διη- "γησόμενος ἥκω, ἃ τοῖς τυχοῦσιν εἰς σωτηρίαν περιλέ- "λειπται· τουτέστι, τὴν τῆς ἐνεγκούσης ἀλλοτρίωσιν· εἰς "τοῦτο γὰρ ἤδη τά με περιέστηκε πράγματα ὥστε τὴν "ἀειφύγιαν ἐν μέρει τῆς μεγίστης φιλανθρωπίας νῦν παρ' "ὑμῶν αἰτεῖν, ἢ ἑκάτερα πάσχειν."

Ibid. fol. 17. r. *Ἄχθεσθαι μὲν ὑμᾶς ὦ ἄνδρες δικασταὶ καὶ δυσχεραίνειν· ἐπὶ τοῖς γεγενημένοις.*

Ὅμοιον τῷ παρόντι προοιμίῳ εὗρον παρὰ τῷ Λιβανίῳ ἐκείνῳ τῷ ζητήματι, κατέλευσαν Πίνδαρον Θηβαῖοι ἐπὶ τῷ τοὺς Ἀθηναίους ἐγκωμιάσασθαι, καὶ γράφει τις τοῖς Ἀθηναίοις στρατεύειν ἐπ' αὐτοὺς τοὺς Θηβαίους· οἰκτείρει μὲν τὸν Πίνδαρον ἐφ' οἷς ἔπαθε παρὰ τῶν Θηβαίων, μισεῖν δὲ τοὺς Θηβαίους ἐφ' οἷς ἔδρασαν κατὰ τοῦ Πινδάρου. τὸν κατὰ Θηβαίων λόγον ὁ σοφιστὴς[p] μελετῶν· κατὰ τὸν παρόντα

[m] παρὸν Cod. [n] Cod. εἰδώ. [o] πονηρὰ Cod. [p] σοφιστὴν Cod.

τρόπον τὸν ἐκ τῆς ὑπολήψεως τοῦ πράγματος προοιμίων προοιμιάσατο οὕτως. “ Ὁρῶν ἐγὼ πάντας ἀχθομένους, καὶ τὸ “ Πινδάρου πάθος ἀτύχημα ἴδιον ἡγουμένους· καὶ Θηβαίους “ μὲν ἐφ᾽ οἷς τετολμήκασι μισοῦντας, Πίνδαρον δὲ ἐφ᾽ οἷς “ πέπονθεν ἐλεοῦντας, δεῖν ἡγησάμην Θηβαίους πολεμεῖν.”

Fol. 62. r. Καὶ ὁ Λιβάνιος δὲ τὸν συμβουλεύοντα τοῖς Ἀθηναίοις πόλεμον πρὸς Θηβαίους ψηφίσασθαι ὅτι τὸν Πίνδαρον ἀπέκτειναν τὰς Ἀθήνας ἐγκωμιάσαντα μελετῶν, οὐκ ἠκολούθησε τοῖς τοῦ τεχνικοῦ κανόσιν ἐν τῇ προδιηγήσει· σκόπει γὰρ καὶ πῶς παρ᾽ ἐκείνῳ ἔχει ἐν τούτῳ τῷ λόγῳ τὰ προδιηγήσεως ἅμα καὶ τὰ τῆς διηγήσεως. “Δεινὸν Πίνδαρον “ μὲν τεθνηκέναι δι᾽ ὑμᾶς, ὑμᾶς δὲ μὴ πολεμῆσαι διὰ Πίνδα-“ ρον. Πίνδαρος ὁ Βοιώτιος· οὐ γὰρ αὐτὸν δεῖ λέγειν Θη-“ βαῖον, ἐπεὶ μὴ δὲ ἔπρεπεν αὐτῶν τῇ πόλει τοιοῦτος πολίτης· “ ὃς ἐκ πρώτης ἡλικίας τὴν μὲν Θηβαίων ὠμότητα καὶ ἀπαι-“ δεύσιαν ἔφυγε, τραφεὶς δὲ παρ᾽ ἡμῖν καὶ παιδευθεὶς καὶ “ μυηθεὶς, καὶ πάντων ἀπολαύσας τῶν τῆς πόλεως καλῶν, γνή-“ σιον πολίτην τῇ πρὸς ἡμᾶς τιμῇ ποιήσας αὐτὴν γνώμῃ “ καὶ φύσει ἥνικα τῆς ποιήσεως ἤρξατο. καὶ δόξης ἔτυχε “ παρὰ τοῖς Ἕλλησιν ἀγαθῆς καὶ τὴν εἰς τοὺς θεοὺς εὐσέ-“ βειαν ἐπεδείξατο· καὶ τὴν εἰς τοὺς ἀνθρώπους δικαιοσύνην “ καθέκαστον κοσμήσας τὰς πόλεις πᾶσιν ἐγκωμίοις· ἠθέλησε “ καὶ τὰς Ἀθήνας ἐκτίσειν χάριν τῶν τε τροφείων καὶ τῆς “ παιδεύσεως, καὶ τὴν ἐν ταύτῃ δυνατὴν ἐξέτισε, μέλος ἓν “ ῥάψας τοῖς ἑαυτοῦ ποιήμασιν, ἀληθὴς μὲν, ἀειδὴς δὲ Θη-“ βαίοις, ὁποῖον εἰς οὐδένα Ἕλληνα οὐδὲ μίαν πόλιν· οὐδὲ εἰς “ τὴν ἑαυτοῦ πατρίδα· οὐδὲ γὰρ ᾔδει τηλικούτων αὐτὴν ἐγκω-“ μίων ἀξίαν. ἱκανὸν δὲ Θηβαῖον ἐγκώμιον ἔδοξεν, ἂν μητέρα “ προείπῃ τὴν πόλιν, καὶ τὸν δῆμον χρύσασπιν[q]· ταῦτα γὰρ “ Θηβαίοις ἤρκει παρὰ Πινδάρου· εἰς δὲ τὴν ἡμετέραν πόλιν, “ οἷον ᾖδε μέλος, τί με δεῖ καὶ λέγειν; ἴστε γὰρ πάντες αὐτὴν, “ καὶ κατὰ τὴν πόλιν ᾄδεται· οἱ μὲν ἄλλοι πάντες ἀκούσαντες

[q] χρύσαπιν Cod.

"τὸ ἀληθὲς ἐπήνεσαν τὸν εἴποντα· μόνοι δὲ Θηβαῖοι φθονή- "σαντες ἡμῖν εὔνοιαν τῆς παρὰ Πινδάρου, καὶ Πινδάρῳ τῆς "παρ' ἡμῶν ἠγανάκτησαν, καὶ τὴν ἄδικον ὀργὴν οὐ κατέσχον· "ἀλλ' ὃν εἶχον φθόνον ἐκ παλαιοῦ, τοῦτον ἐξέφηναν ἐπὶ Πιν- "δάρῳ· καὶ οὐκ ἠξίωσαν, ἀπέκτειναν δὲ αὐτὸν χαλεπῷ θανάτου "τρόπῳ, λίθει δήμιοι πάντες Πινδάρῳ γινόμενοι· τοῦτο γὰρ "Θηβαίους σύνηθες· οὔτε θεοὺς φοβηθέντες οὓς Πίνδαρος "ὕμνησεν, οὔτε πόλεις αἰδεσθέντες ἃς ἐπήνεσεν· οὐκ ἀνδρῶν "ἀγαθῶν λόγον ποιησάμενοι ὧν ἐγκώμια πολλὰ καὶ σεμνὰ "ᾖσεν ὁ Πίνδαρος· καὶ νῦν κεῖται νεκρὸς ἄταφος ὑπὸ τοῦ "δήμου πεφονευμένος· οἱ δὲ τὸν νεκρὸν ἰδόντες Ἕλληνες, "παρῆσαν γὰρ τῷ φθόνῳ πολλοὶ, ἕνα καὶ τὸν αὐτὸν ἅπαντες "εἶπον λόγον· δι' Ἀθηναίους ἀπώλετο, Πίνδαρος, οὐδ' ὑμᾶς, "ἄνδρες Ἑλλήνων, οὐδ' ὑμᾶς μηδὲ προσάπτεται ἀσεβὲς ἔργον "καθαρᾷ πόλει· διὰ τὴν Θηβαίων ἀσέβειαν καὶ ἀπαιδευσίαν "καὶ ἀμουσίαν, καὶ τὸν ἄδικον αὐτῶν τρόπον, διὰ τὸν πρὸς "ἡμᾶς φθόνον, καὶ διὰ τὴν πρὸς τοὺς Ἕλληνας ἔχθραν· ταῦτά "σε ἀπώλεσε Πίνδαρος· ταῦτά σοι γέγονε συμφορᾶς αἴτια· "κωλυθέντες δὲ καὶ ἡμεῖς ἐκτίσαι ζῶντι, τιμωροῦμέν σοι "τεθνεῶτι."

Fol. 47. Ἐκεῖνο προοίμιον παρὰ τῷ Λιβανίῳ ἐν τῷ ζητήματι, ἐν ᾧ γράφει τις στρατεῦσαι τοὺς Ἀθηναίους κατὰ Θηβαίων ἀποκτεινόντων τὸν Πίνδαρον ἐπὶ τῷ τῶν Ἀθηναίων ἐγκωμίῳ. "τὴν μὲν Θηβαίων τόλμαν ἀκοῇ μεμαθήκαμεν" τοῦτο ἡ πρότασις· εἶτα ἡ κατασκευή· "καὶ γάρ ἐστι "τοσαύτη τὸ μέγεθος, ὥστε μὴ μόνον πρὸς ἡμᾶς τοὺς γεί- "τονας, ἀλλὰ καὶ πρὸς τοὺς μακρὰν τῆς Βοιωτίας διηγ- "γέλθαι."

Fol. 64. Ὀφειλομέν φησι πρῶτον ζητεῖν τὰ πρεσβύτερα ἐγκλήματα. εἶτα ἐκ τούτων ἐκεῖνα μόνα εἰς τὴν προδιήγησιν λαμβάνειν, ὅσα συγγενιάζει τῷ προκειμένῳ ἐγκλήματι· ἤγουν εἰς ἀσέβειαν τείνουσι. Σημείωσαι δὲ ὅτι τούτῳ τῷ κανόνι ἠκολούθησεν ὁ Λιβάνιος ἐν τῷ τοῦ Ἀλκιβιάδου

ζητήματι τοῦ κρινομένου ἀσεβείας, ὅτι δᾳσὶ μυστικαῖς ἐκώμασεν· ἐν τούτῳ τὸν κατήγορον ὁ σοφιστὴς μελετῶν ἀπὸ τῶν πρεσβυτέρων ἀσεβημάτων ἤρξατο λέγων. "Εὐφόρησε ποτὲ ἀγαθῶν ἀνδρῶν ἡ πόλις· τούτοις ἀντίπαλον κακὸν ἐτέχθη ὁ Ἀλκιβιάδης. τί γὰρ οὐκ ὑπερβληται κακὸν τὸ τοῖς νόμοις μεμισμένον; τίνα δὲ οὐκ ἐπελήλυθεν ὅδον ἀναιδείας; εὐθὺς μὲν οὖν ἐκ παίδων ὡραῖος εἶναι βουλόμενος, καὶ μέγαλα φρονῶν ἐπὶ τῷ κάλει τοῦ σώματος, ἐραστῶν χορὸν ἐξηρτημένος, καὶ πρεσβυτέροις ἑαυτοῦ καὶ ἀκολάστοις φίλοις χρώμενος· ὧν ἑκάστου τὴν οἰκίαν ᾤκει κατὰ μέρος· νύκτας ὅλας ἄλλοις χαριζόμενος, καὶ ταμιευόμενος τὰς[r] ἡδονὰς, ἐκπηδῶν μὲν ἀεὶ τῆς τοῦ πατρὸς οἰκίας· καταλείπων δὲ βοῶντας αὐτοῦ τοῦ σώματος ἐπιλαμβανομένους τοὺς ἐπιτρόπους, ἑτέραις[s] συνὼν, πρὸ ἡλικίας πάσχων δεινὰ, πράττων[t] χαλεπώτερα· γυναικείας ἐσθῆτας ἀφιεσμένος[u] εὐχόμενος ἐν τοῖς συμποσίοις ἀνὴρ ὢν λανθάνειν· τί δὲ μὴ δεῖ λέγειν τὸν οἶκον τὸν Καλλίου, καὶ τὴν Ἱππονίκου περιουσίαν, ἣν κατατέτριφεν οὗτος ἐν ταῖς μέθαις; τί δὲ τὰ Ἀγάθωνος συμπόσια; καὶ τὴν Σωκράτους συνουσίαν ἐν τῇ τὰ καλὰ ἐπαιδεύθη δόγματα, ὑπὸ τὸν αὐτὸν τρίβωνα ὑπερχόμενος καὶ τοῖς ἀνθεινοῖς στεφάνοις φιλοσοφῶν; ἀπολύων δὲ συνεχεῖς ὕβρεις, καὶ τοὺς τῶν πενήτων προπηλακισμούς· τὸν Ἀγάθαρχον τὸν δεδεμένον, τοὺς ἄλλους, ὑπὲρ ὧν ἐροῦμαι σιωπᾶν· τί τοῦτον οὐκ εἶ[v] δρᾶμα; τίς οὐκ Εὔπολις; τίς οὐκ Ἀριστοφάνης; διὰ τούτων εὐδοκίμησε κωμῳδία· ὅμως δὲ καὶ κωμῳδοὶ κεκμήκασι τὰ τούτου γράφοντες·" καὶ τοῦτο μέν ἐστιν ὅλον προδιήγησις· εἶτα καταβαίνει εἰς τὴν διήγησιν τοῦ πράγματος λέγων οὕτως· "ἀλλ' ἐπειδὴ κωμάζων καὶ παροινῶν[x], εἰς τὴν πόλιν καὶ τοὺς νόμους οὐδὲν ᾤετο γενναῖον[y] οὐδὲ ἐξαίρετον παρὰ τοῖς ἄλλοις πεποιηκέναι, τρό-

[r] Cod. τὰ. [s] Leg. ἑταίραις. [t] Cod. πράττω. [u] Sic.
[v] Sic. [x] παρσιῶν Cod. [y] γεναῖον Cod.

“ πον ἐξήτησεν ἀσεβείας τὸν ἀνοσιώτατον, συγκρότησας ἔναγχος συμπόσια συνεχῆ·” καὶ ἑξῆς ἡ διήγησις.”

F. 24. v. Ὅμοιον τούτῳ τῷ προοιμίῳ καὶ παρὰ τῷ Λιβανίῳ ἐν ἐκείνῳ τῷ ζητήματι τῷ ἀντιληπτικῷ· Ἀλκιβιάδης δᾳσὶ μυστικοῖς[z] ἐκώμασε, καὶ κρίνεται ἀσεβείας. ἐν τούτῳ γὰρ τὸν κατήγορον ὁ Λιβάνιος μελετῶν χρῆται προοιμίῳ τοιούτῳ. “ Ἄλλως μὲν, οὐκ ἂν ἠβουλήθην ὦ ἄνδρες Ἀθηναῖοι διεξιέναι τὸν Ἀλκιβιάδου βίον, ὑπὲρ οὗ καὶ τοὺς λόγους αὐτοὺς ὥς γε ἔργα προάγομαι· καὶ ἑτέρου λέγοντος ἐρυθριάσαι· πολλὴ δὲ ἴσως ἀνάγκη καὶ μὴ βουλόμεν[a] εἰπεῖν, ἐπειδήπερ ἅπαξ ἐσμὲν ἐν δικαστηρίῳ· καὶ δεῖ παῦσαι τὴν ἀναισχυντίαν αὐτοῦ κατειπόντας. ὡς τό γε σιωπᾶν ἐφ' οἷς ὁρῶμεν καὶ πάσχομεν. τηλικούτων αἴτιος γεγένηται κακῶν, καὶ τάχα πάλαι παυσάμενος ἂν τῶν μειζόνων ἀδικημάτων εἴτις αὐτῶν τῶν προτέρων ἀπέτισε τιμωρίαν. ἐν γὰρ τῷ οὕτω προοιμιάσασθαι ἐνέφηνεν ὅτι οὐδ' ἔχθραν τινὰ ἰδίαν, οὔτε δι' ἄλλην τινὰ αἰτίαν ὁ κατηγορεῖν τοῦ Ἀλκιβιάδου τὰ κατ' αὐτοῦ προήχθη εἰπεῖν· ἀλλὰ διὰ τὴν πόλιν καὶ τὸ κοινῇ συμφέρον, ἵνα μὴ πάλιν ὁ Ἀλκιβιάδης ἐν τῇ πόλει πλημμελοίη τὰ παραπλήσια.”

Fol. 83. r. Καὶ παρὰ τῷ Λιβανίῳ ἐν τῷ κατὰ τοῦ Ἀλκιβιάδου ζητήματι· τοῦ φεύγοντος ἀσεβείαν ὅτι δᾳσὶ μυστικοῖς ἐκώμασεν· [ἐκ τοῦ Λιβανίου.] “ Συγκρότησας ἔναγχος συμπόσια πολλὰ καὶ συνεχῆ, μᾶλλον δὲ πολλὰς ἐφεξῆς συνάψας νύκτας παρανόμοις καὶ τυραννικαῖς ἡμέραις· ἑταίρων τῶν ἀσελγεστάτων χορὸν ἀγὼν καὶ νεανίσκων προχειροτάτων ἅπαντα μεθυστὴς καὶ πιὼν κατὰ τῶν θεῶν πρῶτον μὲν ἐμύησεν ἐπ' οἰκίας ἠκούσατε· εἶτα ταῖς ἐκ μυστηρίων[b] δᾳσὶν ἐπὶ τῶν κωμῶν ἐχρήσατο, καὶ ἐλθὼν ἐκ τῆς οἰκίας πλῆθος ἀνδρῶν καὶ γυναικῶν ἐπισυράμενος ἐν ἐκείναις ταῖς δᾳσὶν ἐκώμασεν, ἐν ταῖς ἱεραῖς ἐπὶ ἀνακτόρου.”

Fol. 87. r. Σημείωται ὅτι ἐσθ' ὅτε οὐκ ἀπὸ τῆς αἰτίας

[z] Cod. μυσικαῖς. [a] Sic. [b] Cod. μυστιρίων.

μόνον πλατύνεται ἡ ἐπὶ τῇ διηγήσει ἀξίωσις ἀλλὰ καὶ ἐφ' ἑτέρων τινῶν πιστέων, ἤγουν ἀπὸ ἐπιχειρημάτων, ἐργασιῶν, ἐνθυμημάτων· καὶ τοῦτο καὶ ἐξ ἑτέρων μὲν πλειόνων καὶ ἐκ τοῦ Λιβανίου δὲ ἔγνωμεν· οὕτω γὰρ καὶ ἐν τῷ τοῦ Ἀλκιβιάδου ζητήματι τοῦ φεύγοντος ἀσεβείας ὅτι δασὶ μυστικαῖς ἐκώμασε· μετὰ τὸ πρᾶγμα ἤγουν τὴν προδιήγησιν καὶ τὴν διήγησιν ἐπενεγκὼν τὴν ἀξίωσιν ἐπιχειρήμασι καὶ ἐργασίαις καὶ ἐνθυμήμασιν αὐτὴν πλατύνει ὡδίπως λέγων· "εἶτά τις "ὠμῶν ἀνέχεσθαι ὦ Ἀθηναῖοι τούτων δρωμένων μέχρι "πλείονος." εἶτα ἐπιχείρημα ἀπὸ τοῦ προσώπου εἰς κατασκευὴν τῆς ἀξιώσεως. "ἐγὼ μὲν οὐδ' ἂν ἄλλόν τινα δοκῶ "τῶν Ἑλλήνων τῶν μεμυημένων, πᾶσι γὰρ αἰδὼς ἐστὶν εἰς "τὰς θεὰς, καὶ δέος εἰς τὸ πῦρ." μέχρις ὧδε τὸ ἐπιχείρημα· εἶτα καταστατικὴ ἔννοια, ἥτις ἐστὶν εὐκρινείας. "καὶ "ὑμεῖς δὲ τὸ πραχθὲν οὑτωσὶ λογίζεσθε, καὶ τάχα ἂν καὶ "τὴν ἀξίαν ὀργὴν ἐπὶ τοῦτον λάβοιτε·" εἶτα ἡ ἐργασία· "εἴτις ὑμῖν ἀπὸ τῶν ὁρίων τῆς Ἀττικῆς ἐλθὼν μηνύσαι "εἰσδραμὼν, ὅτι Μεγαρεῖς ἢ Κορίνθιοι ἢ καὶ νὴ Δία Σικυώνιοι[c] νυκτὸς ἢ καὶ μεθ' ἡμέραν ἁρπάσαντες δᾷδας τὰς "ὑμετέρας τὰς μυστικὰς μυστηρίων ἐφ' ὕβρει, φέρουσι καὶ "κωμάζουσιν ἐκείνῳ τῷ πυρὶ, καὶ σκώπτουσι καὶ παίουσι τὰ "σεμνότερα· οὐχ ἁρπασόμενοι τὰ ὅπλα· καὶ οἱ μὲν τριηρῶν "ἐπιβάντες· οἱ δὲ πεζῇ δραμόντες· οἱ μὲν ὑπ' Εὐμολπίδας "ταττόμενοι· οἱ δὲ ὑπὸ κηρύκων στρατηγούμενοι, τὸν ἱερο-"φάντην προτάξαντες· οἱ δὲ τὸν δᾳδοῦχον ὁπλίσαντες· οἱ "μὲν περιέπλεον τὴν θάλατταν τὴν τῶν ὑβρισάντων· οἱ δὲ "τὴν γὴν μέν· ἀνεδηώσαμεν τῶν ἀσεβούντων τὸ πραχθὲν "περιιδεῖν·" μετὰ ταῦτα τὸ ἐνθύμημα· "εἶτα ὅπου μὲν ἤδη "καὶ κινδυνεύσαντες[d] τὶ παθεῖν εἰς τιμωρίαν τῶν ἁμαρτανόντων ἐκεῖ προθύμως ἂν πάντες ὑπηκούσαμεν· ὅπου δὲ "κίνδυνος οὐδεὶς, ψήφῳ δὲ ἔξεστι τὰ δίκαια πρᾶξαι, κατο-"κνήσομεν·" εἶτα ἑτέρα ἐργασία· πρὸ ταύτης δὲ καὶ κατα-

[c] Cod. σικυόνιοι. [d] κιντενεύσανσαντες Cod.

στατικὴ ἔννοια εἰς ἀρχὴν ἀνάγουσα τὸν λόγον· "ὅτι δὲ οὐκ "εἰκάζων οὐδὲ μαντευόμενος ἀλλ' εἰδὼς σαφῆ τὴν ἡμετέραν "διάνοιαν περὶ τῶν ὅπλων οὑτωσὶ διετεινάμην, ἔξεστιν ἰδεῖν." τοῦτο ἡ κατασκευαστικὴ ἔννοια, ἥτις εἰς ἀρχὴν ἀνήγαγε τὸν λόγον. μετὰ ταύτην δὲ τίθεται ἐργασία ἀπὸ παραδείγματος· "ἡμεῖς γὰρ Μεγαρέας τουτουσὶ τοὺς κατάρας γείτονας, ὅτι "τὴν ἱερὰν γῆν ταῖν θεαῖν ἐπειργάσαντο παρατεμνόμενοι, καὶ "ἐνδὸς τῆς ἀκριβείας γεωργοῦντας, οὐ μόνον ἤρξατε γῆς καὶ "λιμένων ἡμετέρων καὶ τῆς τῶν συμμάχων θαλάσσης, ἀλλὰ "καὶ πολεμεῖν αὐτοῖς ἐψηφίσασθε· καὶ εἰσὶ διὰ παντὸς "ἐχθροί." εἶτα ἐνθύμημα "καίτοι γε τοιαῦτα οὐ κατὰ τῶν "μυστηρίων ἐποίησαν, οὐδ' εἰς τὸ πῦρ ὕβρισαν, ἀλλ' ἐπεξῆλ-"θον σπείροντες παρὰ τῶν ἰδίων, καὶ τροφὰς ἠξίουν λαβεῖν "ἐκ τῆς ταῖν θεαῖν σχολαζούσης. οὑτοσὶ δὲ οὐ γῆς ὅρους "ὀλίγους οὐδὲ καρποὺς τῶν συγχωρημένων πλείονας ἐπεθύ-"μησε λαβεῖν· ἀλλ' εἰς αὐτὸν τὴν τελευτὴν τῶν θεῶν ὕβρι-"σεν αὐτὰς ὑμῶν τὰς δᾷδας περιέσπασεν."

Fol. 21. Καὶ τούτῳ τῷ τρόπῳ τῶν προοιμίων καὶ ἄλλους μὲν καὶ τὸν Λιβάνιον δὲ διαφόρως εὗρον χρησάμενον. οὗτος γὰρ μελετῶν τὸ τοῦ Κεφάλου καὶ Ἀριστοφῶντος ζήτημα τῶν ἀμφισβητούντων τοῦ γέρως, νόμου κελεύοντος τὸν καλῶς βεβιωκότα γέρας λαμβάνειν· καὶ τοῦ μὲν Ἀριστοφῶντος πολλάκις κατηγορηθέντος, καὶ μήδ' ἅπαξ ἁλόντος· τοῦ δὲ Κεφάλου μὴ δὲ κατηγορηθέντος ποτέ. τοῦτο γοῦν τὸ ζήτημα πραγματικῆς τῆς κατὰ ἀμφισβήτησιν· ὃν ἀπὸ προσώπου τοῦ Ἀριστοφῶντος μελετῶν τὸν ἐμφαινόμενον περὶ τὸν Κέφαλον φθόνον βεβαιοῖ ὡδί πως λέγων· "Πολλῶν "ἀγώνων μοι παρ' ὑμῖν ὦ ἄνδρες Ἀθηναῖοι γεγενημένων, ἐν "ἅπασι μετὰ τοῦ δικαίου νενικηκὼς, πολλὰς ἐλπίδας ἔχω[e] "καὶ τήμερον διὰ τοὺς θεοὺς ὁμοίου πειράσασθαι δικαστη-"ρίου· καὶ περιέσεσθαι μὲν τοῦ πάντας μὲν ἐνοχλοῦντος "τοὺς εὐδοκιμοῦντας φθόνου μάλιστα, ὅσῳ καὶ μέγιστα

e Cod. ἔχων.

"δοκῶ κατορθοῦν ἐμὲ ὑφ' οὗ φθόνου καὶ Κέφαλος οὗτος "ὁρμηθεὶς, οὐ γὰρ οὕτως ἐστὶν εὐθὺς, ὥστε παρ' οἷς οὐδ' "ὁποίας ἐστὶν ἔγνωσται γῆς, ὡς ἄριστος οἴεσθαι τεύξεται "δωρεᾶς, βασκαίνων τε τῆς τιμῆς ἐφέστηκέ μοι τελευταῖος, "ἐπειδὴ δὲ μιᾶς αἰτίας ἔχει λοιπῆς τῆς δωρεᾶς συκοφάντης."

Fol. 147. v. Ἐν ἑνὶ καὶ τῷ αὐτῷ προβλήματι, τουτό ἐστιν, ἐν τῷ αὐτῷ ζητήματι τῷ κατασκευαζομένῳ. ἔστι δὲ τοῦτο κεφάλαιον ἡ λύσις· εἴωθε γὰρ ἔσθ' ὅτε καὶ ταῦτα κεφάλαια καλεῖν καὶ ζητήματα· ὡς καὶ ἐν τῇ προκατασκευῇ ἔφη. ἔργον δὲ αὐτῆς τὸ προεκτίθεσθαι τὰ κεφάλαια καὶ τὰ ζητήματα, παραδείγματα, ἐπιχειρήματα ἐργασιῶν καὶ ἐνθυμημάτων ἐν αὐτῷ. ἐν τῷ Αἴαντι τοῦ Σοφοκλέους λέγει ὁ Αἴας περὶ τῶν Ἀτριδῶν.

ἄρχοντές εἰσιν ὥσθ' ὑπεικτέον. τί μή;

καὶ τοῦτο μέν ἐστιν ἐπιχείρημα. εἶτα ἐργασία ἀπὸ τοῦ μείζονος·

καὶ γὰρ τὰ δεινὰ καὶ καρτερώτατα
ἀλλήλοις ὑπείκει. τοῦτο μὲν νιφοστιβεῖς
χειμῶνες ἐκχωροῦσιν εὐκάρπῳ θέρει·
ἐξίσταται δὲ νυκτὸς αἰανῆς κύκλος
τῇ λευκοπώλῳ φέγγος ἡμέρᾳ φλέγειν.

εἶτα τὸ ἐνθύμημα·

ἡμεῖς δὲ πῶς οὐ γνωσόμεθα σωφρονεῖν;

Καὶ ἐν ταῖς Φοινίσσαις λέγει Ἰοκάστη πρὸς τοὺς υἱοὺς κᾀκεῖνο κάλλιον.

ἰσότητα τιμᾶν, ἣ φίλους ἀεὶ φίλοις
πόλεις δὲ πόλεσι συμμάχους τε συμμάχοις
συνδεῖ· τί γὰρ ἴσον νόμιμον ἀνθρώποις ἔφυ;

καὶ τοῦτο μέν ἐστιν ἐπιχείρημα ἀπὸ τοῦ πράγματος· εἶτα ἐργασία ἀπὸ τοῦ μείζονος.

καὶ γὰρ μέτρ' ἀνθρώποισι καὶ μέρη σταθμῶν
ἰσότης ἔταξε κ'ἀριθμὸν διώρισεν·

εἶτα δὲ ἑτέρα ἐργασία, καὶ αὐτὴ ἀπὸ τοῦ μείζονος.

νυκτός τ' ἀφεγγὲς βλέφαρον, [ἡλίου τε φῶς][f]

[f] Suppl. ex Eur. quæ desunt in Cod.

ἴσον βαδίζει τὸν ἐνιαύσιον κύκλον,
κοὐδέτερον αὐτῶν φθόνον ἔχει νικώμενον.

εἶτα τὸ ἐνθύμημα ἀπὸ τοῦ προσώπου.

εἶθ' ἥλιος μὲν νύξ τε δουλεύει βροτοῖς,
σοὶ δ' οὐκ ἀνέξει δωμάτων ἔχειν ἴσον,
καὶ τῷδ' ἀπονεῖμαι;

Καὶ παρὰ τῷ Ἰσοκράτει· "μὴ ἔα τὸν υἱὸν ταῖς τῶν δούλων "ὁμιλίαις χρῆσθαι. καὶ ἁμαρτάνοντα δὶς τὸ αὐτὸ κόλαζε·" τοῦτο ἐπιχείρημά ἐστιν· εἶτα ἐργασία ἀπὸ παραβολῆς. "εἶδον ἰατρούς, ἵνα μὴ τὸ σῶμα νοσῇ νηστείαν ἐπιτάττονται[g], καὶ τοὺς ἀκροατάς, ἐπείπερ αὐτοῖς ἐλπὶς τῆς σωτηρίας ἐπιτείνεται, προθύμως ὑπηρετοῦντας τῷ πράγματι." ἑτέρα ἐργασία· "ἑτέρους δὲ εἶδον οὐδὲ τῆς ἀπὸ τῶν ἰατρῶν "προνοίας δεομένους, ἀλλ' ὅταν αὐτοῖς ἐνοχλοῦν τὸ σῶμα καὶ "νενοσηλευμένον ἐπῄσθοντο, πρὸς τὴν νηστείαν ἐχώρουν αὐτόματοι, καὶ τοῦ ἐνοχλοῦντος ἀπηλλάττοντο[h]." εἶτα τὸ ἐνθύμημα. "τί γοῦν τὸ σωμάτιον μὲν ἀρρωστῇ, νηστεύειν "ἵνα τῆς ἀρρωστείας ἀπαλλαγῇ, ἂν δ' ἡ ψυχὴ νοσῇ καὶ "τότε νόσους φθοροποιούς, οὐδεμίαν εἰσάγεις φροντίδα περὶ "αὐτῆς, οὐδὲ καθᾶραι σπεύδεις νηστείᾳ τὴν νοσηλίαν αὐτῆς." ἐπενθύμημα· "καίτοι τὸ μὲν σῶμα ἂν νενοσηλευμένον ἀφεθῇ, "οὐδὲν ἄλλο μεῖζον ἐπάγει κακόν, ἢ τὸ κοινὸν ἐκτείνει χρέως "τῆς φύσεως, τὸν ἀπ' αὐτοῦ φημὶ ψυχῆς χωρισμόν· ψυχὴ δὲ "νόσῳ ληφθεῖσα καὶ παρορωμένη ἀθεράπευτος, ἐκπίπτει ἐκ "δόξης Θεοῦ· ἐκπίπτει δὲ καὶ παραδείσου τρυφῆς." Καὶ ἐν τῷ Εὐαγγελίῳ· "μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν τί "φάγητε, ἢ τί πίητε. εἶτα ἐργασία· "ἐμβλέψατε εἰς τὰ "πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρουσιν, οὐδὲ θερίζουσιν, οὐ "συνάγουσιν εἰς ἀποθήκας, καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος "τρέφει αὐτά," καὶ τοῦτο μέν ἐστιν ἐργασία ἀπὸ παραβολῆς· εἶτα τὸ ἐνθύμημα "οὐχ ὑμεῖς οὖν μάλιστα διάφερετε "αὐτῶν;" καὶ πάλιν· "οὐ δεῖ μεριμνᾶν τὶ ἐνδύσεσθε·"

[g] Sic. [h] Cod. ἀπηλλάττωντος.

τοῦτο ὡς ἐπιχείρημα. εἶτα ἐργασία ἀπὸ παραβολῆς· "κα-"ταμάθετε τὰ κρίνα τοῦ ἀγροῦ πῶς αὐξάνει οὐ κοπιᾶ, οὐδὲ "νήθει·" εἶτα τὸ ἐνθύμημα· "εἴδε τε τὸν χόρτον τοῦ ἀγροῦ "σήμερον ὄντα καὶ αὔριον εἰς κλίβανον βαλλόμενον ὁ Θεὸς "οὕτω, οὐ πολλῷ μᾶλλον ὑμᾶς ὀλιγόπιστοι."

Fol. 175. Τούτῳ τῷ σχήματι ὁ Δημοσθένης ἐχρήσατο πολλὰ τούτῳ ποίῳ; τῷ ἁπλοῦν τι δηλονότι τὸν λόγον· καὶ τὸν Λιβάνιον εὗρον τούτῳ χρησάμενον ἐν τῷ τοῦ Σωκράτους ζητήματι τοῦ κωλυσμένου ἐν τῷ δεσμωτηρίῳ φιλοσοφεῖν. καὶ γὰρ ἐκεῖ ἔστι μὲν ἐπιχείρημα, ὅτι οὐ δεῖ τοὺς τελευτῶντας δίκην διδόναι, ὅτι τελευτῶντες φθέγγονται. εἶτα ἐργασία ἐκ παραδείγματος· "ὅτι ἐδέθη ποτὲ καὶ Μιλτιάδης παρ' "ἡμῖν οὐκ ἐσιώπα δεδεμένος." καὶ πάλιν ἑτέρα ἐργασία. "κατεψηφίσασθε ποτὲ τῶν ἐννέα στρατηγῶν· καταψηφι-"σάμενοι δ' οὖν, οὐδ' ἐκείνοις σιωπᾶν ἐπετάξατε" εἶτα τὸ ἐνθύμημα ἡπλωμένως ἐξενεχθέν· "δεινὸν δὲ ὅταν τῶν ἀνδρο-"φόνων καὶ ἱεροσύλων καὶ προδότων καὶ τῶν ἄλλα κακὰ τε-"τολμηκότων δίκην μὲν διδόντων, σιωπᾶν δὲ καὶ μὴ διαλέ-"γεσθαι κωλυομένων ὑπ' οὐδένος· ἀλλὰ τῶν μὲν ἐπισκηπτόν-"των τοῖς φιλτάτοις, τῶν δὲ τοῖς οἰκείοις διαλεγομένων· "τῶν δὲ τοῖς φίλοις καὶ τοῖς ἀναγκαίοις· ἄλλων δὲ τοὺς "θεοὺς ἀνακαλούντων· ἑτέρων δὲ τὴν ἑαυτῶν μοῖραν ὀδυρομέ-"νων· ἐπὶ μόνῳ τούτῳ τῶν ἐκ παντὸς τοῦ χρόνου προσταχθή-"σεται τεθνηξομένῳ μὴ λαλεῖν, τῷ μάλιστα ἀξίῳ·" ἔστι δὲ τὸ ἐνθύμημα ἀπὸ προσώπου.

Ὡς ἐν τοῖς βιβλίοις αὐτοῦ εὑρίσκομεν—ἢ ἀντὶ τοῦ εἰπεῖν ὡς ἐν τοῖς λόγοις αὐτοῦ εὑρίσκομεν, ὡς ἐν τοῖς βιβλίοις αὐτοῦ εὑρίσκομεν εἴρηται· ἢ ὅτι καὶ ἐν δυσὶ βιβλίοις τὰ τοῦ Δημοσθένους τέτακται· ἐν ἑνὶ μὲν γὰρ βιβλίῳ οἱ δημόσιοι αὐτῷ συντετάχαται λόγοι· ἐν ἑτέρῳ δὲ οἱ ἰδιωτικοί· ὡς ἐκεῖνο ἐν τῷ περὶ τοῦ Στεφάνου.

Fol. 34. v. Ὅμοιον τούτῳ καὶ τὸ παρὰ Χορικίῳ ἐν ἐκείνῳ τῷ ζητήματι στοχαστικῷ ὄντι, μετὰ τὴν ἐκ Μαραθῶνος τῶν βαβάρων φυγὴν, στόλον ᾔτησεν Ἀθηναίων ὁ Μιλ-

τιάδης, ὑποσχόμενος εἰ λάβοι, μέγαν τῇ πόλει πλοῦτον πορίζειν ἔκ τινος χώρας· οὕτως εἰπὼν καὶ τὸ τῆς χώρας ὄνομα κρύψας, λαβὼν ὅσας ᾔτησεν ναῦς, ἐπὶ Παρὸν ἦλθε τὴν νῆσον τὰ βαρβάρων φρονήσασαν· καταστήσας ἐν πολιορκίᾳ Παρίους, εἶτα τὴν εἴσοδον βιάσασθαι βουληθεὶς, πορουται[1] τὸ σκέλος. καὶ κρίνει Ξάνθιππος αὐτὸν τῆς εἰς τὸν δῆμον ἀπάτης, ὡς προδεδωκότα Παρίοις τὴν ἀναχώρησιν. ἐν τούτῳ γὰρ τὸν φεύγοντα μελετῶν ὁ Χορίκιος τίθησιν προοίμιον δεύτερον ἐν τῇ μελετῇ τοῦτο· "Ξάνθιππος μὲν οὖν ὑπόθεσιν εὗρε "κεκομψευμένην, ᾗ παραμυθήσεται τὸν Δαρεῖον τῆς ἐφ' οἷς "πέπονθε λύπης· εἰδὼς γὰρ οἶμαι ῥήτορος αὐτὸν ἀποροῦντα "λόγῳ κοσμοῦντος ἐπιταφίῳ τοὺς ὑφ' ἡμῶν πεπτωκότας, "καὶ τὴν ἐπὶ τούτοις αὐτοῦ πραΰνοντος ἀθυμίαν, τοῦτο κατα- "μαθὼν, οὐ γὰρ ἐπιχωριάζουσι βαρβάροις οἱ λόγοι τὴν κατὰ "τοῦ στρατηγήσαντος ὕβριν, καλῶς ᾠήθη τῷ Δαρείῳ θερα- "πεύειν τὸ πένθος. ἐγὼ δὲ τὸν Μαραθῶνα πηγὴν ἔχων ἄ- "φθονον λόγων δικαίων, οὕτω χωρήσομαι τρόπῳ ζητῶν ἀπορῶ "τοῦ μὲν ἀριθμεῖν ὅσα τῇ πατρίδι συνεβαλόμην αὐθαδείας "ἔγκλημα φέροντος· τῆς δὲ σιωπῆς ἀπολογίας ἀσθένειαν "ἐμφαινούσης· ἀλλὰ διπλῆς ἐμοὶ κινδυνευομένης αἰδοῦς· "τῆς μὲν, εἰ τοῖς ὑπὲρ ἡμῶν πόνοις ὡραϊσάμην· ἀπειρόκα- "λον γὰρ τῆσδε προδότης ὑμῖν εἰ φανείην· γέμει γὰρ "ἀδοξίας. ἑλοίμην ἂν μᾶλλον τὴν ἐκ δικαίων ἐπαίνων, ἢ τὴν "ἐξ ἀδίκων κατηγορίας αἰσχύνην." Ἔστι γὰρ καὶ τοῦτο ἐξ ὑπολήψεως διπλῆν ἔχοντα πρότασιν· καὶ ἐν μὲν τῷ πρώτῳ μέρει τὴν εἰς τοὺς ἐχθροὺς ὑπόληψιν παρίστησιν. πῶς εἰκὸς αὐτοὺς ἔχειν τοῦ Μιλτιάδου κρινομένου; ἐν δὲ τῷ δευτέρῳ, τὴν ἐμφαινομένην περὶ αὐτοῦ τῆς ἀπειροκαλίας ὑπόληψιν, ἐκ τοῦ ὀνειδίσαι τῇ πόλει τὰ πεπραγμένα ἀποσκευάζεται.

Fol. 125. r. Καὶ ὁ Χορίκιος δὲ ἐν τῷ τοῦ Ἀλκιβιάδου ζητήματι τῷ μετὰ τὰ κατὰ Παρὸν φεύγοντα προδοσίας, παραπλησίως ἐποίει· καὶ οὕτως γὰρ ἐν ἐκείνῳ τὸν φεύγοντα

[1] Sic Cod. leg. πηροῦται.

μελετῶν, καὶ τὴν τῶν ἐλέγχων ἀπαίτησιν κατὰ θέσιν εἰσάγων, πρῶτον ὁρίζεται τὸ κεφάλαιον, εἶτα εἰς κατασκευὴν ἐπιφέρει ἐπιχείρημα ἀπὸ τοῦ τόπου· "πολλὴ μὲν ἡ κατα-" "δρομὴ τῶν ῥημάτων, ἀπόδοσιν δὲ ζητῶν τῆς προδοσίας" "οὐδαμοῦ θεωρῶ·" τοῦτο ἡ τοῦ κεφαλαίου πρότασις· εἶτα ἐπιχείρημα ἀπὸ τοῦ τόπου. "ἐν ἀγορᾷ μὲν οὖν λοιδορεῖν καὶ" "ταῦτα προφέρειν ἐν ταῖς συνουσίαις ἀπορία διηγήμα οὐ" "κωλύσειε νόμος, εἰς δικαστήριον δὲ γυμνὸν ἐλέγχων εἰσι-" "οντα κολάζει."

Fol. 77. Καὶ τίνος χάριν φησὶν εἶπον ὅτι οὐ τῷ ἐγκατασκεύῳ ἀλλὰ τῷ ἁπλῷ χρησόμεθα τρόπῳ· ὅτε τὰ πράγματα μεγάλα ᾖ, καὶ βαροῦντα τὸ ἀντίδικον· διότι τὰ πράγματα ἰσχυρὰ ὄντα καὶ οἴκοθεν ἔχοντα τὴν ἰσχὺν, οὐ δέονται τῆς ἀπὸ τοῦ λόγου κατασκευῆς, ἤγουν τῆς ἐγκατασκεύου διηγήσεως. σημείωσαι δὲ ὅτι καὶ ὁ Ἀφθόνιος ἐν τῷ ἐγκωμίῳ τοῦ Θουκυδίδου διηγούμενος τὰς πράξεις αὐτοῦ τῇ ἁπλῇ χρῆται διηγήσει· πολλὰ γὰρ εἶχε τὰ πράγματα καὶ ὁμολογούμενα· καὶ περὶ τοῦ ψόγου δὲ ὃν ὁ αὐτὸς σοφιστὴς κατὰ Φιλίππου ἐμελέτησε, τάδε εὗρον τὸν Γεωμέτρην ἐν τῇ εἰς τὰ προγυμνάσματα ἐξηγήσει λέγοντα. "ἀπορήσειεν ἄν τις ἐν-" "ταῦθα ποίου τρόπου καὶ αὕτη τυγχάνει τῶν διηγήσεων·" "οὔτε γὰρ ἁπλῆ τίς ἐστι τοσαύτην ἔχουσα τὴν καταδρομὴν" "καὶ τὴν αὔξησιν· οὔτε ἐνδιάσκευος· οὐδὲν γὰρ ἐνταῦθα τῆς" "διασκευῆς φαίνεται σύμβολον. οὔτε γὰρ ἐκ τῆς φράσεως[k]" "ἔχει τῆς μάχης, οὔτε προσωποποιΐας· οὔτε ἄλλα τὰ τῆς" "διασκευῆς ἰδιώματα. λείπεται γοῦν μηδενὸς αὐτὴν εἶναι" "τρόπου."

Fol. 78. v. Οἱ τοῦ Κόωνος[1] υἱεῖς—Ἔν τισι βιβλίων οἱ τοῦ Κόωνος υἱοὶ γέγραπται· δέον οὖν γέγραφθαι ἐν τοῖς πλείστοις τῶν βιβλίων, σχεδὸν δὲ ἐν πᾶσιν, οἱ τοῦ Ἀρίστωνος γέγραπται, λήθῃ τῶν ἀντιγράφων· ὁ γὰρ Ἀρίστων μᾶλλον διηγεῖται τῷ Δημοσθένους λόγῳ χρησάμενος, ὅτι ἀποσταλεὶς

[k] Cod. φράσεις. [1] Sic Cod. et ubique.

εἰς Πάνακτον ἔπαθον παρὰ τῶν τοῦ Κόωνος υἱέων σὺν ἡμῖν σκηνωσάντων τάδε καὶ τάδε.

Καὶ τὰς ἀμίδας κατερρήγνυον—Ἀμὶς τὸ οὐροδόχον ἀγγεῖον Ἀριστοφάνης Βατράχοις.

εἶτα ᾔτησαν ἀμίδας.

ἀπὸ τοῦ ὀμιχῶ τὸ οὐρῶ. Ἡσίοδος,

μὴ δ' ἄν τις ἠελίοιο τετραμμένος ὀρθὸς[m] ὀμιχεῖν.

ἀπὸ τοῦ ὀμιχῶ γοῦν ὀμὶς, καὶ παρωνύμως ἀπὸ τοῦ ἀμὴ ἀμὶς ὑποκοριστικὸν, ὡς σκάφη σκαφὶς, παρὰ τῷ Δημοσθένει ἐν τῷ κατὰ Κόωνος αἰκίας.

Fol. 28. Καὶ ἐν τῷ προοιμίῳ τῷ περὶ Προικός· "πάντων ἐστὶν ἀνιαρώτερον ὦ ἄνδρες, ὅταν τις ὀνόματι προσαγορευθῇ μὲν ἀδελφός τινων, τῷ δὲ ἔργῳ ἐχθροὺς ἔχει τούτους· καὶ ἀναγκάζεται πολλὰ καὶ δεινὰ παθὼν ὑπ' αὐτῶν εἰσιέναι εἰς δικαστήριον· ὅπερ καὶ ἐμοὶ νυνὶ συνέβη. οὐ γὰρ μόνον ἀτύχημά μοι ἐξ ἀρχῆς ἐγένετο διότι Πλαγχνὼ[n] ἡ τούτου μητὴρ ἐξαπατήσασα τὸν πατέρα μου καὶ ἐπιορκήσασα φανερῶς ἠνάγκασεν αὐτὸν ὑπομεῖναι τούτους παῖδας ποιήσασθαι· καὶ διὰ τούτου δύο μέρη τῶν πατρώων ἀπεστερήθην, ἀλλὰ καὶ πρὸς τούτου ἀπολήλαμαι καὶ τῆς πατρῴας οἰκίας." καὶ τὰ ἑξῆς. Καὶ ὁ Θεολογος εἰπὼν κατὰ Ἰουλιανοῦ οὐκ ἀπέγραψε τὴν ἔχθραν, ἀλλὰ φασὶν, "οὗτος μὲν δὴ τῶν ἐμῶν λόγων ὁ πρῶτος ἄεθλος ἐκτετέλεσται καὶ διήνυσται· καὶ γὰρ ἀπεδόξαμεν φανερῶς τὴν τοῦ ἀνδρὸς κακοήθειαν, ἐν οἷς ἔδρασέ τε καθ' ἡμῶν, καὶ οὓς ἔμελλεν ἀεὶ τῶν παρόντων βαρύτερον."

Fol. 155. Τὸ παραγραφικὸν ἐσθ' ὅτε γὰρ καὶ ἐν μέσῳ τῶν ἀγώνων καὶ μετὰ τοὺς ἀγῶνος τεθειμένον εὑρήσεις διὰ τὸ καθαιρετικὸν εἶναι τοῦ ἀξιώματος· ὅταν ἔνδοξον[o] ᾖ τὸ κρινόμενον πρόσωπον καὶ τοῦτο εὑρήσεις λέγοντα τὸν Εὐστάθιον ἐν τῷ εἰς τὰς στάσεις αὐτοῦ ὑπομνήματι, ἔνθα περὶ αὐτοῦ τοῦ παραγραφικοῦ διδάσκει*.

[m] Cod. ὀρθῶς. [n] Demosth. Edd. Πλαγγών. [o] Cod. ἔδοξον.

* Eustathio datur hoc Scholium in prim. cap. Hermog. περὶ

Fol. 145. v. Εἴτις τὸ πρῶτον εἰπὼν ἐνθύμημα εἶναι —Παρέλκον τὸ εἶναι κατὰ συνήθειαν Ἀττικὴν, οὐδὲν γὰρ ἐν τῇ παρούσῃ συντάξει δηλοῖ καὶ παρὰ τῷ Θουκυδίδῃ ἐν τῇ τοῦ Φορμίωνος δημηγορίᾳ, ἐν τῇ δευτέρᾳ τῆς συγγραφῆς· " τὸν δὲ ἀγῶνα οὐκ ἐν τῷ κολπῷ ἑκὼν εἶναι ποιήσασθαι·" κᾳκεῖ γὰρ παρέλκει τὸ εἶναι καθ' ἑνὸς Ἀττικὸν καὶ πάλιν παρ' αὐτῷ " νομίσας τὸ καλῶς ἄρξαι τοῦτ' εἶναι, ὡς ἂν τὴν " πατρίδα ὠφελήσῃς ὡς πλεῖστα· ἢ ἑκὼν εἶναι μὴ δὲ βλά- " ψῃς·" παρέλκει γὰρ τὸ δεύτερον εἶναι· καὶ παρὰ τῷ Ἀρι- στείδῃ ἐν τῷ ὑπὲρ Ῥητορικῆς. " δίδωσι γὰρ Πλάτων πει- " θοῦς εἶναι δημιουργὸν τὴν ῥητορικήν· εἰ δὲ πευστικῶς ἢ " διδασκαλικῶς οὐ διαψεύσομαι τὸ νῦν ἦν." κᾳνταῦθα γὰρ παρέλκον τὸ ἦν· ἐν ἐνίοις δὲ βιβλίοις οὐκ εὗρον τοῦτο ἐγ- κείμενον.

Fol. 166. v. Ἐπεὶ δὲ πάντα τῶν περιστατικῶν ταῖς ἐκφράσεσιν ὑποπίπτει χωρὶς τῆς αἰτίας ἀπεφηνάμεθα· φέ- ρεται δέ τις καὶ διαφορὰ πρὸς ἀλλήλους παρὰ τῶν παλαιῶν· ὧν οἱ μὲν τὸν τρόπον μὴ ἔχειν ὑπόστασιν, μήτε ἐκφράζεσθαι δυνατὸν ἀπεφαίνοντο, ὡς οἱ περὶ Ἑρμαγόραν τε καὶ Ἀψίνην· οἱ δὲ καὶ αὐτὸν ἀναγκαίως ἐκφέρεσθαι, ὡς οἱ περὶ τὸν Θέωνα τὸν Πλατωνικὸν, τοσοῦτον καὶ περὶ αὐτοῦ διαλαβεῖν δίκαιον, ὡς οὐδέτερον ἀσφαλὲς οὔτε ἐκφράζεσθαι λέγειν ἀεὶ καθάπερ ἔφαμεν ἐπὶ τῶν κατασκευῶν.

Fol. 169. r. Ἡ ἀπὸ τῶν μελλόντων ἡ διατύπωσις τοῦ πράγματος ὥς ἐστιν ἐκεῖνο παρὰ τῷ Φωτίῳ. " Καὶ ἀναστη- " λούσθω σοι τῇ διανοίᾳ διὰ παντὸς τῆς δευτέρας παρουσίας " τὸ φρικτὸν ἐκεῖνο μυστήριον· καὶ βίβλοι διανοιγόμενοι " πράξεων, καὶ κρυπτὰ δημοσιευόμενα· πορνεῖαι, ἁρπαγαὶ,

Εὑρέσεων. ἑξῆς τρεπτέον ἐπὶ τοὺς κατηγόρους.] Εὐσταθίου. Τρεπτέον ἐκ τοῦ κατηγόρου τὸ τρίτον προοιμίον ἔχει τὴν ἀρχήν. ἔστι δὲ ἀπὸ τῆς δόξης ἣν οὐ φθονεῖν δείκνυσι τὸ προοιμίον ἀπὸ τοῦ κατηγόρου λαμβάνοντα τὴν βασ- κανίαν ἀποκρούεσθαι· φαίνεται γὰρ οὐ διὰ τὴν ἀλήθειαν ἀλλὰ διὰ τὸν φθόνον κινεῖσθαι ὁ λαλῶν· ὃ καλόν ἐστιν ἀποκρούσασθαι, καὶ ἔπειτα εἰς τὸ τοῖς πολλοῖς νομιζόμενον μὴ οὕτως ἔχειν· φθονοῦνται δὲ ἡ δοξα ἢ πλοῦτος.

“μοιχεῖαι, πλεονεξίαι, λοιδορίαι, καταλαλιαὶ, φθόνος, φόνοι, δυσέβεια· ὧν ἁπάντων καὶ τῶν ὁμοίων ἑκάστου τὸ συνειδὸς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ τῶν δεδρακότων κατήγορον ἐλέγξει ταῦτα καὶ θριαμβεύσει, καὶ γυμνὰ καὶ ἀπερικάλυπτα προθήσει· ἐννοείσθω σοι ταῦτα, καὶ πρὸ τούτου πυρὸς ἀστέκτου ποταμοὶ παφλάζοντες καὶ μυριάδες Ἀγγέλων κυκλωτὸν θρόνον περιτοιχίζουσαι, καὶ τῶν ἀνθρώπων ἅπαν τὸ γένος ἐξεταζόμενον· καὶ λόγους τῶν πρακτέων εἰσπραττόμενον· καὶ τῶν δικαίων οἱ ἁμαρτωλοὶ χωριζόμενοι, καὶ τὴν ἀπότομον ἐκείνην καὶ φοβερὰν φωνὴν καταδικαζόμενοι, καὶ τοῖς δημίοις παραδιδόμενοι, καὶ πρὸς κόλασιν ἐπαγόμενοι, καὶ μηδὲ φωνὴν παρακλήσεως ῥῆξαι παραχωρούμενοι· καὶ πυκνὰ μὲν πρὸς ἀλλήλους βλέποντες, καὶ στεναγμοὺς ἀμηχανίας στενάζοντες· καὶ πάντας μὲν βοηθοὺς προσκαλούμενοι διὰ τοῦ ἱκετηρίου βλέμματος,[p] διὰ τοῦ ἐλεεινοῦ σχήματος, διὰ τῆς τοῦ προσώπου σκυθρωπότητος, διὰ τῶν ἐκ βάθους στεναγμῶν καὶ δακρύων· παρ᾽ οὐδενὸς δὲ τῆς βοηθείας τυγχάνοντες· ὢ πόση τότε μεταμέλεια, καὶ οὐδεμία ὠφέλεια· πόσος συντρηφμὸς[q] καὶ περισπασμὸς ψυχῆς, καὶ οὐδεὶς ὁ λυπούμενος· πόσος στεναγμὸς καὶ κοπετὸς καρδίας, καὶ οὐκ ἔστιν ὁ ἐξαιρούμενος· οὐ φίλος, οὐκ ἀδελφὸς, οὐ πατὴρ, οὐ μήτηρ, οὐκ ἄλλος τις τῶν συνήθων ἢ συγγενῶν, ἀλλ᾽ οὕτως ἀθλίως ἀπαγόμενοι, θορυβούμενοι, κοπτόμενοι, διασπώμενοι, ἐξιστάμενοι, τῇδε κακεῖσε περιστρεφόμενοι, τῷ πυρὶ καὶ τῷ σκώληκι παραπέμπονται.”

p Cod. βλέματος. q Sic.

EXCERPTA VARIA.

Anonym. Grammaticalia Excerpt. e Cod. Barocc. 194. fol. 109. r.

ἽΣΤΕΟΝ ὅτι τὰ εἰς ω λήγοντα ῥήματα, ἢ πρωτότυπα εἰσὶν, ἢ παράγωγα· οἷον ἄρδω ἀρδεύω· τὰ δὲ εἰς μι πάντα παράγωγά εἰσιν. οἷον τιθῶ τίθημι. Ἄλλο δὲ ἀπὸ παραγωγῆς, καὶ ἄλλο ἀπὸ ἐγκλίσεως· ἀπὸ ἐγκλίσεως μὲν γὰρ, ὡς τὸ Πάρις Πάριδος· ἀπὸ παραγωγῆς δὲ, ὡς τὸ Πηλεύς.

Τὰ εἰς ω λήγοντα θηλυκὰ, καὶ ὀξύνονται, τῶν ῥημάτων μὴ ὀξυνομένων· οἷον, κλείω, Κλειώ· καλύψω, Καλυψώ· πείθω, Πειθώ· εἴκω, Εἰκώ.

Πάντα τὰ ῥήματα βαρύνονται, ἢ δυνάμει ἢ ἐνεργείᾳ. ἐνεργείᾳ μὲν, ὡς γράφω, τύπτω· δυνάμει δὲ, ὡς ποιῶ, βοῶ, χρυσῶ. Καὶ ἀποροῦσι τινὲς λέγοντες εἰ ἄρα ἡ περισπωμένη ἀπὸ ὀξείας καὶ βαρείας σύγκειται, διὰ τί μὴ λέγομεν τὰ περισπώμενα δυνάμει ὀξύτονα, ἀλλὰ δυνάμει. (sic) Ἔστιν οὖν εἰπεῖν ὅτι τοὺς τόνους ἐκ τοῦ τέλους κανονίζομεν. ὀξύτονον μὲν γὰρ λέγομεν τὸ ἐπὶ τέλους ἔχον τὴν ὀξεῖαν· τούτου χάριν τὰ περισπώμενα ὡς πρὸς τὸ τέλος ἀφορῶντες, δυνάμει καλοῦμεν βαρύτονα· καθόλου γὰρ πάντα τὰ ῥήματα ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν, χωρὶς ὀλίγων· οἷον· δός· θές· σχὲς, τὸ κώλυσον· σπὰς, τὸ ἀκολούθησον· εἰπέ· εἰδέ· παρὰ τοῖς Ἀττικοῖς· ἓς, τὸ ἀπόλυσον· ταῦτα δὲ μονοσύλλαβα ὄντα καὶ βραχυκατάληκτα, ἐξ ἀνάγκης ὀξύνονται· περισπασθῆναι μὴ δυνάμενα διὰ τὴν βραχεῖαν· βαρύνεσθαι δὲ οὐ δύνανται, ἐπειδὴ πᾶσα λέξις μονοσύλλαβος, ἢ ὀξύνεται ἢ περισπᾶται, οὐ μὴν βαρύνεται· οἷον· Κρής· Ζεύς· Φρύξ· θρίξ· νοῦς· βοῦς· πλοῦς· ταῦτα δὲ ἐν τῇ συνθέσει ὑπερβαίνοντα τὴν μονοσυλλαβίαν βαρύνονται· οἷον, ἐπίσπας· κα-

τάσχε· ἔστι δὲ καὶ τὸ χρὴ ὀξυτονούμενον ἐκ τοῦ χρῆμα, χρὴς χρήσῃ· καὶ κατὰ ἀποκοπὴν γίνεται χρή· ὀξύνεται δὲ, ὡς τὸ εἰπέ· καὶ ἰδέ· καὶ εὑρέ· καὶ ἐλθέ.

Ἐκ τοῦ φημὶ ἀποκοπῇ τοῦ φ γίνεται ἡμί· τούτου ὁ μέλλων ἥσω· ὁ β′ ἀόριστος ἦν· ἧς· ἧ·

Ἀπὸ μὲν τοῦ εἰμὶ γίνεται τὸ

αἵματος εἶς ἀγαθοῖο φίλον τέκος,

ἤγουν ὑπάρχεις καὶ ἐστί· καὶ ἔστε, καὶ ἔστον, καὶ ἐσμὲν, καὶ ἐστὲ, καὶ εἰσί.

Ἀπὸ τοῦ φημὶ γίνεται φὴς, φησί· καὶ κατὰ ἀποκοπὴν φή· φατὸν, φάτον, φαμὲν, φατὲ, φασί· τὸ δὲ φαθὶ προστεκτικὸν οἱ Ἀττικοὶ ὀξύνουσι, ὡς τὸ λαβέ· καὶ εἰπέ· καὶ ἰδέ· παρ' ἡμῖν δὲ βαρύνεται· οἷον· ἴδε· λάβε.

Τὰ εἰς ω λήγοντα ῥήματα καὶ τὰ εἰς μι θέλουσιν ἔχειν τὸ δεύτερον πρόσωπον εἰς σ λῆγον· ἀλλὰ τὰ μὲν εἰς ω ἰσοσύλλαβον τῷ πρώτῳ προσώπῳ, καθὰ καὶ ἐν ταῖς περισπωμέναις· τὰ δὲ εἰς μι μιᾷ συλλαβῇ ἐλλεῖπον.

Ἰστέον ὅτι οἱ μὲν Δωριεῖς, ἐστὶν ὅτε ἀποβάλλουσι τὸ ν ἐκ τῆς ει διφθόγγου, οἱ δὲ Αἰολεῖς τρέπουσι τὴν δίφθογγον εἰς η· οἷον συρίσδες Δωρικόν.

Τὸ εἰς τὸ σημαῖνον τὸ πορεύει ἀπὸ τοῦ α′ προσώπου ἔχει τὴν δίφθογγον. ἔστι γὰρ πρῶτον πρόσωπον εἰμὶ τὸ ὑπάρχω, τοῦτο κατὰ τροπὴν τῆς μι εἰς σ, ποιεῖ τὸ δεύτερον· οἷον,

αἵματος εἶς ἀγαθοῖο.

ὁμοίως καὶ τὸ εἰμὶ τὸ σημαῖνον τὸ πορεύομαι βαρυτονούμενον, ὡς τὸ

εἶμι μὲν οὐδ' ἅλια ὁδὸς ἔσσεται.

τούτου τὸ β′ εἶς, ἀντὶ τοῦ πορεύει, ὡς τὸ

τῇ δ' εἶς ἦσαν ἐγώ περ ἄγω.

Πᾶν πρῶτον προσῶπον εἰς ν λῆγον μὴ ἔχον τὸ μ κλητικὸν, εἰς σ ἔχει τὸ β′. οἷον ἔτυπτες, ἐτύφθης· τυφθείης· πρόσκειται μὴ ἔχον τὸ μ κλιτικὸν, διὰ τὸ ἐτύπτομεν, ἐτύπτον γὰρ λέγομεν.

Ἰστέον ὅτι οἱ Δωριεῖς, τρέπουσι τὸ η εἰς α· ὡς τὸ ἡδὺ, ἀδύ· οὐ μέντοι τοὐναντίον· τὸ γὰρ πεινᾶς, καὶ διψᾶς, καὶ ὁρᾶς, ἐκεῖνοι, διψῆς, καὶ ὁρῆς, καὶ πεινῆς λέγουσι.

Ζάω ἀπὸ τοῦ ζα ἐπιτατικοῦ μορίου καὶ τοῦ ἄω τὸ πνέω· οἱονεὶ πάνυ πνέω.

Χρυσόεις, ὤφειλεν εἶναι χρυσοῦς· ἐπειδὴ τὸ ο καὶ ε εἰς τὴν ου δίφθογγον κιρνῶνται. οἷον τὸ ἐμὸν, τοὖμον· ἀλλ' ἐπειδὴ ἔμελλον εἶναι τρία φωνήεντα ἐν μιᾷ συλλαβῇ, προσγράφεται γὰρ τὸ ι, ὡς τὸ βοᾶς, βοᾷ· βοάεις γὰρ λέγομεν βοαῖς· καὶ προσγραφομένου τοῦ ι, βοᾷς. ἀδύνατον δὲ ἐν μιᾷ συλλαβῇ φωνήεντα εὑρίσκεσθαι τριά, τὸ ο, τὸ υ, καὶ τὸ ι. διὰ τοῦτο γίνεται καὶ τὸ χρυσοῖς. τὸ μὲν οὖν ι οὐ δύναται ἀποβληθῆναι, ἐπειδὴ τὰ εἰς ω ῥήματα θέλουσιν ἔχειν ἐν β^{ω} καὶ γ^{ω} προσώπῳ δίφθογγον τὴν μετὰ τοῦ ι· ὡς τὸ τύπτω, τύπτεις, τύπτει· βοῶ, βοᾶς, βοᾷ· τὸ δὲ ο οὐκ ἠδύνατο ἀποβληθῆναι, ἐπειδὴ ἔμελλεν εἶναι καὶ δίφθογγον, ἐπιφερομένου συμφώνου· ἀδύνατον δὲ τοῦτο, ὡς ἐν τῷ μυῖα, ἅρπυια, ἐξ ἀνάγκης ἀπέβαλε τὸ υ, καὶ ἐγένετο χρυσοῖς.

Πᾶν β πρόσωπον εἰς σ λῆγον, ἀποβολῇ αὐτοῦ τὸ γ ποιεῖ· χωρὶς τῶν εἰς μι· ἐκεῖνα γὰρ οὐ μόνον οὐκ ἀποβάλλουσιν, ἀλλὰ καὶ προσλαμβάνουσιν· οἷον, τίθης, τίθησι.

Δύο εἰσὶ ζητήματα ἐν τοῖς δυϊκοῖς· διατί τὸ πρῶτον πρόσωπον ἐπιλέλοιπε; καὶ διατί ὁμοφωνοῦσι τὰ β^{α} καὶ γ^{α}; καὶ τοῦ πρώτου λέγει τὸν κανόνα· λέγομεν οὖν ὅτι ἡνίκα τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν, ἢ καὶ ἄλλως δύο κανόνες μάχονται· ὁ μὲν εἷς λέγει τύπτομον, ὁ δὲ ἕτερος, τύπτοθον· τούτου οὖν χάριν ἀπέλιπεν. διότι δὲ ὁμοφώνους φησὶν ὁ τεχνικὸς, ὅτε μὲν εἰς ι, ἢ εἰς τε.

Ἰστέον ὅτι διὰ ἀσυνταξίαν ἐπιλιμπάνει τὸ α' πρόσωπον τοῦ προστεκτικοῦ. πᾶν γὰρ δυϊκὸν, διὰ τοῦ τ καὶ θ θέλει χαρακτηρίζεσθαι· οἷον, τύπτετον, τυπτόμεθον. Πᾶν μέρος λόγου ἐπιδεχόμενον ἀριθμοὺς, θέλει χαρακτηρίζεσθαι δι' ἐκείνου τοῦ στοιχείου ἐν τοῖς δυϊκοῖς, δι' οὗ καὶ τὸ πληθυντικὸν, χωρὶς τοῦ ἡμεῖς· τὸ γὰρ δυϊκὸν, νῶϊ· τυπτόμεθα γάρ· καὶ τὸ

δυϊκὸν τυπτόμεθον· ὤφειλε δὲ εἶναι καὶ τύπτομον ἐκ τοῦ τύπτομεν· ἀλλ' ἐπειδὴ οὐκ ἔχει τὸ χαρακτηριστικὸν τοῦ δυϊκοῦ, ἢ τὸ τ ἢ τὸ θ, τούτου χάριν ἀπέλιπεν.

Ἀποροῦσι τινὲς λέγοντες, πῶς τρίτον πρόσωπον λέγομεν ἐν τοῖς δυϊκοῖς; ὁ γὰρ τρίτος ἀριθμὸς, ἀρχὴ πλήθους, καὶ οὐκ ἔστιν ἴδιον δυϊκοῦ. Ῥητέον γοῦν ὡς εἰ καὶ τῇ φωνῇ τρία λέγομεν, ἀλλ' οὖν τῷ σημαινομένῳ δύο εἰσί· δύο γὰρ πρόσωπα σημαίνουσιν ἕκαστον αὐτῶν· ἐπειδὴ ὤφειλεν εἶναι καὶ ἐν τοῖς ἑνικοῖς ἓν πρόσωπον, καὶ οὐ τρία· ἀλλ' οὖν αὐτῶν ἕκαστον ἓν πρόσωπον σημαίνει.

Κρίμα εἰς τὸ κρί ὀξείαν· καὶ πύργος· κρίνω γὰρ λέγομεν· ὁ μέλλων κρινῶ· ἡ δὲ παραλήγουσα τοῦ μέλλοντος βραχεῖα ὀφειλεν εἶναι, ὡς ἐν τῷ σπείρω, σπερῶ· παραλήγουσαν δὲ τὴν αὐτὴν ἔχει ὁ παρακείμενος τῷ μέλλοντι· ὥστε γίνεσθαι κέκρικα· τὸ κρι βραχύ· ὁ παθητικὸς κέκριμαι καὶ ἐξ αὐτοῦ κρίμα. ὀφείλει οὖν βαρύνεσθαι.

Ἔδηρεν ἀντὶ τοῦ ἔτυψεν, οὐ θέλει ὑπογράφεσθαι τὸ ι· ἐκ γὰρ τοῦ μέλλοντος γίνεται τοῦ δαρῶ· ὡς αὔτως καὶ τὸ ἐπῆρεν.

Εἴκω, ὁ μέλλων εἴσω· ὁ παρακείμενος εἶκα διὰ τοῦ ε καὶ ι· οὐχὶ δὲ διὰ τοῦ ο καὶ υ, ἐπειδὴ νικᾶ ἡ ἄρχουσα τοῦ μέλλοντος τῷ κανόνι τοῦ μέσου παρακειμένου. ἐκεῖ γὰρ λέγεται ὁ κανὼν, εἰ μέντοι ἐν δισυλλαβῷ μέλλοντι· ὅπου τρισύλλαβος ἐστὶν ὁ μέσος παρακείμενος, οἷον ἴσπορα· ἐν γὰρ τῇ παραληγούσῃ ἐτράπη τὸ ε εἰς ο· εἰ μέντοι δισύλλαβός ἐστιν ὁ μέσος παρακείμενος, νικᾶ μᾶλλον φυλάττειν τὴν ἄρχουσαν τοῦ ἰδίου ἐνεστῶτος· φυσικῶς οὖν θέλει γράφεσθαι τὸ εἶκα, ε καὶ ι, εἶτα Αἰολικῶς τρέπεται τὸ ε εἰς ο· καὶ ἐπεκτάσει τοῦ ε γίνεται ἔοικα· ὡς τὸ οἶδα· ε γὰρ καὶ ι ἐστὶν ἡ δίφθογγος· εἶτα Αἰολικῇ τροπῇ γίνεται οἶδα.

Πάλιν ἄξιον ἐστὶ ζητῆσαι τινὸς χάριν ἀπὸ τῶν πληθυντικῶν κανονίζομεν τὰ δυϊκὰ ἐν τοῖς ῥήμασιν· οὐδεὶς γὰρ τὰ πρῶτα ἐκ τῶν ὑστέρων κανονίζει, ἀλλ' ἐκ τῶν πρώτων τὰ ὕστερα· καὶ ἔστιν εἰπεῖν, ὅτι πολλάκις χάριν σαφηνείας ἐκ τῶν ὑστέρων κανονίζομεν τὰ πρῶτα· ὥσπερ βλέποντες τὸν

καπνὸν λέγομεν ὅτι πῦρ ἐστίν· καὶ πάλιν νοοῦμεν ὅτι ἡ γυνὴ τέτοκεν, ἐπειδὴ γάλα ἔχει· ἰδοὺ γὰρ ἐκ τοῦ πυρὸς καὶ τοῦ γάλακτος νοοῦμεν ὅτι ἐστὶ πῦρ καὶ τέτοκεν, οὕτως οὖν καὶ ἐν τοῖς ῥήμασι χάριν σαφηνείας τὰ δυϊκὰ ἐκ τῶν πληθυντικῶν κανονίζονται· ἄλλως τε ὅτι τὰ δυϊκὰ ὕστερον ἐπενοήθησαν· οἱ γὰρ Αἰολεῖς καὶ οἱ Ῥωμαῖοι, παντελῶς δυϊκὰ οὐκ ἔχουσιν· οἵτινες ἄποικοι εἰσὶ τῶν Αἰολέων· εἰκότως οὖν ἐπειδὴ ὕστερά εἰσιν, ἐκ τῶν προϋπαρχόντων ἐκανονίσθησαν· ἀλλ' οὔτε οὖν ἡ κοινὴ διάλεκτος ἔχει δυϊκὰ, οὔτε Αἰολεῖς, ἀλλ' εἰς πάντα τῷ πληθυντικῷ ἀριθμῷ κέχρηται ἀντὶ τοῦ δυϊκοῦ ἀριθμοῦ.

Αἱ περισπώμεναι συζυγίαι, οἷον ἡ πρώτη καὶ ἡ δεύτερα, τὰς γενικὰς τῶν μετοχῶν εἰς ου ποιοῦσιν· οἷον, χρυσοῦντος καὶ ποιοῦντος· ἡ δευτέρα τῶν περισπωμένων εἰς ω μέγα· βοῶντος· καὶ αἱ τρεῖς γὰρ συναιροῦνται· ἐπεὶ δὲ τῶν περισπωμένων τῆς τρίτης συζυγίας καὶ ὁ μέλλων τὴν γενικὴν τῆς μετοχῆς εἰς ου ἔχει, οἷον κερῶν, κεροῦντος· τελοῦντος· εὐφρανοῦντος· μιανοῦντος· ὁμοίως τῇ πρώτῃ καὶ τῇ αὐτῇ τρίτῃ τῶν περισπωμένων.

Ἰστέον ὅτι αἱ γενικαὶ τῶν μετοχῶν ποιοῦσι τὰ εἰς μι πρῶτα πρόσωπα τῶν πληθυντικῶν· καθάπερ καὶ ἐν ταῖς ἑτέραις συζυγίαις, καθὰ καὶ ὁ τεχνικὸς ἐπὶ τοῦ τύπτομεν λέγει ὅτι ὁ λόγος διήκει καὶ ἐπὶ τῶν εἰς μι, τιθέντος γὰρ καὶ τίθεμεν· διδόντος καὶ δίδομεν· ζευγνύντος καὶ ζεύγνυμεν· ποιοῦντος, ποιοῦμεν· κιχράντος, κιχράμεν· τύπτοντος, τύπτομεν.

Ὅσα ἔχουσι τὴν μετοχὴν εἰς ας ἔχουσι τὴν παραλήγουσαν τοῦ δευτέρου τῶν πληθυντικῶν τὴν αὐτὴν τῷ πρώτῳ· τύψας, ἐτύψαμεν, ἐτύψατε· τετύφακεν, τετύφαμεν, τετύφατε· καὶ τούτου γὰρ εἰς σ λήγει ἡ μετοχή· ἐτύφθημεν, ἐτύφθητε· δίδομεν, δίδοτε· ἔστι δὲ ἐπὶ τῶν ἐχόντων εἰς μεν τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν, ἐπὶ δὲ τοῦ χρυσοῦτε, ἡ συναίρεσις ἐστὶν αἰτία· σεσημείωται τὸ φασὶν, ὅτι τῆς μετοχῆς βαρυνομένης τὸ ῥῆμα ὀξυτονήθη· οἱ φάντες γὰρ, τῶν φάντων, τοῖς φάσι· τὸ δὲ γ' τῶν πληθυντικῶν τοῦ ἐνεστῶτος φασί· τὰ

γὰρ[y] ἀλλὰ τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν κατὰ τὴν δοτικὴν τῶν πληθυντικῶν ἔχουσιν, οἷον τύπτουσι· τιθεῖσι· κιχρᾶσι· διδοῦσι· ζευγνῦσι· ταῦτα γὰρ καὶ δοτικὰ εἰσὶ καὶ τῶν πληθυντικῶν, καὶ τρίτα τῶν πληθυντικῶν· ὥσπερ δὲ τὸ φασὶν, οὕτω καὶ τὸ εἰσίν· ἡ γὰρ μετοχὴ εἷς, ἔντος· τὸ γ' τῶν πληθυντικῶν, εἰσί· τῆς δὲ μετοχῆς ἡ δοτικὴ τῶν πληθυντικῶν, εἶσι· ἔχουσι δὲ ἀπολογίαν τοιαύτην· ἔστι γὰρ εἰπεῖν ὅτι αἱ μετοχαὶ βαρύνονται, ἐπειδὴ πᾶσα δοτικὴ πληθυντικὴ δισύλλαβος εἰς ι λήγουσα ἐπ' ὀνομάτων ὀξύνεσθαι θέλει· οἷον, βουσί· Τρωσί· μησί· χησί· πλὴν τοῦ πᾶσι καὶ σπέσι· τὸ δὲ τίσι, ποτὲ μὲν τίσι γράφεται ποτὲ δὲ τισί, ὡς ὑπὸ τοῦ ῥυθμοῦ ἐκφέρεται· ἐπὶ δὲ τῶν μετοχῶν βαρύνονται, οἷον, βᾶσι· στᾶσι· θεῖσι· τὸ μέντοι φασὶ καὶ εἰσὶ ἐγκλιτικά[z] εἰσιν· οἷον, ἄνθρωποί εἰσι· καὶ ἄνθρωποί φασι· καὶ ἄνθρωποί εἰσιν, καὶ ἄνθρωποί φασιν· τούτου οὖν χάριν τὸ φασὶν καὶ εἰσὶν ὡς ἐγκλιτικὰ[a] ὀξύνονται· ἤγουν ταῦτα μὲν καθ' ἑαυτὰ ὄντα ἐν τῇ τελευταίᾳ συλλαβῇ φυλάττουσι τὸν τόνον· συντιθέμενα δὲ βαρύνονται· περισπᾶσθαι δὲ οὐκ ἐδύναντο, ἐπειδὴ βραχυκαταληκτοῦσι· περισπωμένη γὰρ ἐπάνω βραχείας οὐ τίθεται, οὔτε ἐπάνωθεν μακρᾶς, ἀλλ' ἐπάνω φύσει μακρᾶς. Ἑρμῆς· παῖς· Ἡρακλῆς· τούτων οὖν, ἤγουν τοῦ φασὶ καὶ τοῦ εἰσὶ, καὶ μάλιστα τοῦ εἰσὶν, οὐκ ἔστιν ἡ δοτικὴ τῶν πληθυντικῶν ἐν χρήσει. Καθολικῶς λέγομεν εἶναι ἐφελκυστικὸν τὸ ι τοῦ ν, ὅτε ἔχει προηγούμενον τὸ σ ἢ δυνάμει ἢ ἐνεργείᾳ· δυνάμει μὲν οἷον ἐστὶ, ἐστίν· ἐνεργείᾳ δὲ, ὡς Αἴασι, Αἴασιν· λέβησι, λέβησιν· ἐν δὲ τὸ ἐστὶν τὸ ταῦ, δυνάμει σ ἐστίν· ἀπὸ γὰρ τοῦ ἐσσὶ γέγονε κατὰ τροπὴν τοῦ σ εἰς τ· καὶ πάλιν Φοίνηξιν· Πέλοψιν· δυνάμει γὰρ ἐνταῦθα τὸ σ· τὸ γὰρ ξ, ἐκ τοῦ κ καὶ σ σύγκειται. τὸ δὲ ψ ἐκ τοῦ π καὶ σ. πολλάκις δὲ καὶ τοῦ φ προηγουμένου γίνεται τὸ ι ἐφελκυστικὸν τοῦ ν· οἷον, ναῦφι, ναῦφιν. τουτέστιν ἀπὸ τῶν νηῶν· ὄρεσφιν· ὄχεσφιν· ἔστιν οὖν ἡ αἰτία

[y] Hic deest aliq. nullo autem lac. indicio in cod. [z] Cod. ἐγκλητικά. [a] Cod. ἐγκλητικά.

αὕτη τοιαύτη τὸ ἔσχατον τῆς δοτικῆς τῶν ἑνικῶν, παρέσχατον θέλει εἶναι τῆς δοτικῆς τῶν πληθυντικῶν· οἷον, τῷ καλῷ, τοῖς καλοῖς· ἰδοὺ ἐν μὲν τῇ δοτικῇ τῶν ἑνικῶν τὸ ι ἔσχατόν ἐστιν, ἐν δὲ τῇ δοτικῇ τῶν πληθυντικῶν παρέσχατον, ἤγουν πλὴν ἐσχάτου στοιχείου· οἷον, τοῖς καλοῖς· ταῖς μούσαις· τούτου οὖν χάριν ἡ δοτικὴ τῶν πληθυντικῶν προσλαμβάνει τὸ ν, καὶ γίνεται Αἴασιν· Φοίνιξιν· Πέλοψιν· ἵνα εὑρεθῇ τὸ ι παρέσχατον. Τὸ ἤμελλον καὶ ἠβουλόμην καὶ ἠδυνάμην Ἀττικά εἰσί· τὸ δὲ ἤθελον ἀπὸ τοῦ θέλω.

Ἰστέον ὅτι οἱ Ἴωνες καὶ οἱ ποιηταὶ πολλάκις συναρχομένους ποιοῦσι τοὺς παρωχημένους τοῖς ἰδίοις ἐνεστῶσιν, εἴτε ἀπὸ συμφώνου, εἴτε ἀπὸ φωνήεντος ἄρχεται ὁ ἐνεστώς. οἷον,

τύπτε δ' ἐπιστροφάδην

ἀντὶ τοῦ ἔτυπτεν· καὶ τὸ

ἄγε δὴ μοίρα βαρεῖα

ἀντὶ τοῦ ἦγεν· καὶ τὸ ἅψατο, χωρὶς τοῦ εἶπε· τοῦτο γὰρ τῆς μετοχῆς τὴν ἄρχουσαν ἐφύλαξεν, οὐ μὴν τοῦ ἐνεστῶτος· ἔπω γὰρ, ἐξ οὗ καὶ τὸ ἐνέπω. Πάλιν ἐὰν ἀπὸ συμφώνου ἄρχεται ὁ ἐνεστὼς συλλαβικῶς μεγεθύνεται ἡ ἄρχουσα τοῦ παρατατικοῦ, οἷον τύπτω, ἔτυπτον· χωρὶς τῶν ἀπὸ προθέσεων· ἐκεῖνα γὰρ ἐντὸς προσέλαβε τὸ ε κατὰ τὴν ἄρχουσαν· καταγράφω, κατέγραφον· κατέλεγον· περιεπάτουν· οὐδὲ γὰρ λέγομεν ἐκατέγραφον, οὐδὲ ἐκατέλεγον· χωρὶς τοῦ δυσαρεστῶ, καὶ τοῦ δυσαπιστῶ· ταῦτα γὰρ οὐ προσλαμβάνουσι τὸ ε κατὰ τὴν ἄρχουσαν· ἀλλὰ δυσηρέστουν καὶ δυσηπίστουν.

Ἰστέον ὅτι ἐὰν ἀπὸ τοῦ ρ ἄρχεται ὁ ἐνεστὼς, καὶ ἕτερον ρ προσλαμβάνει ὁ παρατατικός· οἷον, ῥάπτω, ἔρραπτον· ῥαπίζω, ἐρράπιζον· ῥέω, ἐπέρρεον, ἐπέρρεεν· ἡ δὲ αἰτία αὕτη· Ἰστέον ὅτι τὸ ρ ἐνομίσθη φωνῆεν εἶναι ἐπειδὴ ψιλοῦται καὶ δασύνεται καθάπερ τὰ φωνήεντα· ψιλοῦται μὲν, οἷον, μέρος· φέρω· δασύνεται δὲ, οἷον, ῥάπτω· ὥσπερ οὖν οὐ τίθεται πνεῦμα ἡ δασεῖα ἢ ψιλὴ ἐπάνω συμφώνου, τὸν αὐτὸν τρόπον οὐδὲ ἐπάνω φωνήεντός τινος· διὰ τοῦτο οὖν ὡς εἴρηται ἐπενοήθη φωνῆεν εἶναι.

Τὰ εἰς ος λήγοντα ἀρσενικὰ ποιοῦνται κατ' ἰδίαν θηλυκὰ, οἷον, Βυζάντιος, Βυζαντία· Ῥόδος, Ῥοδία· κύριος κυρία· ἀλλότριος, ἀλλοτρία· μέτριος, μετρία· πλήσιος, πλησία· πλούσιος, πλουσία· Ἐφέσιος, Ἐφεσία· πλὴν τοῦ ὀγδόη[b]· εἰ δὲ σύμφωνον ἔχουσι πρὸ τοῦ ο, εἰς η ποιοῦσι τὸ θηλυκόν. οἷον, σοφὸς, σοφή· καλὸς, καλή· εἰ δὲ ἔχουσι πρὸ τοῦ ο τὸ ρ, εἰς α ποιοῦσι τὸ θηλυκόν· οἷον, ἀνώτερος, ἀνωτέρα· σοφότερος, σοφοτέρα· φοβερὸς, φοβερά· χλιαρὸς, χλιαρά· χωρὶς τοῦ Ἄσκρη πόλις· δέρη· Ἐφύρη· Κόρη[c]· Ὀλύκρη πόλις· Κάτρη[d] πόλις.

Τὸ ἔαδεν οἱ Αἰολεῖς, εὔαδεν λέγουσιν, ὡς καὶ νοῦσος καὶ Οὔλυμπος.

Περὶ τοῦ μὴ εἶναι φωνῆεν τὸ ρ— Πρῶτον μὲν ὅτι αὐτὸ καθ' ἑαυτὸ οὐδὲν ἀποτελεῖ φωνῆεν, τάγε μὴν φωνήεντα ἀποτελοῦσιν· ἄλλως τε δὲ, ὅτι οὐ δύναται ἐν μιᾷ συλλαβῇ τρία φωνήεντα εὑρίσκεσθαι· ἐὰν δῶμεν εἶναι φωνῆεν τὸ ρ, εὑρίσκονται τρία φωνήεντα εἰς ἓν οἷον ῥεῦμα, ὅπερ ἐστὶν ἄτοπον.

Ἰστέον ὅτι οὐδέποτε ὄνομα ἀρσενικὸν εἰς φωνῆεν λήγει· οἷον, Πλάτων· Φοίνιξ· τὸ δὲ ἵπποτα Νέστωρ, καὶ μητίετα κατὰ μετάπλασμον εἰσὶν, κλητικὰ γάρ· πῶς οὖν τὸ ρ φωνῆεν δύναται εἶναι, ὅπου τὸ Νέστωρ καὶ ῥήτωρ, εἰς ρ λήγουσι.

Διατί ἔχει ἔῤῥαπτον δύο ρρ; ἐπειδὴ τὰ σύμφωνα τοῦ ἐνέστωτος, φυλάττεσθαι θέλει καὶ ἐν τοῖς παρῳχημένοις· οἷον φιλῶ, ἐφίλουν· τύπτω, ἔτυπτον· φυλάττει γὰρ τὸ φ καὶ τὸ τ· ἀπὸ οὖν τοῦ ῥάπτω καὶ ῥαπίζω, ἐὰν γένηται ὁ παρατατικὸς προσόδῳ τοῦ ε δι' ἑνὸς τοῦ ρ, ἀναγκάζεσθαι ψιλοῦσθαι τὸ ρ, τοῦ ἐνεστῶτος δασυνομένου· τάγε μὴν τὰ πνεύματα τῆς εὐθείας φυλάττεσθαι θέλει καὶ ἐν ταῖς λοιπαῖς πτώσεσιν· ἔμελλεν οὖν ψιλοῦσθαι τὸ ρ, ἐν τῷ παρατατικῷ, ἐπειδὴ κα-

[b] καὶ τῶν λοιπῶν ἀριθμῶν add. rec. m. in marg. [c] Leg. Κύρη.
[d] κάτρι Cod.

νών ἐστιν ὁ λέγων, τὸ ρ μεταξὺ δύο φωνηέντων ἐν ἁπλῇ καὶ ἀκινητῷ λέξει ψιλοῦται· τούτου οὖν χάριν προσλαμβάνει ὁ παρατατικὸς καὶ ἕτερον ρ, ἵνα φυλαχθῇ τὸ πνεῦμα τοῦ ἐνεστῶτος καὶ δασυνθῇ. Ἐὰν εὑρεθῶσι δύο ρρ, τὸ μὲν πρῶτον ψιλοῦται, τὸ δὲ ἕτερον δασύνεται· ἤγουν τὸ δεύτερον, χωρὶς τῶν Αἰολέων· ἐκεῖνοι γὰρ ἀμφότερα ψιλοῦσιν. ὅγε μὴν ποιητὴς πολλάκις διὰ τὸ μέτρον ἐκβάλλει τὸ ἓν ρ τοῦ παρατατικοῦ, ὡς τὸ ἔρεξεν. διὰ τοῦτο οὖν ψιλοῦται τὸ πρῶτον ρ· ἐπειδὴ οὔτε συλλαβὴ οὔτε λέξις, εἰς δασὺ καταλήγει· ὅθεν Ἀτθὶς καὶ Σαπφὼ καὶ Βάκχος τὰ πρῶτα ψιλοῦται καὶ οὐ δασύνεται.

Τέσσαρα φωνήεντα οὐ μεταβάλλονται ἐν τοῖς παρῳχημένοις· η, ω, ι, υ, οἷον, ἠβῶ, ἤβουν· καὶ ἠχῶ, ἤχουν· ὠθῶ, ὤθουν· ἰξεύω, ἴξευον· καὶ ὑδρεύω, ὕδρευον· τὸ οὖν ι καὶ υ ἐν τοῖς παρῳχημένοις, φύσει μακρὰ γίνονται, πρῶτον ὄντα θέσει· τὸ δὲ η καὶ ω, οὐ δύνανται πλέον μεγεθύνεσθαι, διὰ τὸ ἐξ ἀρχῆς καὶ πρῶτον φύσει μακρὰ εἶναι· τὸ δὲ φύσει μακρὰ πῶς ἂν αὐξήσωσιν;

Τρία δέ εἰσι καὶ μεταβολικὰ ἐν τοῖς παρῳχημένοις. α, ε, ο· οἷον, ἄγω, ἦγον· ἅπτω, ἧπτον· χωρὶς τῶν Ἰωνικῶν τὸ ἄγεν καὶ τὸ ἅψατο· καὶ χωρὶς τοῦ ἀηδίζομαι, ἀηδιζόμην, ἵνα μὴ εὑρεθῇ ἀλλεπάλληλον τὸ η· οἷον, ἠηδιζόμην· τὸ δὲ ἄω τὸ σημαῖνον τὸ πνέω· καὶ τὸ ἀΐω τὸ ἀκούω, οὐκ ἐτράπησαν· τὸ μὲν ἀΐω, διὰ τὸ μὴ συνεμπεσεῖν τὸ ἦεν, ἀντὶ τοῦ ὑπῆρχεν.

Ἀποροῦσι δέ τινες διὰ ποῖαν αἰτίαν τὸ μὲν α εἰς η τρέπεται, τὸ δὲ ι καὶ υ οὐ τρέπονται· καὶ φαμὲν ὅτι τὸ α ἀντίστοιχον ἔχει τὸ η, οἷον λήβω, ἔλαβον· μήθω, ἔμαθον· δήκω, ἔδακον· λήθω, ἔλαθον· λήχω, ἔλαχον· τὸ δὲ ι καὶ υ, ὡς μὴ ἔχοντα ἀντίστοιχον, οὐκ ἐτράπησαν.

Τὸ ο εἰς ω μέγα ἐν τῷ παρατατικῷ τρέπεται, οἷον, ὀμνύω, ὤμνυον· ὁμολογῶ, ὡμολόγουν· ὁρῶ, ὥρων, καὶ Ἀττικῶς πλεονασμῷ τοῦ ε, ἑώρων· ὡσαύτως ἆξα καὶ ἔωξα, καὶ ἧλων καὶ ἑάλων· τὸ δὲ ε ποτὲ μὲν εἰς η τρέπεται, οἷον, ἡρμήνευον,

ἡτοίμαζον, ἤλαυνον, ἠρέθιζον· ποτὲ δὲ τὸ ι προσλαμβάνει, ὡς τὸ εἶχον καὶ εἶπον. Καὶ ἔστιν εἰπεῖν ὅτι τὰ ἀπὸ τοῦ ε ἀρχόμενα ῥήματα, ἐὰν εὑρεθῶσιν ὑπὲρ δύο συλλαβὰς, τρέπουσι τὸ ε εἰς η ἐν τῷ παρατατικῷ, οἷον τὸ ἡρμήνευον· χωρὶς τοῦ ἐθίζω, εἴθιζον, καὶ ἐργάζομαι, ἠργαζόμην, καὶ ἑστιῶ, εἱστιώμην· τινὲς μέντοι καὶ διὰ τοῦ η γράφουσι ταῦτα. Πρὸς τούτοις τὸ ἐρύω, εἴρυον, καὶ ἑλκύω, εἵλκυον· ἑρπύζω, εἵρπυζον. Τὰ δὲ δισύλλαβα, εἰ μὲν περισπῶνται, τρέπουσι τὸ ε εἰς η· οἷον, ἐρῶ, ἤρων· ἑψῶ, ἥψον· ἐλῶ τὸ ἐλαύνω, ἤλον, χωρὶς τοῦ ἐῶ, εἴων καὶ ἐρῶ, εἴρουν τὸ ἔλεγον· τὸ γοῦν ἐρῶ μέλλων ἐστὶν, ἐξ οὗ καὶ ὁ παρακείμενος εἴρηκα· τὸ γοῦν ἥλκυσα ἐν τῷ ἀορίστῳ η γράφεται. Τὰ δὲ δισύλλαβα βαρύτονα καὶ αὐτὰ ἔχουσι διαφοράν· τινὰ μὲν γὰρ ἐξ αὐτῶν διὰ τοῦ η γράφεται, οἷον, ἔρδω, ἤρδον· τινὰ δὲ διὰ τῆς ει διφθόγγου· οἷον, ἔχω, εἶχον. Καὶ ἔστιν εἰπεῖν, ὅτι πάντα διὰ τοῦ η γράφονται, οἷον, ἔρδω, ἤρδον· ἔσθω τὸ τρώγω, ἦσθον, χωρὶς τοῦ εἶρπον, εἶχον, καὶ εἶπον, καὶ εἶλον· ἔθω, εἶθον· ἐξ οὗ ὁ παρακείμενος εἶθα, καὶ εἴωθα πλεονασμῷ τοῦ ω. ἔστι δὲ καὶ τὸ ἕω τὸ ἐνδύομαι, ἐξ οὗ ὁ παρακείμενος εἶκα, καὶ παθητικὸς εἶσται.

Ἰστέον ὅτι ἡ ει καὶ ἡ ου δίφθογγος οὐ τρέπονται· οἷον, εἰκονίζω, εἰκόνιζον, καὶ εἰκάζω, εἴκαζον· καὶ πάλιν οὐριοδρόμουν, οὔρουν· αἱ δὲ λοιπαὶ, εἰς τὰ οἰκεῖα μεταβάλλονται· οἷον, οἴγω, ᾦγουν· οἴχομαι, ᾠχόμην· οἴομαι, ᾠόμην· οἰκειοῦμαι, ᾠκειούμην· καὶ πάλιν ἡ αι· αἰσχύνομαι, ᾐσχυνόμην· αἰτῶ, ᾖτουν· καὶ πάλιν ἡ αυ· αὐλῶ, ηὔλουν· αὔξω, ηὖξουν· ηὔχουν, ηὐτομόλουν, ηὔδουν· καὶ πάλιν ἡ οι, καθάπερ ἔφημεν· ᾤγουν, ᾤκουν, ᾠκοδόμουν, ᾠνοχόουν καὶ πλεονασμῷ τοῦ ε ἐῳνοχόουν· τὸ γ' ἐῳνοχόει, ὡς τὸ

νέκταρ ἐῳνοχόει·

χωρὶς τοῦ οἰώθη, ὃ σημαίνει τὸ ἐμονώθην· τὸ οἴμησεν ἀντὶ τοῦ ὥρμησεν τὸ οἰνῶ, οἰνόουν· οἰνωθέντες, ἤγουν μεθυσθέντες· τὸ οἴστρησεν, ἤγουν ἐρωτικῶς ἐμάνη· τὸ οἰωνιζόμην· τὸ οἰωνοσκόπειν, τὸ οἰωνοπόλουν, τὸ οἰάκιζον, τὸ οἰακοστρόφουν, τὸ οἴδαινον· τὸ οἴμωζον καὶ ᾤμοζον γράφεται· ὡς τὸ ᾤμοξε· καὶ

οἰκούρουν καὶ ὠκούρουν· ταῦτα δὲ οὐ τρέπουσιν, ἢ δι' ἀφωνίαν, ἢ Ἰωνικῷ ἔθει, ὡς τὸ ἄγεν καὶ

τύψεν ἐπιστροφάδην,

καὶ ἄψατο.

Λέγομεν, δὲ ἐπὶ τῆς ει καὶ ου διφθόγγου, ὡς τὰ κυρίως μεγέθη ἀρκοῦνται τῷ ἰδίῳ μεγέθει, ὡς τὸ η καὶ ω, καὶ διὰ τοῦτο ἀνεπαύξητά εἰσιν, ὥσπερ εἰρήκαμεν· ἐπεὶ οὖν ἡ ει δίφθογγος γνήσιον μέγεθος ἔχει, τὸ γὰρ ε μεγεθυνόμενον διὰ τῆς προσθήκης τοῦ ι μεγεθύνεται· ὡς τὸ τυφθεῖσα καὶ δαρεῖσα· τούτου οὖν χάριν ἡ ει δίφθογγος ἄτρεπτος ἔμεινεν, ὥσπερ καὶ ἡ ου· τὸ γὰρ ο μεγεθυνόμενον, διὰ τῆς προσθήκης τοῦ υ μεγεθύνεται· οἷον, τύπτουσα, λέγουσα· ἡ δὲ αι δίφθογγος καὶ ἡ ευ καὶ ἡ οι γνήσιον μέγεθος οὐκ ἔχουσι· τὸ γὰρ α οὐ διὰ τῆς προσθήκης τοῦ ι μεγεθύνεται, ὥσπερ οὐδὲ διὰ τοῦ υ, οὐδὲ τὸ ο διὰ τοῦ ι.

Ἰστέον ὅτι Ἀττικόν ἐστι τὸ ηὐφραινόμην καὶ ηὐχαρίστουν καὶ ηὐχόμην· κοινὸν δὲ εὐφραινόμην, καὶ εὐχαρίστουν καὶ εὐχόμην. Τὸ ἀνεγίνωσκον καὶ κατέγραφον καὶ περιεπάτουν, διὰ τοῦτο οὐδὲν αὔξει ὄπισθεν· οἷον, ἐκατέγραφον, ἐπεριεπάτουν, διὰ τὴν πρόθεσιν· ἐπειδὴ ὡς ἐμάθομεν διὰ τοῦτο λέγεται πρόθεσις, διότι οὐδὲν αὐτῆς θέλει προτάσσεσθαι· ἡ πρὸ δὲ καὶ ἡ περὶ οὐκ ἐκθλίβονται· οἷον, προσέρχομαι καὶ περιέρχομαι· ἄλλως δὲ ὅτι ἐὰν γένηται ἐκατέγραφον ἐξ ἀμαυροῦται τελέως τὸ ἰδίωμα τῆς προθέσεως. Συλλαβῆς οὖν προερχομένης καὶ οὐ λέξεως ἐξαμαυροῦται τελείως τὸ ἰδίωμα τῆς προθέσεως· ἄτρεπτος οὖν χωρεῖ ἡ πρόθεσις, χωρὶς εἰ μὴ ἐν πλεονασμῷ εἴη, ὡς τὸ καθέζομαι, ἐκαθεζόμην· καθεύδω, ἐκάθευδον· ἐκάμμυον, ἤνεπον· ἐνταῦθα γὰρ οὐδὲν πλέον σημαίνουσι· πλεονάζουσι δὲ ἄλλως. τὸ γὰρ ἕζομαι καὶ καθέζομαι ταυτόν εἰσι· τὸ δὲ ἐκάμμυον ἐκβολῇ τοῦ α, καὶ τροπῇ τοῦ τ εἰς μ γίνεται, ὡς ἁπλοῦν σχεδὸν δοκεῖν.

Ἰστέον ὅτι αἱ προθέσεις προαρχόμεναι λέξεσι, πολλάκις οὐχ ὡς προθέσεις καὶ σημασίας ἔχουσαι λέξεως, ἀλλὰ συλλαβὴν ἔχουσαι· οἷον ἀντίβιος, ἐναντίβιος· ἁλίσκιος, ἐναλί-

σκιος· ἀντίον, ἐναντίον· ὅθεν καὶ ὡς ἁπλῶν τῶν λέξεων οὐσῶν, ἐποίησαν τὸ γένος· τὸ γὰρ ἀντίβιος καὶ ἐναντίβιος ταυτὸ σημαίνουσι.

Τὰ εἰς ος σύνθετα μὴ ὄντα κύρια, κοινὰ εἰσὶ τῷ γένει· οἷον, φιλόσοφος καὶ ἡ φιλόσοφος· πάνσοφος, ἡ πάνσοφος· φιλάνθρωπος καὶ ἡ φιλάνθρωπος· πρόεδρος καὶ ἡ πρόεδρος· ἄκακος καὶ ἡ ἄκακος· ὁ παγκάκιστος καὶ ἡ παγκάκιστος· τὸ δὲ παγκακίστη Ἀττικόν ἐστιν· ὁ σοφὸς καὶ ἡ σοφή· ὁ κλυτὸς καὶ ἡ κλυτός· ὁ στερρὸς καὶ ἡ στερρός· ὁ ἀθάνατος καὶ ἡ ἀθάνατος· ὁ ἀρίζηλος καὶ ἡ ἀρίζηλος. τὸ οὖν ἐναντίβιος καὶ ἐναλίσκιος οὐκ εἰσὶ κοινὰ τῷ γένει, ἀντίβια γὰρ καὶ ἐναντία· ὥσπερ καὶ τὸ Βυζαντία καὶ Ῥωμαΐα καὶ μετρία. τὸ οὖν μηδαμινὴ καὶ οὐτιδανή, ἐκ τοῦ μηδαμεινὸς ὀνόματος γέγονεν· ἐξ οὗ καὶ τὸ μηδαμείνως ἐπίρρημα· ταῦτα γὰρ παρασύνθετά εἰσιν, ὡς τὸ φιλοσοφότερα καὶ ἀριδηλότερα.

Ἰστέον οὖν ὅτι εἰς τὸ ἐναντίος οὐδὲν πλέον σημαίνει ἡ πρόθεσις.

Τὰ εἰς ος πρὸ μιᾶς ἔχοντα τὸν τόνον ἐν τῇ συνθέσει ἀναβιβάζουσιν αὐτόν· οἷον, ποικίλος, πολυποίκιλος· φίλος, ἄφιλος· οἶκος, ἄοικος· δοῦλος, ἄδουλος· Ῥωμαῖος, φιλορώμαιος· Ἀθηναῖος, Φιλαθήναιος· αἰόλος, κορυθαίολος· τὸ δὲ βουκόλος ἀπὸ τοῦ βουκολῶ.

Τὸ καθέζομαι καὶ καθεύδω καὶ καμμύω, ἐπειδὴ τῶν ἁπλῶν τὴν φύσιν ἐφύλαξαν, οὐδὲν πλέον σημαίνει ἡ πρόθεσις, ὥσπερ τὸ ἀντίβιος καὶ ἐναντίβιος· καὶ τούτου χάριν ἔξωθεν ηὔξησεν· ἐκάμμυον, ἐκάθευδον.

Ἰστέον ὅτι παρὰ τοῖς Ἀττικοῖς καὶ ἔξωθεν αὔξουσι προθέσεις· οἷον, ἠντιδίδουν, ἐδιακόνουν· ἐξ οὗ τὸ δεδιακόνικα, ἠντιβόλουν, ἠμιεννύμην· καὶ ἔστιν ὅτε καὶ ἔσωθεν καὶ ἔξωθεν γίνεται ἡ αὔξησις· οἷον ἐνοχλῶ, ἠνώχλουν· ἠνεσχόμην· παροινῶ, ἐπαρώνουν καὶ παρώνηκα· τὸ δὲ δυσαπιστῶ καὶ εὐορκῶ καὶ εὐαρεστῶ σημείωσε, ὅτι ἀπὸ ἐπιῤῥήματος ἄρχεται καὶ οὐκ ἀπὸ προθέσεως, διὸ καὶ ἔσωθεν αὔξει, ὡς τὸ εὐαγγελίζομαι, ηὐηγγελιζόμην· τὸ δὲ ἔμελλον καὶ ἤμελλον, καὶ ἐβουλόμην

καὶ ἠβουλόμην Ἀττικὴν ἔκτασιν ἐδέξαντο. τὸ δὲ ἑορτάζω ὤφειλεν εἶναι ἐν τῷ παρατατικῷ, οἷον, ἠώρταζον· ἀλλὰ ὑπερβιβασμὸν ἀνεδέξατο χρόνου, καὶ ἐγένετο διὰ τοῦ ε καὶ ω μεγάλου, ἑώρταζον, ὥσπερ καὶ τὸ ὤψεον ἀντὶ τοῦ ἐπιθυμίαν ἔχω.

Ἐὰν τὸ ἔτυπτεν ἐστὶν ἐφελκυστικὸν τοῦ ν διατί μὴ καὶ τὸ τύπτεν προστατικὸν ἔχει τὸ ν, ὅταν εὑρεθῇ φωνῆεν ἔμπροσθεν; καὶ φαμὲν, ὅτι τὸ τύπτε δεύτερον ἐστὶ πρόσωπον· οὐ δύναται δὲ τὰ δεύτερα ἐφελκυστικὰ εἶναι τοῦ ν· δεύτερον δὲ ὅτι τὰ προστατικὰ συγγένειαν ἔχουσι πρὸς τὴν κλητικὴν, οἷον, τύπτε σύ· αἱ οὖν εἰς ε κλητικαὶ οὐδέποτε ἐφελκυστικὸν ἔχουσι τὸ ν· οἷον, Ὅμηρε, ἄνθρωπε.

Τὸ ἔβαν καὶ ἔσταν καὶ κόσμηθεν, ἀπὸ τοῦ τρίτου τῶν πληθυντικῶν· τὸ δὲ

"τρεῖς δ' ἦν κεφαλαὶ,"

ἀπὸ τοῦ ἦσαν· ταῦτα οὖν ἐλλείπουσι μιᾷ συλλαβῇ τοῦ πρώτου τῶν πληθυντικῶν· τὸ δὲ πληροῦσαν παρ' Εὐριπίδῃ ἰσοσυλλαβεῖ, ὡς καὶ τὸ ἔσχαζον ἐσχάζοσαν παρὰ Λυκόφρονι. Ταῦτα δὲ Χαρκηδονέων[e] ἰδιώματα εἰσίν.

Ὅτε ὁ μέλλων διὰ τοῦ ψ, ὁ παρακείμενος διὰ τοῦ φ· οἷον, τύψω, τέτυφα. εἰ δὲ ὁ μέλλων διὰ τοῦ ξ, ὁ παρακείμενος διὰ τοῦ χ, πλέξω, πέπλεχα, τετίναχα· νένυχα· εἰ δὲ ὁ μέλλων διὰ τοῦ σ, ὁ παρακείμενος διὰ τοῦ κ· οἷον, πήσω, πέπεικα· εἰ δὲ ὁ μέλλων διὰ τῶν δ' ἀμεταβόλων, ὁ παρακείμενος διὰ τοῦ γ καὶ κ· μεμίαγκα· μεμόλυγκα· τοῦ ν εἰς τὸ γ τραπέντος διὰ τὴν ἐπιφορὰν τοῦ κ· τοῦ δὲ νένηθα καὶ εἴωθα αἴτιός ἐστιν ὁ ἐνεστώς· ἄλλως τε ὅτι μέσοι παρακείμενοι εἰσίν· ὡς καὶ τὸ πέποιθα, πέπεικα γὰρ ὤφειλεν εἶναι· καὶ νένηκα· χωρὶς τοῦ τέτιλκα καὶ κέκαρκα καὶ ἔφθαρκα καὶ ἔσπαρκα· ταῦτα γὰρ καὶ λ ἔχουσι. Ὅταν ἐπείγεται ἢ κ, ἢ γ, ἢ ξ, ἢ χ, τρέπεται τὸ ν εἰς γ· οἷον ἐγκέφαλος, συγγενὴς, σύγχυσις, συγξηράνω· τὸ δὲ σὺν Γεωργίῳ, ἐπειδὴ δύο λέξεις εἰσὶν οὐκ ἐτράπη· τὸ δὲ μέμαγκα ἀπὸ τοῦ μένω,

[e] Sic.

μενῶ, καὶ τετάμακα ἀπὸ τοῦ τέμω, τεμῶ· καὶ νενάμακα, καὶ τετίμηκα, καὶ νενέμηκα καὶ βεβούρμηκα, τοῦ η πλεονάσαντος.

Ἰστέον δὲ ὅτι σεσημείωται τὸ κρίνω, κρινῶ, κέκρικα· κλίνω, κλινῶ, κέκληκα· πλύνω, πλυνῶ, πέπλυκα· τείνω, τενῶ, τέτακα· ταῦτα γὰρ ἀπέβαλον τελείως κατὰ τὸν παρακείμενον· οἷον, κεκέρδακα. τούτων ὁ παρακείμενος ὤφειλεν εἶναι διὰ τοῦ χ, καὶ ἔστιν οἷον κέκραχα καὶ τέταχα· ἀπὸ τοῦ κράζω, κράξω, καὶ ἀπὸ τοῦ τάζω, τάξω, τετάχα· ὁ οὖν μέσος παρακείμενος διὰ τοῦ γ· κέκραγα καὶ τέταγα καὶ νένυγα· ὥσπερ καὶ ὁ δεύτερος ἀόριστος διὰ τοῦ γ ἐστὶν, οἷον, ἔνυγον καὶ ἔταγον· ἐκ τοῦ τέταγα δὲ μέσου παρακειμένου γίνεται τὸ τεταγὼν μετοχὴ, ὡς τὸ

ῥίψε τεταγών.

Παραλήγουσαν ἀεὶ τὴν αὐτὴν ἔχει ὁ παρακείμενος τῷ μέλλοντι, χωρὶς τῆς ε´ συζυγίας· οἷον, σπείρω, ἔσπαρκα· ἐν δὲ ταῖς ἑτέραις οἷον, γελάσω, γεγέλακα· ποιήσω, πεποίηκα· τύψω, τέτυφα· κλαύσω, κέκλαυκα· χολώσω, κεχόλωκα.

Καὶ πάλιν ἐστὶ χέω, πνέω, πλέω, ῥέω δι᾽ ἑνὸς φωνήεντος, καὶ πλεονάζει ὁ μέλλων τὸ υ, καὶ γίνεται πλεύσω, πνεύσω, χεύσω, νεύσω, ῥεύσω· τούτων ὁ παρακείμενος πέπλευκα, κέχευκα· ἔῤῥευκα· πέπνευκα.

Πάλιν ἐστὶ πταίω, παλαίω· παίω· καὶ ἐπειδὴ ὁ μέλλων τὴν αὐτὴν φυλάττει δίφθογγον, πεπάλαικα, πέπαικα, πέπταικα· τὸ οὖν καίω καὶ κλαίω ἀποβάλλουσι τὸ ι, καὶ τούτου χάριν πλεονάζει τὸ υ ἐν τῷ μέλλοντι, οἷον κλαύσω, καύσω, ἢ ὅτι ἐγίνετο τροπὴ τοῦ ι εἰς υ· ταῦτα οὖν καὶ ἀπὸ τοῦ κλαύω καὶ καύω ἀχρήστου μέλλοντος, γίνεται ὁ μέλλων κλαύσω καὶ καύσω· ἐπειδὴ οὐδὲν θέλει εὑρίσκεσθαι διάφορος δίφθογγος ἐν τῷ ἐνεστῶτι καὶ μέλλοντι· οἷον, κρούω, κρούσω, κέκρουκα· τοξεύω, τοξεύσω, τετόξευκα.

Ἀπὸ τοῦ λέξω λέλεχα γίνεται ὁ μέσος παρακείμενος λέλοχα· ὥσπερ ἀπὸ τοῦ πέμπω, πέμψω, πέπεμφα καὶ πέπομφα καὶ κέκλοφα, πέπλοχα, ἔστοφα· ἀπὸ τοῦ τρέφω, θρέψω, τέθρεφα, καὶ τέθροφα καὶ βέβροχα, χωρὶς τῶν τρι-

συλλάβων μελλόντων· οἷον, ἐλέγχω, ἐλέγξω, ὁ παρακείμενος ἤλεγχα, οὐκ ἔτι δὲ ἤλογχα· καὶ ῥέξω, ῥέρεγχα, οὐκ ἔτι δὲ ἔρογχα.

Πᾶς ἐνεστὼς εἰς σαι τὸ τρίτον πρόσωπον ἀπὸ τῶν εἰς μι ἐστίν· οἷον τίθεμαι, τίθεσαι· ἵσταμαι, ἵστασαι· σημείωσαι τὸ κάθημαι καὶ τὸ κεῖμαι ἀπὸ τῶν εἰς μι κανονίζεται.

Ἡνίκα ὁ παρατατικὸς ἀπὸ μακρᾶς φύσει ἢ θέσει ἄρχεται, συνάρχεται καὶ ὁ παρακείμενος· οἷον, ἠγοράζω, ἠγόρακα· ἐξήρανον, ἐξήραγκα· ὅθεν καὶ τὰ ἀπὸ τοῦ ρ ἀρχόμενα ἔχουσι τὸν παρακείμενον ἀρχόμενον τῷ παρατατικῷ· οἷον, ἐρρύπουν, ἐρρύπωμα· ἐρράπιζον, ἐρράπικα.

Διπλασιασμός ἐστιν ὅτε τὸ ἑξῆς τῆς λέξεως σύμφωνον δὶς παραλαμβάνεται, οἷον, ἔτυπτον, τέτυφα· ἐλάλουν, λελάληκα· ἐκάλουν, κέκαλκα· ἔσειον, σέσεικα· ἔθυον, τέθυκα· πεφίλουν, πεφίληκα· τοῦ δασέος εἰς τὸ ἀντίστοιχον ψιλὸν τραπέντος διὰ τὴν κακοφωνίαν· καὶ ἐχειροτόνουν, κεχειροτόνηκα· καὶ γέγραφα καὶ γέγλυφα, καὶ κέκλαυκα, καὶ κεκράτηκα, καὶ πέπλυκα, καὶ κέκρικα, καὶ κέκλικα· χωρὶς τῶν ἐχόντων τὸ γν· οἷον, ἔγνωκα, ἐγνώρικα· ἐγνωσιμάχηκα, ἐγνυμένον καὶ βλαστικότες παρ' Εὐπόλιδι.

Τὸ κενότερος καὶ στενότερος καὶ ξενότερος, ἀπὸ τοῦ κεῖνος καὶ στεῖνος καὶ ξεῖνος πρωτότυπα, οὐκ ἐγένοντο διὰ τοῦ ω μεγάλου.

Ὅτε ἄρχεται ἀπὸ συμφώνου ὁ παρακείμενος, βραχεῖαν ποιεῖ τὴν ἄρχουσαν, ὅτε δὲ ἀπὸ φωνήεντος, μακράν.

Ἀπὸ τοῦ λήβω, λήψω, λέληφα· καὶ ἐκβολῇ λ καὶ πλεονασμῷ τοῦ ι, εἴληφα, ὡς καὶ τὸ εἴληχα καὶ εἷμακρα καὶ εἱμαρμᾶν[c]· ἐξ οὗ καὶ τὸ εἱμαρμένη, ἀπὸ τοῦ μείρω τὸ μερίζω· σεσημείωται τὸ ἔκτονα μέσος παρακείμενος, ἐπειδὴ οὐκ ἀποβάλλει τὸ τ ἐν τῇ παραληγούσῃ· ὡς καὶ τὸ κέκτημαι, καὶ μέμνημαι καὶ πέπτωκα.

Τῶν στοιχείων τὰ μὲν εἰσὶ σύμφωνα, τὰ δὲ φωνήεντα· τῶν δ' αὖ συμφώνων τὰ μέν εἰσιν ἄφωνα, τὰ δὲ ἡμίφωνα· τὰ οὖν ἄφωνα ἀστενέστερα εἰσὶ τῶν ἡμιφώνων· καὶ τῶν ἀφώνων

[c] Sic.

τὰ μὲν εἰσὶ δασέα τὰ δὲ ψιλά. Τὰ οὖν ψιλὰ ἐπιφερομένου φωνήεντος τρέπονται εἰς δασύ· οἷον, καθ' ἡμῶν· ἐφ' ἡμᾶς· αὐτίχ' ὁ μέν.

Ὅταν ὁ μέλλων ἀπὸ τοῦ ρ ἄρχεται οὐκ ἀναδιπλασιάζεται ὁ παρακείμενος· οἷον, ῥυπώσω, ἐρρύπωκα· ῥεύσω, ἔρρευκα· ῥαπίσω, ἐρράπικα· ῥάψω, ἔρραφα.

Καί ἐστιν εἰπεῖν ὅτι οὐδέποτε ὁ παρακείμενος ἀναδιπλασιάζεται διὰ δασέος· ἀμέλει καὶ ὅταν ὁ μέλλων ἀπὸ δασέος ἄρχηται, ὁ παρακείμενος τρέπει τὸ δασὺ εἰς ἀντίστοιχον αὐτοῦ ψιλόν· οἷον, θύσω, τέθυκα· φιλήσω, πεφίληκα· χειροτόνηκα· ἄλλως τε ἐπειδὴ ὁ παρατατικὸς ὅταν ἀπὸ μακρᾶς ἄρχεται φύσει ἢ θέσει, τὴν αὐτὴν ἄρχουσαν ἔχει τῷ παρακειμένῳ· οἷον, ἠλέουν, ἠλέηκα· ἐστεφάνουν, ἐστεφάνωκα· ῥάπτω, ἔρραπτον, καὶ ἔρραφα· τούτου χάριν ἀναγκάζεται ὁ παρακείμενος συνάρξασθαι τῷ παρατατικῷ. σημειούμεθα δὲ τὸ ἐρρυπωμένα παρὰ τῷ ποιητῇ· καὶ τὸ ἐρρίφαι[f] παρὰ Πινδάρῳ· καὶ τὸ[g] ῥεραπισμένω παρὰ τῷ Ἀνακρέοντι. κατὰ ποιητικὴν γὰρ ἐξουσίαν ταῦτα γεγόνασιν.

Ὅταν ὁ μέλλων ἄρχεται ἀπὸ διπλοῦ καὶ ἀπὸ δύο συμφώνων, μὴ ὄντος ἀφώνου πρὸ ἀμεταβόλου, οὐκ ἀναδιπλασιάζεται ὁ παρακείμενος· οἷον, ἐζήτηκα· ἐζωγράφηκα· ἔξεγκα[h] ἐξήραγκα· ἐψηλάφηκα· ἐψόφηκα, ἐστεφάνωκα. ἀπὸ δύο συμφώνων· καὶ ἐφθόνηκα καὶ ἔφθαρκα· ἐκτύπηκα· ἔσπαρκα. μὴ ὄντος ἀφώνου πρὸ ἀμεταβόλου, ὡς τὸ γέγραφα, καὶ γέγλυφα, καὶ πέπλυκα, καὶ κέκρικα, καὶ κέκρουκα, καὶ κέκλαυκα καὶ κέκληκα· χωρὶς τῶν ἐχόντων τὸ γν· οἷον, ἔγνωκα· ἐγνωσιμάχηκα· γνωσιμαχεῖν δέ ἐστι τὸ πρὸς κρείττονας μάχεσθαι.

Διατί οἱ Ἴωνες εἰς τοὺς παρατατικοὺς ἀποβάλον[i] τὴν ἄρχουσαν, οἷον, τύπτε καὶ ἄγε, οἱ παρακείμενοι οὐ ποιοῦσι τοῦτο; ἐπειδὴ οἱ μὲν παρατατικοὶ ἐν ταῖς μετοχαῖς ἀποβάλλουσι τὴν ἄρχουσαν, οἷον, τύπτον καὶ ἄγον· ὁ δὲ παρακείμενος ἀεί ποτε ἔχει ταύτην· οἷον, τετυφὼς, πεποιηκὼς, ἐσταλκώς.

[f] ἔρριφθαι Bekker Anecd. p. 1287. [g] Cod. τῶ. [h] Leg. ἐξήνεγκα. [i] Sic.

Ἰστέον ὅτι πᾶς μέλλων ἀπὸ φωνήεντος ἀρχόμενος, ἰσοσυλλαβεῖ αὐτῷ ὁ παρακείμενος· οἷον, ἀγοράσω, ἠγόρακα· ἑτοιμάσω, ἡτοίμακα· ἀριστεύσω, ἠρίστευκα· ἐὰν δὲ ἀπὸ συμφώνου, πλεονάζει ὁ παρακείμενος μιᾷ συλλαβῇ· οἷον, τύφω, τέτυφα.

Ἡ παραλήγουσα τοῦ δευτέρου τῶν πληθυντικῶν, λήγουσα θέλει εἶναι τοῦ δευτέρου τῶν ἑνικῶν· ἐπὶ τῶν παρῳχημένων δὲ πάντων τοῦτο εὑρήσεις, οὐκ ἐπὶ ἐνεστώτων· καὶ ἐπὶ τῶν ἐχόντων εἴς τε τὸ δεύτερον πρόσωπον τῶν πληθυντικῶν διὰ τὸ ἐτύπτετο καὶ ἐτύπτεσθε.

Τὸ κάθη καὶ μέμνη καὶ δύνη ἀποβολὴν πεπόνθασιν Ἰωνικήν· μέμνησαι, καὶ ἀποβολῇ τοῦ σ μέμνηαι, καὶ κατὰ συγκοπὴν τῆς παραληγούσης μέμνη πάλιν Ἰωνικῶς· καὶ γὰρ οἱ αὐτοὶ λέγουσιν ἐπίστεαι· χωρὶς εἰ μὴ τὸ β πρόσωπον εἰς σ λήγει· τότε γὰρ οὐ συστέλλεται ἡ παραλήγουσα εἰς ε, ἀλλὰ φυλάττεται· καὶ κατὰ κράσιν Ἀττικῶς τὸ ε καὶ α εἰς η· μένοντος καὶ τοῦ ι προσγεγραμμένου. οἷον, μέμνῃ.

Ἦν ἀντὶ τοῦ ὑπῆρχον ἐγὼ, εἰμὶ, ὁ παρατατικὸς εἶν διφθόγγου, καὶ κατ' ἐπέκτασιν Ἀττικὴν τοῦ ε εἰς η, ὥσπερ τὸ ἔμελλον, ἤμελλον, ἐβουλόμην, ἠβουλόμην, γέγονεν ἦν· τὸ δὲ ι ἀπεβλήθη. τὸ δὲ ἦν ἐκεῖνος ἀπὸ τοῦ ἔω· ὁ β ἀόριστος ἦον, ἦες, ἦεν· τὸ ε ἐφελκυστικόν ἐστι τοῦ ν, καὶ κατὰ κράσιν τοῦ ε καὶ η εἰς η γέγονεν ἦν· τὸ μὲν οὖν ἦν ἐγὼ Ἀττικόν ἐστι· τὸ δὲ ἦν ἐκεῖνος, κοινόν.

Τὸ ᾔδειν ὑπερσυντελικὸς γίνεται ᾔδεα· τὸ τρίτον ᾔδεε· ὡς τὸ εἴργω, ἐέργω Ἰωνικῶς· τούτου ὁ μέσος παρακείμενος ὤφειλεν εἶναι εἶδα, ἀλλ' ἐτράπη Αἰολικῶς, καὶ γέγονεν οἶδα· εἴδειν οὖν διὰ διφθόγγου ὤφειλεν εἶναι ὑπερσυντελικὸς, ἀλλ' ὥσπερ τὸ ἔμελλον ἤμελλον, ἐτράπη τὸ ε εἰς η, καὶ προσγράφεται καὶ τὸ ι.

Τὸ οὖτα ἀπὸ τοῦ οὔτασε, ὡς καὶ τὸ ἔκτα ἀπὸ τοῦ ἔκτανε.

Ἰστέον ὅτι οὐ μόνον ἐνεργητικὸν ἴδιον ποιοῦσιν οἱ Ἀττικοὶ παρακείμενον, ἀλλὰ καὶ μέσον· ὡς ἐπὶ τοῦ ὀμώμοκα, ὄλωλα, ὄπωπα, ὄρωρα, ὄδωδα· καὶ παθητικὸν δὲ ποιοῦσιν οἱ Ἀττικοὶ

παρακείμενον· ὡς τὸ ἀλήλιμμαι, ἐγήγερμαι. ὥστε οἱ Ἀττικοὶ δύο γράμματα καὶ τὴν τρίτην συλλαβὴν συστέλλουσιν, ὡς τὸ ἐρηρότηκα, καὶ ἀγηγόρακα, καὶ ἐνήνεχα, καὶ κατὰ τροπὴν τοῦ ε εἰς ο.[k] ἐνήνοχα· τὸ δὲ ὄδωδα ἢ ἀπὸ τοῦ ὄζω, ἢ ἀπὸ τοῦ ὄδω, ὡς καὶ φράζω, πέφραδα· τὰ δὲ τρία γράμματα, ἢ τὸ α, ἢ τὸ ο, ἢ τὸ ε, ὡς τὸ ἀλήλιφα, καὶ ὀμώμοκα καὶ ἐλήλυθα· ἐὰν δὲ μὴ ἔχει σύμφωνον ἐπιφερόμενον, οὐ ποιεῖ Ἀττικὸν παρακείμενον, ὡς ἐπὶ τοῦ ἀείρω καὶ ἑορτάζω. Καὶ διατί εἰς τὰ τρία ταῦτα ποιοῦσιν οἱ Ἀττικοὶ τὸν παρακείμενον, καὶ οὐκ εἰς τὸ η, ἢ εἰς τὸ ω; ἵνα μὴ εὑρεθῇ ἀπὸ μακρᾶς ἀρχόμενος, καὶ ἵνα μὴ εὑρεθῇ ἐν τῇ πρώτῃ καὶ δευτέρᾳ συλλαβῇ τὸ αὐτὸ στοιχεῖον ἔχον· οἷον, ἱκέτευκα, καὶ ἠλάκτηκα, καὶ ἥβηκα· ἔμελλον εἶναι ἱκετεύτευκα καὶ ὑληλάκτηκα, ἠβήβηκα, ὠθώθηκα, ὅπερ ἐστὶν ἀδύνατον. Σεσημείωται οὖν τὸ ἀλαλύκτηκα, ὅπερ σημαίνει τὸ ἐν πλάνῃ ὑπάρχον, καὶ τὸ ἀλάλημαι, καὶ τὸ ἀράροται, καὶ τὸ ἄραρα. ἔστι δὲ ἀπὸ τοῦ ἀλυκτέω ἀλυκτῶ, καὶ ἀπὸ τοῦ ἀλῶ ἀλήσω τὸ πλανήσω. λέγουσι δὲ ὥσπερ ἀπὸ τοῦ φιλῶ, φίλημι, καὶ φίλημα, οὕτως ἀπὸ τοῦ ἀλυκτῶ, ἀλύκτημαι, καὶ κατὰ ἀναδιπλασιασμὸν, ἀλαλύκτημαι, ὥσπερ καὶ ἀπὸ τοῦ ἀλῶ, ἄλημι, καὶ ἄλημαι τὸ παθητικὸν, καὶ ἀλάλημι· καὶ ἀρόω ἀρόσω, ὁ παθητικὸς παρακείμενος ἤρομαι, ἤροται καὶ ἀρήροται· καὶ ἀρῶ τὸ ἁρμόζω, ὁ μέσος παρακείμενος ἦρα, καὶ τὸ Ἀττικὸν ἄρηρα, καὶ τροπῇ Δωρικῇ τοῦ η εἰς α ἄραρα, καὶ ἄραρε.

Θέλει ὁ Ἀττικὸς παρακείμενος ἔχειν ἐν τῇ δευτέρᾳ συλλαβῇ τὸ αὐτὸ σύμφωνον, ἀλήλιφα, ἐλήλυθα, ὀμώμοκα, ὄπωπα, ἀκήκοα, ὄρωρα, ὄδωδα, ὄλωλα· τὸ δὲ ἀγήοχα καὶ ἐδήδοκα[l] συλλαβῇ ἐπλεόνασαν, ἀπὸ τοῦ ἄγω ἄξω, ἄγηχα. τὸ δὲ ἐδήδοκα ἀπὸ τοῦ ἔδω, ὁ μέλλων ἔσω, ὁ ἐνεργητικὸς παρακείμενος ἧκα, ὁ μέσος ἧδα καὶ Ἀττικῶς ἔδηδα· τούτου δὲ χάριν ἐπλεόνασεν ἡ τρίτη συλλαβὴ, καὶ ἐγένετο ἐδήδοκα. δύναται δὲ καὶ ἄλλως· ἔδω, ἐδήσω, ἔδηκα, καὶ Ἀττικῶς

[k] Cod. εἰς η.   [l] Cod. ἐδίδοχα.

ἐδήδεκα· τῆς γὰρ τρίτης ἀπ' ἀρχῆς συλλαβῆς συσταλείσης, καὶ κατὰ τροπὴν τοῦ ε εἰς ο, ἐδήδοκα, ὥσπερ ἐνήνοχα.

Οὐ θέλει ὁ Ἀττικὸς παρακείμενος ἔχειν τὴν τρίτην ἀπ' ἀρχῆς συλλαβὴν φύσει μακρὰν παρὰ τοῖς Ἀθηναίοις, ἀλλ' ἢ βραχεῖαν, ὡς τὸ ἀλήλιφα, καὶ ἐλήλυθα, καὶ ἀκήκοα, καὶ ὀμώμοκα, καὶ ὀλώλεκα, καὶ ἀγήοχα· ἢ θέσει μακρὰν, ὡς τὸ ἐγήγερκα, ἀλήλιμαι, ἐρήριται· σημαίνει δὲ τὸ ἐρίζειν, ἀπὸ τοῦ ἐρίζω ἐρίσω, ἤρικα καὶ ἐρήρικα· γίνεται δὲ ἀπὸ τοῦ ἐρείδω, ἐρήρειται· τὸ ρει δίφθογγον, καὶ φυλάττει τὴν ει δίφθογγον πρὸς ἀντιδιαστολὴν τοῦ ἐρήριται, τοῦ ἐπὶ τοῦ φιλονεικεῖν· γίνεται δὲ ἡ τρίτη συλλαβὴ φύσει μακρὰ, ὥσπερ καὶ ὀρώρηκα, ἀπὸ τοῦ ὁρῶ ὁρήσω, ὁ παρακείμενος ὥρηκα καὶ ὀρώρηκα· καὶ φυλάττεται παρὰ τοῖς Δωριεῦσι φύσει μακρὰ, ὥσπερ καὶ τὸ ἄκουκα καὶ ἀκήκοα· ἐπὶ δὲ τοῦ ἀριστεύω ἠρίστευκα, οὐ φαίνονται ποιήσαντες οἱ Ἀθηναῖοι· οἷον, ἀριρίστευκα· ἀλλὰ μὴν ὅμοιοι γίνονται Ἀττικοὶ παρακείμενοι, ὡς τὸ ἐγήγερκα, ἀλήλιμμαι, ἐρήρισμαι· ὥστε εἰ ἐπέλιπεν ἐκεῖνο, κατὰ τυχὴν ἐγένετο.

Ἰστέον ὅτι τὸ η εἰς τὸ ε συστέλλεται κατὰ τὴν τρίτην ἀπ' ἀρχῆς συλλαβὴν τοῦ Ἀττικοῦ παρακειμένου· οἷον ἀλήθω, ἀλήσω, ἄληκα καὶ ἀλήλεκα· καὶ πάλιν ἔδω ἔδησω, ἔδηκα, ἐδήδεκα καὶ ἐδήδοκα· τὸ δὲ ω μέγα εἰς τὸ ο μικρὸν συστέλλεται· οἷον, ἐρωτῶ, ἐρωτήσω, ἠρώτηκα, ἐρηρότηκα· καὶ φυλάττει μὲν ει δίφθογγος τὸ ι, ὡς τὸ ἀλήλιφα· ἡ δὲ ου τὸ υ· ὡς τὸ ἀκούω, ἤκουκα καὶ ἀκήκοα· ἡ δὲ ευ δίφθογγος ἀποβάλλει τὸ ε· οἷον, ἐλήλυθα· τετρασυλλαβεῖ ὁ ἐνεργητικὸς παρακείμενος καὶ ὁ παθητικὸς πρὸς τὸ ἐλάχιστον· οἷον, ὀμώμοκα· ὁ δὲ μέσος παρακείμενος τοὐλάχιστον τρισυλλαβεῖ· οἷον, ὄλωλα, ὄπωπα, ὄδωδα. Διατί ἡνίκα ἄρχεται ἀπὸ συμφώνου ὁ ἐνεστὼς, οὐ ποιοῦσιν οἱ Ἀττικοὶ ἴδιον παρακείμενον; καὶ ἔστιν εἰπεῖν, ὅτι πολλάκις ἡνίκα ἀπὸ ἀμεταβόλου ἄρχεται ὁ ἐνεστὼς, ποιοῦσιν οἱ Ἀττικοὶ ἴδιον παρακείμενον· οἷον, λέληχα καὶ εἴληχα· μέμακρα καὶ εἵμαρκα· λέλεγμαι καὶ εἴλεγμαι· ἵνα μὴ ἀπὸ φωνήεντος ἄρχεται ὁ παρακείμενος

βραχέος· χωρὶς τῶν Ἀττικῶν παρακειμένων τοῦ ἐλήλυθα καὶ ὀμώμοκα· ταῦτα μὲν γὰρ γίνονται τῶν δύο γραμμάτων ἀρκτικῶν προστιθεμένων, ἐκεῖνα δὲ τουναντίον ἀποβαλλομένων[m] *τὸ κατὰ τὴν ἄρχουσαν σύμφωνον.*

Ἰστέον ὅτι ἡνίκα ἀπὸ τοῦ α, ἢ ε, ἢ ο ἄρχεται ὁ ἐνεστὼς, τότε ποιοῦσιν οἱ Ἀττικοὶ ἴδιον παρακείμενον, ἀλήλιφα, ἐλήλυθα, ὀμώμοκα· ἡνίκα δὲ ἀπὸ τοῦ ω, ἢ η, ἢ ι, ἢ υ, οὐ ποιοῦσιν· ὅταν ὁ παρακείμενος ἀπὸ συμφώνου ἄρχεται, καὶ βραχείαν θέλει ἔχειν τὴν ἄρχουσαν.

Τρεῖς εἰσὶ διαθέσεις· ἐνέργεια, πάθος, μεσότης· καὶ ἑκάστη αὐτῶν ἀνὰ ἓξ ἔχει χρόνους· ἐνεστῶτα, παρατατικὸν, παρακείμενον, ὑπερσυντελικὸν, ἀόριστον, καὶ μέλλοντα.

Ἰστέον ὅτι καὶ κολάζομαι ὑπό σου λέγεται, καὶ βιάζομαι καὶ τύπτομαι· λέγεται δὲ καὶ κολάζομαί σε, καὶ τύπτομαί σε· ἐνέργειαν μὲν οὖν λέγει τὸ τύπτω, πάθος δὲ τὸ τύπτομαι, μεσότητα δὲ τὸ ἐτυψάμην· οὐδέτερα δὲ λέγεται τὸ ζῶ, πλουτῶ, ὑπάρχω· καὶ γὰρ φωνὴν ἔχουσιν ἐνεργητικὴν, διὸ καὶ ὑπὸ τοῖς ἐνεργητικοῖς τάσσονται· εὑρίσκονται δὲ τινὰ μὲν ἐνεργητικὰ, καὶ ἔχουσι παθητικὴν σημασίαν· οἷον, τέτηκα· τρέμω· πυρέσσω· ἕτερα δὲ φωνὴν μὲν παθητικὴν ἔχοντα, σημασίαν δὲ ἐνεργητικήν· οἷον, βιάζομαι καὶ γράφομαι. ἐὰν ὁ ἐνεστὼς δι' ἑνὸς ἁπλοῦ συμφώνου ἐκφέρεται, διὰ τούτου καὶ ὁ παρακείμενος· οἷον, λέγω, λέλοχα· κειρῶ, κέκορα· πείθω, πέποιθα· νήθω, νένηθα· σπείρω, ἔσπορα· λήβω, λέλοιβα· κτείνω, κέκτονα· τείνω, τέτονα· μένω, μέμονα.

Τὸ βλάπτω καὶ τὸ σκάπτω[m] *ἀπὸ τοῦ σκάφω καὶ βλάβω, ἐξ οὗ καὶ τὸ βλάβεται· τὸ νῦν βλάπτω ἐκ τοῦ βλάβω, ἐξ οὗ καὶ βλάβη· κατὰ πλεονασμὸν τοῦ τ, καὶ τροπῇ τοῦ β εἰς π. ἀναλογεῖ γὰρ ὁ ἐνεστὼς τῇ γενικῇ, ἐπειδὴ καὶ ἐκεῖσε πέφυκε πλεονάζειν τὸ τ, ὡς τὸ ἄνακος ἄνακτος· γάλακος γάλακτος· νυχὸς καὶ νυκτός· ἐπειδὴ ψιλὰ ψιλῶν ἡγοῦνται, καὶ δασέα δασέων, καὶ μέσα μέσων, ὡς τὸ κτύπος, πτῶσις, χθὼν,*

[m] Sic.

φθόνος, ἕβδομος, ὄγδοος. εἰ οὖν ὁ μέλλων διὰ τοῦ σ ἐκφέρεται, ὁ μέσος παρακείμενος διὰ τοῦ δ· οἷον, φράσω, πέφραδα, συρίσω, σεσύριδα· χέσω, κέχοδα· εἰ δὲ ὁ μέλλων διὰ τοῦ ξ, ὁ παρακείμενος διὰ τοῦ γ· οἷον, ῥέξω, ἔρρογα, ἔσφαγα, κέκραγα, πέπληγα, ὤρυγα· τὸ δεδία[n] ἀπὸ τοῦ δίω τὸ φοβοῦμαι, τὸ κάμνω καὶ τάμνω, ἀπὸ τοῦ κάμω καὶ τάμω.

Ἡνίκα εὑρεθῇ ἐν περισπωμένῳ ἐνεστῶτι τὸ ο, ἢ ἐν βαρυτόνῳ δι' ἑνὸς λ, οὐ τρέπεται εἰς ο ἐν τῷ μέσῳ παρακειμένῳ· οἷον, μελῶ, μέμηλα· τελῶ, τέταλα· θελῶ, τέθαλα· ἐπειδὴ οὐκ ἔστι δισύλλαβος ὁ μέλλων, ἀλλ' ὑπὲρ δύο συλλαβάς.

Ἐὰν ὁ ἐνεστὼς τῇ αι διφθόγγῳ παραλήγεται, τρέπει αὐτὴν ἐν τῷ μέσῳ παρακειμένῳ εἰς η· οἷον, φαίνω, πέφηνα· χαίνω, κέχηνα· μαίνω, ἐξ οὗ καὶ τὸ μαίνομαι καὶ μέμηνα· ἐπὶ δὲ τοῦ δεδούπηκα, δέδουπα, καὶ μεμήνηκα καὶ ἔκτυπα, οὐκ ἔχει τὴν αὐτὴν παραλήγουσαν ὁ μέσος παρακείμενος τῷ ἐνεργητικῷ παρακειμένῳ· ἐκεῖ γὰρ μὲν ἰσοσυλλαβεῖ, ἐνταῦθα δὲ μιᾷ συλλαβῇ ἐλλείπει. ἐπιλιμπάνουσι δὲ οἱ μέσοι παρακείμενοι ἐπὶ τοῦ θλῶ, θλάσω, τέθλακα, κέκλαυκα, ἔσμηκα, δέδρακα, ἔζηκα· ἐπειδὴ ὁ ἐνεργητικὸς παρακείμενος εἰς δισυλλαβίαν ἀπὸ τῶν περισπωμένων θεμάτων ὑπάρχων μιᾷ συλλαβῇ περιττεύει τοῦ μέσου παρακειμένου· οἷον, ἐκτύπηκα, ἔκτυπα· ἐκινδύνευεν οὖν εἶναι ὁ μέσος παρακείμενος εἰς δισυλλαβίαν, ὅπερ ἐστὶν ἄτοπον. σπανίως δὲ εὑρίσκεται μέσος παρακείμενος δισύλλαβος· οἷον, οἶδα, ὦλα.

Τὸ πέφρικα, εἰ μὲν ἦν μέσος παρακείμενος, ὤφειλεν εἶναι πέφριγα, ὡς πέπληγα· εἰ δὲ ἦν ἐνεργητικοῦ παρακειμένου, πάλιν πέφριχα· οὕτως οὖν ἐστὶ διὰ τὴν ἐπαλληλίαν τῶν δασέων, τρέπεται τὸ χ εἰς κ· ταυτὸν φαμὲν καὶ ἐπὶ τοῦ δέδοικα· εἰ μὲν ἦν παρακείμενος, ὤφειλεν εἶναι ἀπὸ δείδω, δείσω, δέδεικα, ε καὶ ι· εἰ δὲ μεσὸς παρακείμενος, ὤφειλε εἶναι δέδοιδα, ὥσπερ λέλοιβα καὶ πέποιθα· λείβω γάρ ἐστι καὶ πείθω καὶ λείπω, ὡσαύτως καὶ δείδω· διαγοῦν ἐπαλληλίαν τοῦ δ

[n] Cod. δὲ δία.

ἐτράπη τὸ δ εἰς κ. Ἔστι δὲ εἰπεῖν καὶ ἄλλο· ὅτι πολλὰ ῥήματα ἀπὸ μέλλοντος παράγονται εἰς ἐνεστῶτα, καὶ τρέπουσι τὸ σ εἰς τὸ χ, ἢ εἰς τὸ κ· οἷον σμῶ, σμήσω, σμήχω· ἐξ οὗ καὶ τὸ σμήξω. ὀλῶ, ὀλέσω, ὀλέκω· εἰ οὖν ἀπὸ τοῦ δείδω, δείσω καὶ δείκω γένοιτο, οὐδὲν θαυμαστόν· μήχω τὸ οὐρῶ, ὡς παρ' Ἱππώνακτι

ὤμηξεν αἷμα καὶ χολὴν ἐτίλλησεν.

Ὤφειλεν εἶναι ὁ μέσος παρακείμενος εἶδα ἀπὸ τοῦ εἴδω, ὥσπερ εἰκάζω εἴκακα· ἀλλ' ἐτράπη Αἰολικῶς τὸ α εἰς ε· οὐ δυνάμεθα οὖν λέγειν ὡς λόγῳ τῆς παραληγούσης, κατὰ τὸν κανόνα τὸν λέγοντα ἡνίκα ἐν δισυλλάβῳ μέλλοντι, ἐτράπη τὸ ε εἰς ο· ὤφειλε γὰρ εἶναι ἡ μετοχὴ οἰδὼς, ο καὶ ι, ὡς πεποιθὼς, ἀλλ' εἰδὼς, ε καὶ ι· καὶ ὑπερσυντελικὸς ᾔδειν διὰ τοῦ η, κατ' ἔκτασιν Ἀττικὴν τῆς μετοχῆς τοῦ ε εἰς η. ὅτι δὲ Αἰολικόν ἐστι δῆλον· ἀναβιβάζει γὰρ τὸν τόνον, καὶ γίνεται σύνοιδα. ἐκεῖνοι γὰρ τὸ Ἀτρεὺς Ἄτρευς λέγουσι, καὶ σοφὸς, σόφος· τῷ ἐναντίον τῷ κανόνι τῷ λέγοντι, ὅτι πᾶς παρῳχημένος ὁριστικὸς τὸν τόνον φυλάττει ἐν τῇ συνθέσει· οἷον, συνῆψα, χωρὶς τῶν Αἰολικῶν τοῦ σύνοιδα καὶ κάτοισθα· καὶ χωρὶς τῶν προστακτικῶν, τοῦ ἔφευρε καὶ ἔξειπε· τὰ δ' ἄλλα πάντα τὸν τόνον φυλάττει· συνεῖδον, προσεῦρον, κατῆλθον, ἀφῖγμαι· τὸ δὲ συνοῖδα, ψευδαιολικόν ἐστι.

Τὸ ἔοργα ἀπὸ τοῦ ἔρροργα μέσου παρακειμένου, τοῦ ἑνὸς ρ ἀποβληθέντος· τὸ δὲ ἔολπα ἀπὸ τοῦ ἔλπω, ὁ παρακείμενος ἧλπα, καὶ προσθέσει τοῦ ε, καὶ συστολῇ τοῦ η εἰς ε, ἔολπα· ἢ διαλύσει τοῦ η εἰς δύο εε, καὶ τροπῇ τοῦ ἑνὸς εἰς ο, ἔολπα. ἢ ἀπὸ τοῦ ἔλπω, ὁ παρακείμενος ποιητικὸς ἔλπα, ὡς τὸ ἄγεν καὶ ἅψατο, καὶ προσθέσει τοῦ ε, ἔολπα.

Ἔοικα ἀπὸ τοῦ εἴκω, ὁ μέλλων εἴξω, ὁ παρακείμενος εἶξα, ὁ μέσος εἶκα, καὶ διαιρέσει εἴκα, καὶ προσθέσει τοῦ ο ἔοικα· ἢ ἀπὸ τοῦ εἴκω τῷ λόγῳ τῆς παραληγούσης γίνεται, γέγονεν οἶκα, ὡς ποίθα πέποιθα, καὶ πλεονασμῷ τοῦ ε, ἔοικα.

Ἐγρηγόρθασι ἀπὸ τοῦ ἤγερκα γέγονεν ἤγερα, καὶ Ἀττι-

κῶς ἐγήγερα, καὶ κατὰ τροπὴν τοῦ ε εἰς ο, καὶ πλεονασμῷ τοῦ ρ καὶ α ἐγρήγορθα[o]· ἢ ἀπὸ τοῦ γρηγορῶ ἐγρήγορα, καὶ πλεονασμῷ τοῦ θ ἐγρήγορθα· ὅπερ καὶ ἄμεινον.

Εἰ μὲν ἀπὸ συμφώνου ἄρχεται ὁ παρακείμενος, ὁ ὑπερσυντελικὸς διὰ τοῦ ε αὔξεται· οἷον πεπάτηκα, ἐπεπατήκειν· λελάληκα, ἐλελαλήκειν· λέλαχα, ἐλελάχειν· δέδουπα, ἐδεδούπειν· νένυγα, ἐνενύγειν· μέμυκα, ἐμεμύκειν· πέποιθα, ἐπεποίθειν, ἐκεχήνειν, ἐμεμήνειν· χωρὶς τῶν Ἰωνικῶν· ἐκεῖνοι γὰρ τετύφειν λέγουσι, καὶ πεποιήκειν, καὶ νενοήκειν. Ὅτε δὲ ἀπὸ φωνήεντος συνάρχεται τῷ παρακειμένῳ, οἷον, ἔσταλκα, ἐστάλκειν, ἐφθάρκειν, ἐκτάκειν, ἐζωγραφήκειν, ἐξυρήκειν, ἐψοφήκειν, ἠλεήκειν ἠρευνήκειν, ἐστόλειν, ἐσπόρειν, ἐκτόνειν χωρὶς τῶν Ἀττικῶν· ταῦτα γὰρ τὰ ἀπὸ βραχείας ἀρχόμενα ἐν τῷ παρακειμένῳ μεγεθύνονται ἐν τῷ ὑπερσυντελικῷ· οἷον ἀλήλιφα, ἠληλίφειν· ὀμώμοκα, ὠμωμόκειν· ἀγήγοχα, ἠγηγόχειν, ἐνηνόχειν, ὠπώπειν, ὠλώλειν, ὠρώδειν· πλὴν τοῦ ἐλήλυθα, ἐληλύθειν, καὶ ἠλήλουθα, εἰληλούθειν· οὐ συνάρχονται δὲ καὶ ταῦτα τῷ ὑπερσυντελικῷ· οἷον, ἕστηκα εἱστήκειν· εἶδα, ᾔδειν· οἶδα γὰρ Αἰολικόν ἐστι διὰ τοῦ ε καὶ ι· οὐκ ἐγένετο οὖν ἑστήκειν, ἑστήκεις, ἑστήκει· ἵνα μὴ συνεμπέσῃ τῷ τρίτῳ προσώπῳ τοῦ ἐνεστῶτος, τῷ ἑστήκει, τὸ ἀπὸ τοῦ ἑστήκω· τὸ ἑώλπειν καὶ ἑώργειν καὶ ἑώκειν ὑπερβιβασμὸν ἀνέδεξαντο χρόνου· ὤφειλε γὰρ εἶναι ἠόλπειν καὶ εἰόργειν καὶ εἰοίκειν, ὥσπερ καὶ τὸ ἑώρταζον ὤφειλεν εἶναι ἠόρταζον. τούτου οὖν χάριν ἐδέξαντο ὑπερβιβασμὸν, ἵνα συνέρχονται τῷ παρακειμένῳ· οἷον, ἔολπα, ἑώλπειν, καὶ ἔφθαρκα, ἐφθάρκειν· τὸ ἐλήλυθα οὐκ ἐγένετο ἐν τῷ ὑπερσυντελικῷ ἠλυλήθην, ἐπειδὴ θέλει εἶναι διὰ τοῦ ε, ἵνα προσλαμβάνῃ τὸ ι Ἰωνικῶς· οἷον, ἠληλύθειν.

Ἰστέον ὅτι οἱ Ἴωνες τὴν ει δίφθογγον τὴν οὖσαν ἐν τῷ ὑπερσυντελικῷ διαλύουσιν καὶ λέγουσι τὸ ειν, εα· τετύφειν, τετύφεα, καὶ ἐκεχήνειν, ἐκεχήνεα, καὶ ᾔδειν, ᾔδεα· καὶ

[o] Cod. ἐγρήθορθα.

λοιπὸν οἱ Ἀθηναῖοι κατὰ κρᾶσιν τοῦ ε καὶ α εἰς η, ἤδη. ὁμοίως δὲ καὶ τὸ ἦν ἐγὼ, ἔα λέγουσιν, ὡς τὸ ἀμενηνὸς ἔα, καὶ κατὰ κρᾶσιν ἦ. ὡς τὸ

δεῖ γάρ ὡς ἔοικε λέγειν ἃ κρύπτειν ἦ παρασκευασμένος.

καὶ πάλιν

ἦ γὰρ ἐγὼ, ὦ ξένοι

ἀντὶ τοῦ ὑπῆρχον.

Ἰστέον ὅτι ὑπερσυντελικοὶ εἰσὶ τὸ ἐδάρειν, καὶ ἐνύγειν, καὶ ἐστάλειν.

Τὸ λέγομαι καὶ τύπτομαι, καὶ ἐλεγόμην καὶ ἐτυπτόμην κλητικὸν ἔχουσι τὸ μ ἀπὸ τοῦ τύπτομαι, τὸ δὲ ἐδάμην θεματικὸν, δέμω γάρ ἐστιν ὁ ἐνεστὼς τούτου.

Οὐ λέγομεν ἐποιοῦσαν καὶ ἐβοῶσαν καὶ ἐχρυσοῦσαν ὡς τὸ ἐτύφεισαν, ἐπειδὴ οὐκ ἔστιν ἐν τῷ πρώτῳ προσώπῳ τῶν ἐνικῶν ἡ μακρὰ φύσει· ἀπὸ γὰρ τὸ ἐποίεον γέγονεν καὶ ἐβόαον· ἐτετύφεσαν δὲ λέγουσιν οἱ Ἴωνες καὶ εἱστήκεσαν.

Ἐὰν ἀπὸ φωνήεντος ἄρχεται ὁ μέλλων χρονικῶς μεγεθύνεται ὁ ἀόριστος α΄· οἷον, ἐρωτήσω, ἠρώτησα, ἠλέησα, ἧψα, ἠρίστευσα, ἠρίστησα, ηὔχησα, ἠυτομόλησα· ᾠκονόμησα· καὶ ὀφείλει παραλήγουσαν τὴν αὐτὴν ἔχειν τῷ μέλλοντι ὁ ἀόριστος· οἷον, κόψω[p], ἔκοψα. τὸ δὲ ἧψα, καὶ αὔξω ηὖξα, καὶ ἄρξω ἦρξα, λόγῳ ἀρχούσης ἐγένετο, καὶ οὐ λόγῳ παραληγούσης· χωρὶς εἰ μὴ περισπῶτο ὁ μέλλων, καὶ ἐπὶ τῆς ε΄ συζυγίας τῶν βαρυτόνων· τότε γὰρ τὴν παραλήγουσαν αὐτὴ ἐκτείνει ὁ ἀόριστος· οἷον, κερῶ, ἔκειρα· φθερῶ, ἔφθειρα· ἔσταλα, ἔσπειρα, ἔδειρα, ἔνειμα, ἔκτεινα, ἔδειμα, ἤγγειλα, ἔτιλα, ἐποίκιλα· ῥανῶ, ἔρρανα· μιανῶ ἐμίανα, ἐσήμανα, ἐχλίανα, ἐθέρμανα, ἐμόλυνα, ἤμβλυνα· οἱ δὲ Ἴωνες τρέπουσι τὸ α εἰς η· οἷον, ἐμίηνα, καὶ ἐκάθηρα· τὸ γήμας, γαμῶ, γαμήσω ἐγάμησα, καὶ συγκοπῇ ἔγαμα, καὶ Ἰωνικῶς ἔγημα, καὶ ἡ μετοχὴ ὁ γήμας.

Ἰστέον ὅτι ὁ ἀόριστος συνάρχεται τῷ παρατατικῷ. σε-

[p] Cod. κόην.

σημείωται τὸ ἔθηκα, ἔδωκα, ἧκα, ἐξ οὗ καὶ ἀφῆκα, καὶ ἀφήσω μέλλων, καὶ ἐνέξω, καὶ ἔψω διὰ τοῦ κ. τὸ ἔδοσαν ἀπὸ τοῦ ἔδων, ὥσπερ ἔθην ἔθεμεν· καὶ ἀπὸ τοῦ ἵημι, ὁ β ἀόριστος ἧν, ὁ μέσος ἕμην, τὸ ἕσαν καὶ πρόεσαν ποιητικῶς.

Ἰστέον ὅτι τὸ εἶπε, καὶ ἤνεγκα, καὶ μετοχὰς ἔχουσι καὶ ἀπαρέμφατα· οἷον, εἶπαι καὶ ἔνεγκαι τὸ ἀπαρέμφατον, ὥσπερ τύψαι καὶ γράψαι· καὶ εἶπον καὶ ἤνεγκον τὸ προστακτικὸν, ὥσπερ τύψον καὶ γράψον· καὶ εἴπαιμι καὶ ἐνέγκαιμι· καὶ ἐὰν εἴπω καὶ ἐνέγκω· τὸ ἔθηκα, ἔδωκα, οὔτε εἰς τὰς μετοχὰς, οὔτε εἰς τὰς λοιπὰς κλίσεις κλίνονται· ὁριστικὰ δὲ μόνα ἔχουσι· τὸ δὲ εἶπα καὶ ἤνεγκα, εἶψα καὶ ἤνεγκα, ὤφειλεν εἶναι· ἀλλὰ τὸ μὲν ψ ἐκ τοῦ π καὶ σ σύγκειται, τὸ δὲ ξ ἐκ τοῦ κ καὶ σ· καὶ τούτου χάριν οὐκ ἐγένοντο· εἰκότως οὐκ ἐκλήθησαν· ἐπειδὴ ἀπὸ τοῦ ἔθησα καὶ ἔδωσα· τὸ δὲ σ μετὰ τοῦ η οὐδεμίαν συγγένειαν ἔχει.

Εἴξασι *ἀντὶ τοῦ ἐοίκασιν, ἀπὸ τοῦ εἴκω, εἴξω, κατὰ τοὺς* Βοιωτούς.

Ἡ*μάρτηκα· ὁ β′ ἀόριστος ἥμαρτον, ἔδουπον, ὤλισθον, ἔχραισμον, ἔκτυπον, ἤλακον. ἐλλείπει δὲ τοῦ ἀορίστου μιᾷ συλλαβῇ· οἱ δὲ εἰς μι μακροκαταληκτοῦσι· καὶ ποτὲ εἰς η, ἢ εἰς ω μέγα λήγουσιν· οἷον, ἔγνων, ἐβίων, ἧλων· πότε δὲ εἰς ην. οἷον, ἔστην, ἔβην· ποτὲ δὲ εἰς υν ψιλὸν ἐκτεταμένου τοῦ υ· οἷον, ἔφυν, ἔδυν, ἔκλυν, ἀφ' οὗ κλῦθι.*

Συγγένειαν *ἔχει ὁ β ἀόριστος καὶ ὁ μέσος παρακείμενος, οἷον, κάμνω, κέκαμα, καὶ ἔκαμμον· ὡσαύτως καὶ ἔταμον καὶ ἔδαμον· ἐξ οὗ καὶ τὸ ἐδάμην· πέπηγα καὶ ἔπαγον· πέπληγα καὶ ἔπλαγον· νένυγα καὶ ἔνυγον· ἐξ οὗ καὶ τὸ ἐνύγην· κέκραγα, ἔκραγον, ἐξ οὗ τὸ ἐκράγην· καὶ κέχαδα, ἔχαδον· πέφραδα, ἔφραδον. εἰ δὲ ὁ μέσος παρακείμενος διὰ καθαροῦ τοῦ α ἐκφέρεται, καὶ ὁ β ἀόριστος, οἷον, ἔκια, ἔκιον.*

Τὸ *τίλλω καὶ πάλλω καὶ τῶν ὁμοίων, τὸ β ἀμετάβολον ἐκβλήθη· ὡς τὸ τέτιλα καὶ ἔτιλον*[q].

Δε*δίω*[r], *δέδια, ἔδιον· κέκαια, ἔκαιον, ἐξ οὗ τὸ ἐκάην· πέ-*

[q] Cod. ἔπιλον. [r] Cod. ἐδίω.

πια, ἔπιον· εἴω τὸ πορεύομαι, ὁ μέσος παρακείμενος εἶα, καὶ κατ᾽ ἐπέκτασιν Ἀττικὴν τοῦ ε εἰς η, καὶ κατὰ διάστασιν, ἤϊα· καὶ λοιπὸν ὁ β ἀόριστος ἴον· καθὰ δηλοῦσιν αἱ μετοχαὶ, ὥσπερ ἴδον, εἶδον,

οὐκ ἴδον, οὐ πυθόμην

κιὼν, ἰὼν καὶ συνιὼν, καὶ ἀπιών.

Τὸ ἤμβροτον ἀπὸ τοῦ ἥμαρτον κατὰ ὑπερβιβασμὸν τοῦ ρ, καὶ τροπῇ τοῦ α εἰς ο, καὶ πλεονασμῷ τοῦ β, ἤμβροτον.

Σωματικῶς πλησσόμενος ἔπληγον διὰ τοῦ η, ὡς καὶ πονέσω· ὁ δὲ σωματικῶς ἔπλαγον, ἐξ οὗ καὶ τὸ ἐπλάγη, καὶ μετὰ τῆς κατὰ προθέσεως, κατεπλάγη· ὡς καὶ τὸ πονήσω καὶ καταπόνησεν.

Ἥδω τὸ εὐφραίνω· ὁ β ἀόριστος ἅδον, ὡς γὰρ "ἅδε δ' "Ἕκτορι" καὶ κατὰ διάλυσιν γίνεται ἔαδα, ὥσπερ ἥλω ἑάλω· τὸ δὲ ἔδρακον ἀπὸ τοῦ δέρκω, ἔδαρκον[s], καὶ καθ᾽ ὑπερβιβασμὸν ἔδρακον· ὡς τὸ ἔπραθον.

Ἔστι δὲ καὶ τὸ ἦν καὶ ἔφην, ἔην, καὶ εἶδον ἔειδον, κατὰ πλεόνασμον τοῦ ε.

Τὸ τετύκοντο ἀπὸ τοῦ ἐτυχόμην, ἐτύχοντο, καὶ κατὰ ἀναδιπλασιασμὸν, τροπῇ τοῦ χ εἰς τὸ ἀντιστοιχοῦν αὐτοῦ ψιλὸν κ, τέτυκον.

Τὰ διὰ τοῦ ιζω ῥήματα εἰώθασιν οἱ Ἀθηναῖοι ἀποβάλλειν τὸ σ κατὰ τὸν μέλλοντα καὶ περισπᾶν· οἷον, γεμίζω, γεμίσω, γεμιῶ, ἐλπιῶ, συριῶ, λακτιῶ, βαδιῶ, κουφιῶ, χαριῶ.

Οἱ Ἀττικοὶ ὅταν εὕρωσιν ἀλλεπάλληλα φωνήεντα δυνάμενα συναιρεῖσθαι, συναιροῦσιν αὐτά· οἷον, Ἐρετριέως, Ἐρετριῶς· Πειραιέως[t], Πειραιῶς.

Κλείω, ὁ β ἀόριστος ἔκλιον διὰ τοῦ ι, ὡς τὸ ἔπιθον· ὁ μέλλων β κλιῶ, ὡς τὸ καὶ τὸ χεῶ· ὡς τὸ,

εἰ μή τις αὐτὴν κατακλιεῖ

παρ᾽ Εὐπόλιδι· ἀντὶ τοῦ ἀσφαλιεῖ.

Ἀρέσω ἐν[u] μέλλων· καὶ προσελθόντος τοῦ κ ἐγένετο ἐνεστὼς, ὡς τὸ ἀρέσκω καὶ μεθύσκω.

[s] Cod. ἔδρακον. [t] Cod. πειραίως. [u] Sic Cod.

Κρεμάσω καὶ ἀγοράσω· καὶ κατὰ ἀποβολὴν τοῦ σ κρεμάω, κρεμῶ.

Ἰστέον ὅτι οἱ Ἀθηναῖοι καὶ ἐπὶ τῶν βαρυτόνων καὶ ἐπὶ τῆς πρώτης συζυγίας τῶν περισπωμένων τὸ τρίτον πρόσωπον τοῦ ἐνεργητικοῦ ἐνεστῶτος δεύτερον ποιοῦσι παθητικόν· οἷον, τύπτω, τύπτεις, τύπτει· τύπτομαι τὸ παθητικὸν, τύπτει Ἀττικῶς, διὰ τῆς ει διφθόγγου· καὶ πάντες δὲ οἱ Ἀθηναῖοι τοῦτο ποιοῦσι παθητικόν· οἷον, τύπτεις, τύπτει· ὡσαύτως καὶ τὸ βούλω, βούλεις, βούλει· γίνεται βούλομαι Ἀττικῶς.

Δεῖ γινώσκειν ὅτι τὰ δισύλλαβα τῆς πρώτης συζυγίας τῶν βαρυτόνων τρέπονται Ἀττικῶς τὸ ε εἰς ο· κατὰ τὸν ἐνεργητικὸν παρακείμενον ἐν τῷ παθητικῷ παρακειμένῳ ἀναδέχονται τὴν λήγουσαν τοῦ ἐνεστῶτος· οἷον, κλέπτω, κλέψω, κέκλοφα, κέκλομμαι· εὑρέθη δὲ καὶ κέκλαμμαι· πλέκω, πλέξω ὁ μέλλων, πέπλεχα, πέπλεγμαι· δεῖ προσθεῖναι χωρὶς τῶν ἐχόντων τὸ ρ μετ' ἐπιπλοκῆς συμφώνου· τότε γὰρ τρέπουσι τὸ ε εἰς τὸ α κατὰ τὸν ἐνεργητικὸν παρακείμενον· οἷον, στρέφω, ἔστροφα, ἔστραμμαι· τρέφω, τέτροφα, τέθραμμαι· τρέπω, τρέψω, τέτροφα, τέτραμμαι· σεσημειωμένου τοῦ βέβρεχα, βέβρεγμαι. καὶ τότε γὰρ οὐκ ἔτρεψε τὸ ε εἰς τὸ α.

Ἰστέον ὅτι ἐὰν πρὸ τοῦ τ εὑρεθῇ τὸ σ ἐν τῷ τρίτῳ προσώπῳ τῶν ἑνικῶν τρέπεται τὸ τ εἰς τὸ σ, καὶ τὸ ἓν σ ἀποβάλλεται, καὶ γίνεται τὸ δεύτερον πρόσωπον, οἷον, ἔξεσται, ἔξεσαι· ἔκλαυσται, ἔκλαυσαι δι' ἑνὸς σ· ἠρκέσθη γὰρ τὸ δεύτερον πρόσωπον τὸ ἓν σ. Εἰ δέ τις εἴπῃ· διατί γὰρ μὴ λέγωμεν ὅτι ἀποβολῇ τοῦ τ γεγόνασι, καὶ μὴ τροπῇ τοῦ τ εἰς σ, καὶ ἀποβολῇ τοῦ ἑνὸς σ; λέγομεν ὅτι οὐ δύναται ἐπὶ τούτων ἀποβολῇ γενέσθαι τοῦ τ· ἐπειδὴ ἡ ἐνεργητικὴ μετοχὴ εἰς σ μετ' ὀξείας τάσεως· ἐξηκὼς γὰρ καὶ κεκλακώς· ἐμάθομεν δὲ ὅτι ἐπὶ τῶν τοιούτων τὸ τρίτον πρόσωπον τῶν ἑνικῶν τροπῇ τοῦ τ εἰς σ ποιεῖ τὸ δεύτερον· οἷον, πεποίηται, πεποίησαι· πεποιηκὼς γὰρ ἡ ἐνεργητικὴ μετοχή. Ἐὰν δὲ

εὑρεθῇ πρὸ τοῦ τ ἀμετάβολον, οἷον κέκαρσαι, κέκαρται· τέτιλσαι, τέτιλται· μεμίασαι, μεμίανται.

Ἰστέον ὅτι ὁ μετ' ὀλίγον μέλλων τῆς μέσης διαθέσεώς ἐστιν ὥσπερ καὶ ἡ μέση διάθεσις· πῇ μὲν γὰρ ἐνέργειαν σημαίνει, ὡς τὸ τέτυπα[x] καὶ ἐγραψάμην, ἀντὶ τοῦ τέτυπα καὶ ἔγραψα· πῇ δὲ πάθος παρίστησιν, ὡς τὸ τέτηκα καὶ ἐλουσάμην, ἀντὶ τοῦ ἐτάκην καὶ ἐλούθην ἐστί· τὸν αὐτὸν τρόπον καὶ οἱ μετ' ὀλίγον μέλλοντες, πῇ μὲν ἐνέργειαν σημαίνουσιν, οἷον, κεκράξεται ἀντὶ τοῦ κεκράξειν· πῇ δὲ πάθος παρίστησιν· οἷον, βεβρώσεται, ἀντὶ τοῦ βεβρωμένοι εἰσίν.

Ἡ μὲν τοῦ δευτέρου ἀορίστου μετοχὴ ὀξύνεται, οἷον, ὁ τυπών· ἡ δὲ τοῦ δευτέρου μέλλοντος περισπᾶται, οἷον, τυπῶν· λοιπὸν οὖν εὑρίσκεται τὸ ἀπαρέμφατον ἓν τοῦ δευτέρου ἀορίστου καὶ τοῦ δευτέρου μέλλοντος.

Ἰστέον ὅτι τὸ ἀφεῖναι τὸ ἀπόλυσον σημαίνει· γίνεται δὲ ἀπὸ τοῦ ἵημι τὸ καταλιμπάνω· ὡς παρ' Ἀριστοφάνῃ

τόθ' εἶναι καὶ σὺ σαυτόν.

Ἰστέον ὅτι νένυγμαι νένυκται ὤφειλεν εἶναι, καὶ Πέλοπι, Πέλοπσι, καὶ ἀφῖγμαι, ἀφῖκσαι, καὶ κόρακι, κόρακσι· ἀλλὰ κράσει τοῦ κ καὶ σ εἰς ξ γίνεται· καὶ γὰρ ἐκ τούτων σύγκειται· ὥσπερ καὶ τὸ ἐτέτυπσο, ἐτέτυψο· ἐκ τοῦ π γὰρ καὶ σ τὸ ψ σύγκειται.

Ἰστέον ὅτι τὸ μεμίαγκα, μεμίαμμαι, καὶ μεμίανται· καὶ μεμόλυμμαι καὶ μεμόλυνται, τροπὴν πεπονθέναι τοῦ μ εἰς τὸ ν· τοῦτο γὰρ τὸ μ θεματικόν ἐστι· μιαίνω γάρ ἐστι καὶ μολύνω διὰ τοῦ ν· τὸ κεάται ἀπὸ τοῦ κεῖνται, καὶ ἀπὸ τοῦ εἶται τὸ ἕαται· ἀπὸ τοῦ πέφραδα πεφράδαται Ἰωνικῶς· καὶ ἀπὸ τοῦ ἐρείδω, ἐρείσω, ἔρρακα, ἔρραδα, ἐρράδαται· τὰ δὲ ἀπὸ περισπωμένων, ἐὰν φύσει μακρᾷ παραλήγονται, τρέπουσι τὴν παραλήγουσαν εἰς τὴν ὀφειλομένην συλλαβὴν μετὰ τοῦ τ, καὶ προσλαμβάνει τὸ α πρὸ τοῦ τ, οἷον, πεποίηται, πεποιέαται· νενόηται, νενοέαται· κεχρύσωκα, κεχρυσώαται· βεβόληται, βεβολέαται.

[x] Sic.

Ἰστέον δὲ ὅτι οὐ μόνον ἐπὶ τοῦ παρακειμένου καὶ ὑπερσυντελίκου τοῦτο ποιοῦσιν οἱ Ἴωνες, ἀλλ' ἔστιν ὅτε καὶ ἐπὶ ἐνεστῶτος, οἷον, κεῖται, κέαται.

Ἄξιον δὲ ζητῆσαι διατί οἱ Ἴωνές ψιλωτικοὶ εἰσίν; ἥλιος γὰρ λέγουσιν καὶ ἀπηλιώτης, οὐχὶ ἀφηλιώτης, ὥσπερ καὶ τὸ ἱστίον καὶ ἐπίστιον καὶ νενύχαται φασὶν, καὶ οὐκ ἐτήρησαν τὸ ψιλὸν π ἢ τ τοῦ τέτυπτε· καὶ ἐν τούτοις διὰ τὸ μὴ δύνασθαι πρὸ τοῦ[x] μήτε φ, μήτε χ εἶναι, τούτου χάριν ἐν τῷ τύπτεται καὶ νένυκται τροπὴ παρηκολούθησε τῶν δασέων εἰς τὰ ἀντίστοιχα τὰ ψιλά· ἐπεὶ οὖν κεχρεώστηται ἐν τῷ γ τῶν ἑνικῶν δασὺ, καὶ οὐκ ἠδύνατο εἶναι, προσῆλθε.

Ὁ πρῶτος ἀόριστος παθητικὸς παραλήγουσαν τῷ παθητικῷ παρακειμένῳ, οἷον, δέδομαι, ἐδόθην· νένυγμαι, ἐνύχθην[y]· κέκαρμαι, ἐκάρθην· πλὴν τοῦ εὕρημαι, εὑρέθην.

Οὐδέποτε ἀπὸ τοῦ παρατατικοῦ κανονίζεται ὁ δεύτερος ἀόριστος παθητικὸς, ἀλλὰ ἀπὸ τοῦ δευτέρου ἀορίστου ἐνεργητικοῦ· οἷον, ἔνυγον, ἐνύγην, ἔκαον, ἐκάην· ἔγραφον, ἐγράφην· τὸ δὲ ἔλαβον, καὶ ἔμαθον, καὶ ἔδακον, καὶ ἔφαγον, καὶ ἔταμον, οὐκ ἔχουσι παθητικοὺς δευτέρους ἀορίστους.

Ἀπὸ τοῦ δευτέρου ἀορίστου γίνεται ὁ μέσος δεύτερος ἀόριστος· ὁμοίως καὶ ἀπὸ τοῦ πρώτου ἀορίστου ὁ μέσος ἀόριστος πρῶτος· οἷον φαίνω, φανῶ· ἔφανα καὶ Ἰωνικῶς ἔφηνα καὶ ἐφηνάμην· ἐσήμηνα, ἐσημηνάμην.

Ἀπὸ τοῦ β ἀορίστου γίνονται οἱ δεύτεροι μέσοι ἀόριστοι· οἷον, ἔδον, ἐδόμην· ἔφην, ἐφάμην· ὥσπερ οἱ ἐνεργητικοὶ ἀόριστοι τῇ μὲν φωνῇ διαφέρουσι· τῷ δὲ σημαινομένῳ οἱ αὐτοὶ εἰσὶν, ὡς τὸ ἐτυψάμην καὶ ἐτυπόμην.

Οἱ Ἀθηναῖοι ἀπὸ τοῦ λακτίζω ποιοῦσι λακτιῶ· ἀπὸ τούτου λακτιοῦμαι, βαδιοῦμαι, κουφιοῦμαι, χαριοῦμαι, μέσους μέλλοντας περισπωμένους.

Οἱ Δωριεῖς τὸ τύψω, τυψῶ λέγουσι· γράψω, ποιήσω, κλαύσω, φευξῶ· τοὺς γὰρ ὁριστικοὺς μέλλοντας περισπῶσιν·

[x] Leg. πρὸ τοῦ π. [y] ἐνήθην Cod.

ἐκ τούτων καὶ μέσους μέλλοντας διὰ τῆς ου διφθόγγου· οἷον, κλαυσοῦμαι· φευξοῦμαι· ποιησοῦμαι· πλευσοῦμαι· καὶ παρὰ τοῖς Ἀττικοῖς δὲ ταῦτα οὕτως ἐπεκράτησαν λέγεσθαι.

Οἱ ἀπὸ περισπωμένων μέλλοντων μέσοι μέλλοντες κλίσιν ἀναδέχονται ὁμοίαν τοῖς ἐνεστῶσι καὶ τοῖς παθητικοῖς τῆς α συζυγίας τῶν περισπωμένων· οἷον, ποιοῦμαι, ποιῇ, ποιεῖται· τυπτοῦμαι, τυπτῇ, τυπτεῖται· ἀλλ᾽ ἐκεῖνοι μὲν ἀπὸ συναιρέσεως, οὗτοι δὲ οὐκ ἀπὸ συναιρέσεως.

Ὁ μέσος μέλλων α᾽ πῇ μὲν τὸ ω μέγα εἰς ο μικρὸν τρέπεται, ὡς τὸ τύψω, τύψομαι· πῇ δὲ εἰς ου· οἷον, κερῶ, κεροῦμαι· ἡνίκα μὲν οὖν βαρύνεται, τρέπει τὸ ω εἰς ο· ἡνίκα δὲ περισπᾶται, εἰς τὴν ου δίφθογγον· οἷον, τύψω, τύψομαι· εὐφρανῶ, εὐφρανοῦμαι.

Ἀπὸ τοῦ δρέμω, δραμῶ καὶ δραμοῦμαι· θένω, θανῶ, καὶ θανοῦμαι· Βεβρώσεται, *κεκράξεται· μετ᾽ ὀλίγον μέλλων· καὶ ὠθήσομαι, ἀπὸ τοῦ ὠθῶ, ὠθήσω, μετ᾽ ὀλίγον μέλλων, καὶ ἡβήσομαι, ἰξεύσομαι, ὑδρεύσομαι.*

Περὶ Ἀπαρεμφάτων.

Ἐὰν ἡ ἐνέργεια τινὸς ἐστὶν ἐνέργεια· καὶ τὸ πάθος τινός ἐστι πάθος, τίς ποτέ ἐστι ἐν τοῖς ἀπαρεμφάτοις ὁ ἐνεργῶν καὶ ὑπάρχων, ἐπειδὴ πρόσωπα οὐκ ἔχουσι; Λεκτέον *οὖν, ὅτι ἐπειδὴ ἡ λευκότης αὐτὴ καθ᾽ ἑαυτὴν οὐ θεωρουμένη ὁμῶς νοεῖται, οὕτως ἐν τοῖς ἀπαρεμφάτοις ἡ ἐνέργεια καὶ τὸ πάθος αὐτὰ καθ᾽ ἑαυτὰ θεωρεῖται μὴ γινόμενα ἔν τινι.*

Διάλληλος δεῖξις ὅταν τὸ ζητούμενον ἐκ τοῦ ζητουμένου κανονίζεται· οἷον, ποῦ μένει ὁ Πλάτων*; ἐκεῖ ὅπου καὶ ὁ* Δίων*· τὸν αὐτὸν τρόπον καὶ τὰ ἀπαρέμφατα ταῖς μετοχαῖς συνεζευγμένα εἰσίν· ἐνεστὼς γὰρ καὶ παρατατικὸς ὁμοῦ εἰσὶν, ὁμοίως καὶ παρακείμενος καὶ ὑπερσυντελικός.*

Αἱ δὲ ἀποδείξεις, αἱ μὲν οὐσιώδεις, ἤγουν φυσικαὶ, αἱ δὲ ἐπουσιώδεις, ἤγουν τεκμηριώδεις· καὶ φυσικὴ μέν ἐστιν, ὅταν θεωρήσαντες καπνὸν, λέγομεν, ὅτι ἐκεῖ πῦρ ἐστι· φυσικῶς γάρ ἐστι τὸ καπνὸν ἐκ τοῦ πυρὸς ἐξιέναι· τεκμηριώδης δὲ,

ὅταν οἶκόν τις μέλανα θεωρήσας, λέγει, ὅτι ἀπὸ καπνοῦ ἐῤῥυπώθη· εἰκὸς γάρ ἐστι καὶ ἐκ μέλανος καὶ ἐκ κάρβωνος μελανθῆναι.

Τὰ βαρύτονα ἀπαρέμφατα ἐκ τοῦ ἐνεστῶτος γίνονται, τὰ δὲ περισπώμενα ἐκ τῶν παρατατικῶν· τὸ εἶναι καὶ πέμψαι, ἀπὸ τοῦ ἵημι· τὸ δέχθαι καὶ βλῆσθαι ἀπὸ τοῦ δεδέχθαι καὶ βεβλῆσθαι.

Τὸ ἔρεσθαι καὶ δέρεσθαι ἀορίστου ὄντα δευτέρου καὶ μέσου σεσημείωται· τὸ δὲ λιτέσθαι ἀντὶ τοῦ ἱκετεύειν ἐκ τοῦ ἐναντίου.

Τὸ κάθηται καὶ κατάκειται, τὸ ἀπαρέμφατον κάθησθαι καὶ καθῆσθαι· τὸ μὲν ἀπὸ τοῦ παθητικοῦ ἐνεστῶτος, τὸ δὲ ἀπὸ τοῦ παθητικοῦ παρακειμένου κατακεῖσθαι· λέγεται δὲ καὶ κατάκεισθαι.

Οἱ Ἀθηναῖοι ἐπὶ τῶν προστακτικῶν τῶν γινομένων ἀπὸ ὁριστικοῦ, μὴ ἔχοντος τὸ μ κλιτικὸν, τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν ὁμόφωνον ποιοῦσι τῇ γενικῇ τῶν πληθυντικῶν τῆς ἰδίας μετοχῆς· οἷον, τυπτόντων, ἀντὶ τοῦ τυπτέτωσαν· ἐπὶ δὲ τῶν ἐχόντων τὸ μ κλιτικὸν τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν ὁμόφωνον ποιοῦσι τὸ τρίτον τῶν δυϊκῶν· οἷον, τυπτέσθων, ἀντὶ τοῦ τυπτέσθωσαν. Κακῶς δὲ νοοῦσιν, οἱ λέγοντες δυϊκοῖς χρῆσθαι τοὺς Ἀττικοὺς ἀντὶ πληθυντικῶν· ἀλλ' ἰδιώματα εἰσὶ ταῦτα τῶν Ἀττικῶν, ὥσπερ καὶ ποιείτων, ἀντὶ τοῦ ποιειτώσαν.

Ἔκθλιψις· κατὰ ἐμοῦ, κατ' ἐμοῦ· κρᾶσις· τὸ ἐμὸν, τοὐμόν· συναίρεσις, πάϊς, παῖς· ἔκθλιψις καὶ κράσις· οἷον, ἐγὼ κἀγώ· ἐκθλίβεται γὰρ τὸ ι τοῦ καὶ συνδεσμοῦ, καὶ κιρνᾶται τὸ α καὶ ε, εἰς α μακρόν· ἔκθλιψις καὶ συναίρεσις· οἷον, ἐμοὶ ὑβρίζεις, ἐμοὐβρίζεις· ἐκθλίβεται γὰρ τὸ ι, καὶ κράσει τὸ ο καὶ υ εἰς τὴν ου δίφθογγον. Κρᾶσις καὶ συναίρεσις· οἷον, ὁ αἰπόλος, ᾡπόλος· κιρνᾶται τὸ ο καὶ α εἰς ω, καὶ συναιρεῖται τὸ ο καὶ ι εἰς ω μέγα, καὶ συναιρεῖται τὸ ο καὶ ι εἰς τὴν ω δίφθογγον.

Ἀπὸ τοῦ εἴω γέγονεν εἰμὶ, ὡς ζευγνύω, ζεύγνυμι· τὸ τρί-

τον τῶν πληθυντικῶν ἴσι καὶ ἴασιν ὡς τὸ "ἀγεληδὸν ἴασιν" ἔομαι, ἔῃ, εἶ· εἶμι τὸ πορεύομαι, εἶς τὸ πορεύῃ· ὡς παρ' Ἡσιόδῳ

τῆς δ' ἂν εἷς

ἵημι καὶ ὁ παρατατικὸς ἵην, ὡς ἐτίθην, ἐτίθης, ἐτίθει· ὡς τὸ "κακῶς ἀφίει."

Θήσω τέθηκα, διὰ τοῦ η, καὶ κατὰ τροπὴν Βοιωτικὴν τοῦ η εἰς τὴν ει δίφθογγον, ὥσπερ ἤρω εἴρω· τέθεικα· ἀπὸ τοῦ ἵστημι ὁ παρακείμενος ἕστακα, πρὸς ἀντιδιαστολὴν τοῦ ἕστηκα.

Ἐν τοῖς εἰς μι, οὐκ ἔστι μέσος παρακείμενος διὰ τὸ τοῦ παρακειμένου θέλει ἐλλείπεσθαι μιᾷ συλλαβῇ ὁ μέσος· οἷον, δεδούπηκα, δέδουπα.

Ἄγω· ὁ δεύτερος ἀόριστος ἦγον· ὁ παρακείμενος ἤγην, καὶ κατὰ ἔκτασιν, ὡς τὸ "τύπτεν ἐπιστροφάδην," ἄγεν, καὶ πλεονασμῷ ἐάγην.

Ἀπὸ τοῦ ἧμαι, ἥμην· βάβην ἀπὸ τοῦ βίβημι, ὁ παθητικὸς παρακείμενος βέβαμαι, καὶ ἐβάβην· ἠδυνάθην, ἀπὸ τοῦ δυνέω, δυνῶ, δυνήσω, καὶ δύνημι· ἢ ἀπὸ τοῦ δυνάζω, δυνάσω· ἥλων· καὶ διαλύσει τοῦ η εἰς ε καὶ α, ἑάλων· ἥδω, ἧδον· ἕαδον καὶ εὔαδον.

Ἵπτημι, πτήσω, ἔπτην, ἐπτάμην· τὸ ἰᾶσιν ἀπὸ ἰέασιν, ἐξ οὗ καὶ ἀφίησαν ἐν συναιρέσει καὶ κράσει τοῦ ε καὶ α εἰς α μακρὸν, ὡς ὑγιᾶ καὶ εὐφυᾶ[z]· τότε δὲ γίνεται ὅταν ἔχῃ καθαρὸν τὸ ε· ἐκ τούτου καὶ ἀφιᾶσι· τὸ ἴασιν ἀντὶ τοῦ πορεύονται ἀπὸ τοῦ ἶσι, προσόδῳ καὶ τοῦ α, καὶ συστολῇ τῆς ἀρχούσης· καὶ διὰ τοῦτο προπαροξύνεται· τὸ ἧον καὶ ἧα ἀπὸ τοῦ ἔω, ἐξ οὗ καὶ μετοχὴ ἐών· τὸ ἀφεὶς καὶ ἄφες ἀπὸ τοῦ ἀφίημι.

Τὸ Παπίας, Παπία, καὶ Αἰνείας, Αἰνεία, καὶ Μαλαχίας, Μαλαχία, Δωρικά εἰσι· τὸ δὲ Αἰνείου καὶ Παπία καὶ Μαλαχίου, κοινά.

Οἱ Συρακούσιοι μεταποιοῦσι τὰ προστακτικὰ τοῦ δευτέ-

[z] Cod. ἐφυᾶ.

ρου ἀορίστου εἰς ον, οἷον, λάβε, λάβον· τύψε, τύψον· λῦσε, λῦσον· καὶ φυλάττουσι τοὺς αὐτοὺς τόνους, ὡς παρὰ Μενάνδρῳ·

τί δὲ ποιεῖν μέλλετε[a];

ἀντὶ τοῦ εἰπέ.

Τὸ "ἄξετε Πριάμοιο βίην" καὶ τὸ "οἴσετε πῦρ καὶ "ἄρνα ἕτερον μὲν λευκόν" ἀπὸ τοῦ ἀξέτω καὶ οἰσέτω· ταῦτα δὲ ἀπὸ τοῦ ἄξον, ἀξάτω, καὶ οἶσον, οἰσάτω· κατὰ τρόπην τοῦ ε εἰς ε· ὁ δὲ Ἡρωδιανὸς ἐνεστῶτος φησὶ ταῦτα καὶ παρατατικοῦ τοῦ οἴσω, κατὰ ποιητικὴν ἐξουσίαν μετενεχθέντος εἰς ἐνεστῶτα· καὶ ὁ παρατατικὸς οἶσον· καὶ τὸ προστατικὸν οἶσον, οἰσέτω.

Διατί τὸ εἰπὲ καὶ εὑρὲ καὶ ἐλθὲ ὀξύνονται· ἴδε γὰρ λέγομεν καὶ λάβε, καὶ πίε καὶ φάγε· πολλάκις δὲ οἱ Ἀττικοὶ καὶ ταῦτα ὀξύνουσιν· οἷον, φαγέ καὶ πιέ· καὶ φαμὲν ὅτι ὁ δεύτερος ἀόριστος οὐδέποτε μακρᾷ θέλει παραλήγεσθαι· οἷον, ἔλαβον, ἔφαγον, ἔπιον, ἔνυγον· ταῦτα δὲ μακρᾷ παραλήγονται· οἷον, εἶπον, εὗρον, ἦλθον· ἐπειδὴ οὖν διήλλαξε κατὰ τὸν χρόνον τῆς παραληγούσης, τούτου χάριν καὶ περὶ τὸν τόνον διήλλαξεν.

Οἱ Ἀθηναῖοι τοὺς μέσους ἀορίστους δευτέρους ἐν τοῖς προστακτικοῖς περισπῶνται· οἷον, ἐτυπούμην ἐτύπου, τυποῦ, λαβοῦ.

Ἡνίκα ὁ ὑπερσυντελικὸς οὐ συνάρχεται τῷ παρακειμένῳ, ἀλλὰ προσλαμβάνει τὸ ε ἔξωθεν, τότε ἀποβάλλει αὐτὸ τὸ προστακτικόν· οἷον, λέλεγμαι, ἐλελέγμην, ἐλέλεξο, λέλεξω· ἡνίκα δὲ συνάρχεται ὁ ὑπερσυντελικὸς τῷ παρακειμένῳ, τότε καὶ τὸ προστακτικὸν τὸ αὐτὸ φυλάττει· οἷον, ἔφθαρμαι, ἐφθάρμην, ἔφθαρτο· καὶ τὸ προστακτικὸν ἔφθαρσο, ἐφθάρθω· καὶ οὔτε ἐν ταῖς μετοχαῖς ἀποβάλλει, οὔτε ἐν ταῖς λοιπαῖς ἐγκλίσεσιν.

Ὅταν ἔχωσι τὰ προστακτικὰ τὴν μετοχὴν κλινομένην διὰ

[a] Cod. μέλλεται.

τοῦ ντ μετ' ὀξείας τάσεως, τότε εἰς θι ποιεῖ τὸ πρῶτον πρόσωπον· οἷον, τυφθεὶς, τύφθημι· καὶ διὰ τὴν ἐπαλληλίαν τῶν δασέων γίνεται τύφθητι· νυγεὶς, νύγηθι· ἱστὰς, ἱστάντος, ἵσταθι· διδοὺς, διδόντος, δίδοθι· στὰς, στάντος, στῆθι· γνοὺς, γνώντος, γνῶθι· τυπεὶς, τυπέντος, τύπηθι· δαρεὶς, δαρέντος, δάρηθι.

Δεῖ δὲ γινώσκειν ὅτι τρέπεται ἐν τοῖς προστακτικοῖς τὸ θεῖς τ, ἡνίκα ὄπισθεν ἔχει ἕτερον θ· ἡνίκα δὲ μὴ προηγεῖται ἕτερον θ, οὐ τρέπεται τὸ θ εἰς τ, οἷον, φάθι παρ' Ἀριστοφάνῃ· σεσημείωται τὸ θεὶς, δὸς, ἓς, ὃ καὶ ἄφες, καὶ πρόες, καὶ πάρες, καὶ μέθες· θὲς, θέντος γάρ ἐστιν ἡ μετοχή· πρόσκειται μετ' ὀξείας τάσεως, διὰ τὸ τύψας, τύψαντος· ἐπειδὴ γὰρ οὐκ ἔστιν ὀξύτονος, οὐ ποιεῖ προστακτικόν. πρόσκειται γὰρ εἰς σ, διὰ τὸ λαβὼν, λαβόντος· ἐπειδὴ γὰρ εἰς ν λήγει, οὐ ποιεῖ προστακτικόν.

Καθόλου τὰ εἰς θι προστακτικὰ παραλήγουσαν ἔχουσι τὴν παραλήγουσαν τοῦ πρώτου προσώπου τῶν πληθυντικῶν τοῦ ἰδίου ὁριστικοῦ· οἷον, ἐτύφθημεν, τύφθηθι καὶ τύφθητι· ἐτίθεμεν, τίθεθι καὶ τίθετι· ἵσταμεν, ἵσταθι, ἕστημεν, στῆθι· ἔβημεν, βῆθι· ἴμεν, ἴθι· ἔγνωμεν, γνῶθι· τὸ δὲ ἀπέφθημεν ποιητικόν ἐστι.

Ἐὰν τὸ προστακτικὸν τοῦ πρώτου μέσου ἀορίστου καὶ μέλλοντος παρέλθῃ τὰς δύο συλλαβὰς, προπαροξύνεται, οἷον ποίησαι, λόγισαι, θέασαι, κόλασαι· δισύλλαβα δὲ καὶ περισπᾶται· τὸ κτῆσαι, λοῦσαι· ἐὰν δὲ μὴ μακρᾷ παραλήγονται φύσει, οἷον, τύψαι, δέξαι, ἕξαι.

Ἰστέον ὅτι ἐπὶ τῶν δισυλλάβων ὁμοφωνίαν ἀκολουθεῖ πρὸς τὰ ἀπαρέμφατα· οἷον, κτῆσαι, λοῦσαι· ταῦτα γὰρ δύναται εἶναι καὶ προστακτικὸν καὶ ἀπαρέμφατον· ἐπὶ δὲ τῶν ὑπὲρ δύο συλλαβῶν φωνῇ μόνῃ συμπίπτουσιν, οὐκέτι δὲ καὶ τόνῳ· οἷον, ποίησαι, κόμισαι.

Τὸ ζήσειας· χρόνου ἀορίστου ἐστὶν εὐκτικοῦ· ὁ δὲ ἀόριστος πεπληρωμένην καὶ παρῳχημένην ἔχει τὴν σημασίαν· ἐὰν οὖν εἴπωμεν ζήσειας, μὴ ἐπιμεῖναι ζῶντα φαμέν· μὴ δὲ

γὰρ ἔχει τὸ πρᾶγμα παράτασιν, ἀλλ' εἰς πέρας καὶ συμπλήρωσιν τοῦ ζῆν ἔλθοις, ἤγουν ἀποθάνοις· χρὴ δὲ λέγειν, ἢ ζώοις ἢ ζῆθι.

Ἐκ τοῦ λάχοιμι, λάχοις, λάχοι γίνεται λαχοίην, κατὰ πλεονασμὸν τοῦ η, καὶ προσθήκῃ τοῦ σ· καὶ ἀποβάλλουσιν οἱ Αἰολεῖς τὸ σ, καὶ γίνεται λαχο[τ'] [b] ἀντιλάχοισι.

Τὰ εἰς μι, ἢ ἐνεργητικὰ εἰσὶν ἢ μέσα, οὐδέποτε δὲ παθητικά· ἐνεργητικὰ μὲν, οἷον, τύπτοιμι, βοῷμι· μέσα δὲ, οἷον, δεδούποιμι, πεποίθοιμι· τὰ δὲ εἰς μην, ἢ παθητικά εἰσιν, ἢ ἐνεργητικὰ, μέσα δὲ οὐδέποτε· ἐνεργητικὰ μὲν, οἷον, τιθείην, ἱσταίην, γνοίην, δοίην· παθητικὰ δὲ, οἷον, τυφθείην, δαρείην· καὶ ὅσα μὲν ἔχουσιν εἰς μενος τὴν μετοχὴν, εἰς μην ἔχουσι τὸ εὐκτικὸν, οἷον, τυπτόμενος, τυπτοίμην, τυφθησόμενος, τυφθησοίμην· ὅσα δὲ ἔχουσι τὴν μετοχὴν εἰς σ μετ' ὀξείας τάσεως, διὰ τοῦ ντ κλινομένην εἰς ην καθαρὸν ἔχουσι τὸ εὐκτικὸν, οἷον, διδοὺς, διδόντος, διδοίην· γνοὺς, γνόντος, γνοίην.

Ἰστέον δὲ ὅτι πολλάκις εὑρίσκονται καὶ μετοχαὶ μὴ οὖσαι εἰς σ μετ' ὀξείας τάσεως, καὶ γίνεται εἰς ην καθαρὸν τὸ εὐκτικὸν, οἷον, περιπατοίην· περιπατῶν γάρ ἐστι περιπατοῦντος· τοῦτο δέ τινες ἀπὸ τοῦ περιπατοῖμι φασὶν, περιπατοῖς, περιπατοῖ· καὶ γίνεται Ἀττικῶς περιπατοίη, καὶ προσθέσει τοῦ ν, περιπατοίην, ἢ τρόπῃ τῆς μι εἰς ην· τὸ δὲ τρέφειν [οιν] παρ' Εὐριπίδῃ, ὡς τὸ

ἄφρον ἂν εἴην εἰ τρέφοιν τὰ τῶν πέλας [c].

ἀπὸ τοῦ τρέφοιμι, καὶ τρόπῃ τῆς μι εἰς ην, τρεφοίην Ἀττικῶς, ὡς περιπατοίην· ἀπὸ γοῦν τοῦ τρεφοίην κατὰ συγκοπὴν τοῦ η γέγονε τρέφοιν.

Εἴτε εἰς μι, εἴτε εἰς μην, εἴτε εἰς ην καθαρὸν ἐστὶ τὰ εὐκτικὰ, ἀεὶ διφθόγγῳ παραλήγεται· οἷον, βοῷμι, χρυσῷμι, δαρείην, δοίην, τυπτοίμην· καὶ ἐν τοῖς πληθυντικοῖς χωρὶς

[b] Sic. [c] Cf. Etym. M. p. 764, 52.

τῆς δευτέρας συζυγίας τῶν εἰς μι· οἷον, ζευγνύην, καὶ πηγνύην καὶ ὀμνύην.

Τὰ εὐκτικὰ τοῦ πρώτου ἀορίστου τοῦ ἐνεργητικοῦ οἱ Αἰολεῖς διὰ τῆς ει διφθόγγου ἐκφέρουσιν· οἷον, τύψαιμι, τύψεια· ὑποστρέψαιμι, ὑποστρέψεια· τίσαιμι, τίσεια· ἵσταμαι, ἱσταίμην· δίδομαι, διδοίμην[d], πεποίημαι, πεποιείμην· μέμνημαι, μεμνείμην, καὶ τίθεμαι, τιθείμην.

Ὑποτατικὴ λέγεται διότι ὑποτάσσεται ἑνὶ τῶν συνδέσμων· ἐν τοῖς ὑποτακτικοῖς ὅλοι οἱ χρόνοι συντεταγμένοι εἰσίν.

Ἰστέον ὅτι ἡ τετάρτη συζυγία τῶν εἰς μι οὐκ ἔχει ὑποτακτικά· ἐπεὶ κανών ἐστιν ὁ λέγων· πᾶς παρῳχημένος ὁριστικὸς, μὴ ἔχων τὸ μ κλιτικὸν τρέπον τὴν τελευταίαν συλλαβὴν εἰς ω, καὶ ἀποβάλλων ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν, τὸ ὑποτακτικὸν ποιεῖ· οἷον, ἔτυπτον, ἐὰν τύπτω· ἔμαθον, ἐὰν μάθω· ἔτυψα, ἐὰν τύψω· καὶ περισπῶνται τὰ ἔχοντα τὴν μετοχὴν εἰς σ μετ' ὀξείας τάσεως, καὶ διὰ τοῦ ντ κλινομένην· οἷον ἐνύγην, νυγεὶς, νυγέντος, ἐὰν νύγω· ἱστὰς, ἱστάντος, ἐὰν ἱστῶ· ἐδίδον, διδοὺς, διδόντος, ἐὰν διδῶ· τιθεὶς, τιθέντος, ἐὰν τιθῶ· οὕτως οὖν ἀπὸ τοῦ παρατατικοῦ, ἐπήγνυν, καὶ ὤλλυν, καὶ ἐζεύγνυν· τρόπῃ τῆς ἐσχάτης εἰς ω, καὶ ἀποβολῇ τῆς ἐν ἀρχῇ κλιτικῆς ἐκτάσεως, γίνεται ἐὰν πηγνῶ, καὶ ἐὰν ὀλλῶ, καὶ ἐὰν ζευγνῶ· καὶ ἀναγκάζεται γενέσθαι περισπωμένως, ἐπειδὴ καὶ ταῦτα τὴν μετοχὴν ἔχουσιν εἰς σ μετ' ὀξείας τάσεως καὶ διὰ τοῦ ντ κλινομένην· οἷον, πηγνὺς, πηγνύντος· ὀλλὺς, ὀλλύντος· τῶν οὖν δύο κανόνων μαχομένων, καὶ τοῦ μὲν ἑνὸς ἀπαιτοῦντος αὐτὰ ὁμοφωνεῖν τοῖς πρωτοτύποις τῶν εἰς μι, τοῦ δὲ ἑτέρου τὴν εἰς ω μετὰ περισπωμένου τόνου κατάληξιν· οἷον, ἐὰν πηγνῶ, ἐὰν ὀλῶ, ἐξ ἀνάγκης ἐπιλιμπάνουσι τὰ ὑποτακτικὰ τῆς δ' συζυγίας τῶν εἰς μι.

Ἀπὸ τοῦ ἐὰν εἰδῶμεν, ἐὰν εἰδῆτε, ὤφειλεν εἶναι καὶ ἐὰν εἰδῶσιν· ἀλλὰ μὴν, "ἵνα εἴδομεν[e] καὶ ἄμφω," φησίν· ἔστιν οὖν εἰπεῖν ὅτι διὰ τὸ μέτρον συνέστειλεν· τὸ ἐὰν σχῶ, ἐὰν

[d] Sic. [e] Cod. εἴδωμεν.

θῶ, ἐὰν ὦ, ἐὰν σπῶ, ἀπὸ τοῦ σπάω σπῶ, ὁ δεύτερος ἀόριστος ἔσπων, ἡ μετοχὴ ὁ σπῶν, καὶ τὸ ὑποτακτικὸν ἐὰν σπῶ· ταῦτα τοίνυν ἐν τῇ συνθέσει ἀναβιβάζουσι τοὺς τόνους· οἷον, ἐὰν ὑπέρσχω, καὶ ὑπέρσχωμαι· θῶ, πρόσθω, πρόσθωμαι· προείμην, προεῖο, προεῖτο καὶ πρόειτο καὶ πρόειντο· ἀπὸ τοῦ δευτέρου ἀορίστου· ἐὰν ἐπισχῶ, ἐὰν ἐπίσχω. Τὸ δὲ ἐὰν ὦ καὶ ἐν συνθέσει τὸν αὐτὸν τόνον φυλάττει· οἷον, ἐὰν συνῶ, ἐὰν παρῶ· ἀπὸ γὰρ τοῦ ἐὰν συνέω καὶ ἐὰν παρέω γεγόνασι κατὰ κρᾶσιν τοῦ ε καὶ ω εἰς ω μέγα· ἡ δὲ ὀξεῖα καὶ ἡ βαρεῖα περισπωμένην ποιοῦσιν, οἷον, ἐὰν ποιέω, ἐὰν ποιῶ· τούτων δὲ αἱ μετοχαὶ ὀξύνονται, καὶ διὰ τοῦ ντ κλίνονται· οἷον, σχὼν σχόντος· σπῶν σπόντος[e]· ὢν ὄντος· πᾶσα γὰρ μονοσύλλαβος λέξις ἢ βαρύνεται ἢ περισπᾶται· οἷον, τίς· Κρής· καὶ πάλιν βοῦς, χοῦς.

Ἀεὶ ὁ παθητικὸς παρακείμενος πρὸ μιᾶς συλλαβῆς περισπᾶται ἐν τοῖς ὑποτακτικοῖς· οἷον, ἐὰν κεχρυσῶμαι· ἐὰν πεποιῶμαι· ἐὰν μεμνῶμαι· ἐὰν κεντῶμαι· καὶ τὰ εἰς μι δὲ κατὰ τὸν ἐνεστῶτα καὶ παρατατικὸν τῶν ὑποτακτικῶν παθητικῶν περισπῶνται· οἷον, ἐὰν τιθῶμαι· ἐὰν διδῶμαι· ἐὰν ἱστῶμαι. χωρὶς εἰ μή πω εὑρεθῇ τὸ ἐνεργητικὸν ὁριστικὸν ἐν χρήσει, τότε τὸ ὑποτακτικὸν παθητικὸν προπαροξύνεται. οἷον, ἐὰν δύωμαι· ἐὰν κρέμωμαι· ἐὰν ἐπίστωμαι· οὐκ ἔστι γὰρ τὸ δύνημι ἐν χρήσει, ἢ τὸ κρέμημι, ἢ τὸ ἐπίστημι.

Τὰ τρίτα πρόσωπα τῶν ὑποτακτικῶν ἐνεργητικῶν δεύτερα γίνονται παθητικὰ ἢ μέσα· οἷον, ἐὰν τύπτῃ ἐκεῖνος, ἐὰν τύπτῃ συ, ἐὰν χρυσοῖ συ· ἐὰν τιθῇ ἐκεῖνος· ἐὰν τιθῆσι· ἐὰν ἱστᾷ ἐκεῖνος· ἐὰν ἱστᾶ συ.

Ἡ μετοχὴ καὶ τοῦ ὀνόματος μετέχει καὶ τοῦ ῥήματος· γένει μὲν καὶ πτῶσις ἀπὸ τοῦ ὀνόματος, ἐνέργειαν δὲ καὶ πάθος καὶ μεσότητα καὶ διαφόρους χρόνους ἐν ἰδίοις μετασχηματισμοῖς, ἤγουν ἐν ἰδίαις πλαγίαις τῶν φωνῶν ἔχει ἀπὸ τοῦ ῥήματος.

Αἱ μετοχαὶ οὔτε πρόσωπα ἔχουσιν, οὔτε ἐγκλίσεις· διότι

[e] Sic.

μὲν γὰρ ἐκ τῶν ῥημάτων ἐξέπεσον, διὰ τοῦτο πρόσωπα οὐκ ἔχουσι· προσώπων δὲ μὴ ὄντων οὐδὲ ἔγκλισις δύναται εἶναι.

Ἰστέον ὅτι αἱ μετοχαὶ, ἢ ἁπλαῖ εἰσὶν, ἢ παρασύνθετοι, οὐδέποτε σύνθετοι· ἁπλαῖ μὲν, οἷον, τύπτω τύπτων· σύνθετοι δὲ, γράφων, καταγράφων· χωρὶς τοῦ ἀέκων μετοχὴ, ἥτις ἀπὸ τοῦ εἴκω ἕκω γίνεται· ὁ β́ ἀόριστος ἕκον, ἡ μετοχὴ ὁ ἑκών. αὕτη γὰρ σύνθετός ἐστιν ἀπὸ τοῦ ἑκὼν, ἐν συνθέσει ἀέκων· ἥτις κατὰ κρᾶσιν τοῦ αε εἰς α μακρὸν γίνεται ἄκων.

Εἴκω τὸ ὑποχωρῶ καὶ ὑποτάσσομαι καὶ ὁμοιῶ· καὶ ἐκ τοῦ παρεπομένου κατὰ περίφρασιν σημαίνει καὶ τὸ θέλω, ἐξ οὗ καὶ τὸ ἑκών.

Τὸ ἑστῶτος καὶ γεγῶτος καὶ βεβῶτος ἀπὸ τοῦ ἑσταὼς καὶ γεγαὼς καὶ βεβαὼς συναιρούμενα διὰ τοῦ ω μεγάλου γράφονται· τινὲς μέντοι καὶ διὰ τοῦ ο μικροῦ γράφουσιν, ὡς τετυφὼς τετυφότος, οὕτως καὶ τὸ γεγὼς γεγότος [f]. Αἱ εἰς ων περισπώμεναι μετοχαὶ ἐνεστῶτος μὲν οὖσαι πρὸς τὴν συναίρεσιν ποιοῦνται τὴν παραλήγουσαν, οἷον, νόεων νοῶν· νοέοντος νοοῦντος· αἱ δὲ τοῦ μέλλοντος τῇ ου διφθόγγῳ παραλήγονται· οἷον, εὐφρονοῦντος, μιμνοῦντος· ἡ δὲ τετυφοῦσα διότι αἱ εἰς α λήγουσαι μετοχαὶ φύσει μακρᾷ θέλουσι παραλήγεσθαι· τοῦ δὲ συμφώνου ἀποβαλλομένου ἀνάγκη γενέσθαι διὰ καθαροῦ τοῦ α· οἷον, τετυφοῦσα· τὸ γὰρ ο διὰ τῆς προσθήκης τοῦ υ μεγεθύνεται· οἷον, λέγοντος λέγουσα· καθαροῦ δὲ τοῦ α ὑπάρχοντος θέλει ἐν τῇ παραληγούσῃ εἶναι τὸ ι· οἷον, παντοῖα, ἀλλοῖα, ταχεῖα, χωρὶς τοῦ ἀθρόα· ὁ οὖν παρακείμενος εἰς α καθαρὸν λῆγον κατὰ τὴν μετοχὴν θηλυκὴν καὶ διφθόγγῳ παραληγόμενος [g] ἀνάγκην ἔχει τὸ ι παραλήγεσθαι, καὶ γενέσθαι διὰ τῆς ει διφθόγγου καὶ τοῦ ι· οἷον, τετυφουῖα· καὶ ἐπειδὴ τρία φωνήεντα οὐ δυνατόν ἐστιν ἐν μιᾷ συλλαβῇ παραλαμβάνεσθαι, ἀνάγκη ἓν ἐκ τούτων ἀποβληθῆναι· καὶ τὸ μὲν ι οὐ δύναται ἀποβληθῆναι, ὅτι τὰ εἰς α θηλυκὰ διφθόγγῳ παραληγόμενα τὸ ι θέλουσιν ἔχειν πρὸ τοῦ α· τὸ δὲ

[f] Sic. [g] Sic.

οὐκ ἀποβάλλεται, ἵνα μὴ παράσχῃ ἔμφασιν, ὅτι τὸ ο διὰ τῆς προσθήκης τοῦ ι μεγεθύνεται· ἐξ ἀνάγκης οὖν ἀποβάλλεται τὸ ο, καὶ διὰ τὸ μεῖναι τὸ υ δείκνυται ὅτι προϋπῆρχε τὸ ο.

Αἱ εἰς μενος μετοχαὶ τοῦ παρακειμένου μὴ οὖσαι ὑπὲρ τρεῖς συλλαβὰς, ἀναβιβάζουσι τὸν τόνον· τουτέστι προπαροξύνονται· οἷον, ὄρρω τὸ διεγείρω, ὤρων, ὤρακα· ὤρμενος διὰ τοῦ ω μεγάλου, καὶ ὄρμενος διὰ τοῦ ο μικροῦ. καὶ πάλιν ἔστιν ἥδω τὸ εὐφραίνομαι· ἐξ οὗ καὶ τὸ ἥδομαι, ἥσω, ἧκα· ἡσμένος καὶ ἀσμένος καὶ ἄσμενος· πρόσκειται μὴ οὖσαι ὑπὲρ τρεῖς συλλαβὰς, ἐὰν γὰρ ὦσιν ὑπὲρ τρεῖς συλλαβὰς καὶ πάθωσι, τὸν αὐτὸν φυλάττουσιν [e]. οἷον, ἀκαχῶ, ἀκαχήσω, ἠκάχηκα, ἠκάχημαι, ἠκαχήμενος καὶ

ἀκαχήμενος [f] ὀξέϊ χαλκῷ

τὸ δὲ οὐτάμενος καὶ ἐληλάμενος οὐκ ἀπὸ τοῦ οὐτασμένος, ἐληλαμένος, καθώς φασιν, ἀλλ' ἀπὸ τῶν εἰς μι· οὔτημι καὶ ἐλήλημι· ἵνα ὦσιν ἐνεστῶτος καὶ παρατατικοῦ, ὥσπερ ἵστημι, ἵσταμαι, ἱστάμενος.

Ἵην τὸ ἔπεμπον, ἵης καὶ ἀφίης· ἣν ἐπὶ τοῦ αὐτοῦ σημαινομένου, εἷς καὶ ἀφείς. Ἡ πρώτη καὶ ἡ δευτέρα συζυγία τῶν εἰς μι συστέλλεται ἐν τῇ παραληγούσῃ τοῦ πρώτου τῶν πληθυντικῶν. ἀμφότεραι γὰρ διὰ τοῦ η εἰσίν· οἷον, τίθημι, ἵστημι. ἀλλ' ἡ μὲν πρώτη τὸ ε παραλήγεται· οἷον, τίθεμεν, ἀμφίεμεν. ἡ δὲ δευτέρα τὸ α συνεσταλμένον· οἷον, ἵσταμαι, κίχραμαι· ἡ δὲ τρίτη παραλήγεται τὸ ω μέγα· ὅπερ συστελλόμενον διὰ τοῦ ο μικροῦ· συστέλλεται ἐν τοῖς πληθυντικοῖς· οἷον δίδομεν· ἡ δὲ τετάρτη διχρόνῳ ἐκτεταμένῳ· οἷον, ζεύγνυμι, πήγνυμι, ὄλλυμι· ὅπερ καὶ αὐτὸ ἤγουν τὸ υ ἐν τοῖς πληθυντικοῖς συστέλλεται. Ἰστέον ὅτι οὐ θέλουσι τὰ ὁριστικὰ τῶν εἰς μι διφθόγγῳ παραλήγεσθαι· οἷον, τίθημι, ἵστημι. σεσημείωται δὲ τὸ εἶμι τὸ πορεύομαι, καὶ εἰμὶ τὸ ὑπάρχω. ὧν τὸ μὲν ἀπὸ τοῦ εἴω τὸ πορεύομαι γέγονε, τροπῇ τοῦ ω εἰς

[e] Cod. φυλάττωσιν. [f] Sic.

μι. ἐξ οὗ τὸ εἷς ἀντὶ τοῦ πορεύῃ, τὸ δεύτερον πρόσωπον· ὡς τὸ

τῇδε εἷς ἂν ἐγὼ παράγω

ἀντὶ τοῦ πορεύῃ. τὸ τρίτον εἶσιν· οἷον·

εἶσι περὶ πτολέμοιο γέφυρας·

ἀντὶ τοῦ πορεύεται. τούτου τὰ δυικὰ καὶ πληθυντικὰ διαστελλομένου διὰ τοῦ ι ἔστιν· οἷον, ἴτον, ἴμεν, ἴτε· καὶ μετὰ τῆς ἐξ προθέσεως ἔξιτον, καὶ ἔξιμεν, καὶ ἔξιτε. τὸ τρίτον τῶν πληθυντικῶν ἴσι καὶ ἴασι προσόδῳ τοῦ α· ὡς τὸ

καταγεληδὸν ἴασιν·

ἔνθα συστέλλεται τὸ ι, ἐπειδὴ οὐκ ἔστι κατὰ τὴν παραλήγουσαν· ἐκ τούτου ἐξίασι καὶ προσίασι καὶ παρίασι· καὶ ταῦτα μὲν τὴν πόρευσιν σημαίνουσιν· ὅσα δὲ σημαίνουσι τὸ πέμπω, ἀπὸ τοῦ ἵημι, τὸ τρίτον τῶν πληθυντικῶν ἱεῖσι καὶ ἱέασι· καὶ κατὰ κρᾶσιν ἱᾶσιν· ἐξ οὗ τὸ ἀφιᾶσι καὶ ἔπεμψαν, καὶ παριᾶσι· καὶ ταῦτα μὲν περισπῶνται· ἐκεῖνα δὲ βαρύνονται· τὸ μέντοι εἰμὶ τὸ ὑπάρχω, ἀπὸ τοῦ ἔω γίνεται, τροπῇ τοῦ ω εἰς μι, γέγονεν ἐμὶ, τούτου τὸ τρίτον, ἐσσὶ, ὡς ζευγνύω, ζεύγνυμι· καὶ ἐπειδὴ τὰ εἰς μι φύσει μακρᾷ παραλήγεται, πλεονάζει τὸ ι, καὶ γίνεται εἰμί. οὐκ ἐτράπη δὲ τὸ ε εἰς η, ἵνα φυλαχθῇ τὸ λείψανον πρωτοτύπου· οἷον τοῦ ἔω· τούτου τὸ δεύτερον εἷς, ἀντὶ τοῦ ὑπάρχεις· οἷον

τίς ποθεν εἷς ἀνδρῶν;

τὸ τριτὸν εἶσι ἄχρηστον, καὶ μόνον ποιητικόν· τοῦτο δὲ γίνεται καὶ ἐσσὶ, πρὸς ἀντιδιαστολὴν τοῦ πληθυντικοῦ· τὰ δϋικὰ, ἔτον, ἔτον· καὶ πλεονασμῷ τοῦ σ, ἐστὸν, ἐστόν· ἐπειδὴ προσέλαβε τὸ, καταβίβασαν καὶ τὸν τόνον· ἔμεν καὶ ἔσμεν· ἔτε καὶ ἔστε· ἐσὶ καὶ εἰσὶν, ἀντὶ τοῦ ὑπάρχουσιν· καὶ διαλύσει, ἔασι καὶ παρέασιν, ὡς τὸ

ἐπίκουροι ἄνδρες ἔασι.

Ἰστέον ὅτι τὸ εἶμι τὸ πορεύομαι ἐν τοῖς δυϊκοῖς καὶ ἐν τοῖς πληθυντικοῖς ὡς ἀπὸ τοῦ ἴω ῥήματος διὰ τοῦ ι ἐστι.

Τὰ εἰς μι ἀποστρέφονται τὴν ὀξείαν τάσιν· οἷον, τίθημι, χωρὶς τοῦ ἠμὶ, φημὶ, καὶ εἰμί· ἐπειδὴ ταῦτα ἐγκλιτικά

ἐστιν· οἷον, ἄνθρωπος εἰμί· αἰδεῖσθαί φημι, καὶ πάλιν φημὶ ἐγὼ τόδε· καὶ εἰμὶ ἐγὼ ἐκεῖνος, ὁ πάλαι φίλος· τὸ δὲ εἶμι τὸ σημαῖνον τὸ πορεύομαι, οὐκ ἔστιν ἐγκλιτικόν.

Τὰ εἰς μι ἀναδιπλασιαζόμενα κατὰ τὸν ἐνεστῶτα, εἰ μὲν τὸ πρωτότυπον ἀπὸ συμφώνου ἄρχεται ἑνὸς, τότε δι' αὐτοῦ τοῦ συμφώνου καὶ τοῦ ι γίνεται ἀναδιπλασιασμός· οἷον, δῶ, διδῶ, δίδωμι· βῶ, βιβῶ, βίβημι· θῶ, τιθῶ, τίθημι· τοῦ δασέος θ διὰ τὴν κακοφωνίαν τραπέντος εἰς τὸ ἀντίστοιχον αὐτοῦ ψιλὸν τ· εἰ δὲ τὸ πρωτότυπον ἀπὸ συμφώνου ἄρχεται· εἰμὲν μὴ ἔστιν ἄφωνον πρὸ ἀμεταβόλου, διὰ τοῦ ι μόνον γίνεται ὁ ἀναδιπλασιασμός· οἷον, στῶ, ἱστῶ, ἵστημι· εἰ δὲ ἔστιν ἄφωνον πρὸ ἀμεταβόλου, τότε διὰ τοῦ ἀφώνου γίνεται ὁ ἀναδιπλασιασμός· οἷον, πρῶ, πιπρῶ, πίπρημι· πλῶ, πιπλῶ, πίπλημι· χρῶ, κιχρῶ, κίχρημι· διὰ τὴν κακοφωνίαν τοῦ δασέος τραπέντος εἰς τὸ ἀντίστοιχον αὐτοῦ ψιλὸν κ. τὸ δὲ πιφῶ, πίφημι οὐκ ἔστιν, ἐπεὶ οὐδὲ ἀναδιπλασιάζεται διατο[f] ἐστὶν ἐγκλιτικόν.

Τὸ εἷς κατὰ ἀποβολὴν τοῦ σ οὐκ ἐγένετο εἶ, ἀντὶ τοῦ ὑπάρχεις· ὤφειλε γὰρ ὀξύνεσθαι καὶ τὸ εἶ, ἐπειδὴ καὶ τὸ εἷς ὀξύνεται· ἀμφότερα μέντοι τὸ ὑπάρχεις δηλοῦσιν ἀπὸ τοῦ εἰμί. ἀπὸ τοῦδε ἔω ἔομαι τὸ παθητικὸν, ἔῃ τὸ δεύτερον, καὶ κατὰ κρᾶσιν εἶ· γέγονε τὸ εἶ καὶ ὑπάρχεις. Ἀττικῶς δὲ τὸ ἔει διὰ τῆς ει διφθόγγου γράφεται· ὥσπερ οὖν ποιέει ποιεῖ, οὕτως καὶ ἔει, εἶ. Ἀπολλώνιος δὲ οὐκ ἔτι φησὶ τοῦ εἶναι καλόν· οὐδέποτε γὰρ τὰ ὑπαρκτικὰ εἰς πάθος λαμβάνονται, οὐδὲ τὸ ὑπάρχω γίνεται ὑπάρχομαι· πῶς γὰρ δύναται ἔχειν παθητικὰ, ὅπου οὐδὲ ἐνέργειαν σημαίνουσιν οὐδὲ πάθος; οἷον, ζῶ, πλουτῶ, ὑπάρχω· οὐδέτερα δὲ λέγεται ταῦτα, διὰ τὸ μήτε ἐνέργειαν σημαίνειν μήτε πάθος. λέγει οὖν ὁ Χάραξ, ὅτι κατὰ πάθος γέγονε τὸ εἶ ἀπὸ τοῦ εἷς, ἀποβολῇ τοῦ σ. καὶ περιεσπάσθη τὸ εἶ, τοῦ εἷς ὀξυνομένου· τὰ γὰρ εἰς τὴν ει δίφθογγον λήγοντα ῥήματα, ἐπὶ τέλους ἔχοντα τὸν τόνον, περισπᾶται· οἷον, νοεῖ, ποιεῖ, τελεῖ· ἄλλως τε καὶ ἀπὸ συν-

[f] Sic Cod.

αιρέσεως περισπῶνται· πᾶσα γὰρ συναίρεσις ἐξ ὀξείας καὶ βαρείας περισπωμένην ποιεῖ, ἤγουν, ποιέει, ποιεῖ, καὶ ἔει εἶ.

Διατί ἐπειδὴ πᾶν δεύτερον πρόσωπον εἰς σ λῆγον, καὶ ἀποβολῇ τοῦ σ τὸ τρίτον ποιεῖ, οὐ γέγονε τίθης, τίθη; πρῶτον μὲν οὖν, ὅτι ἀναλογώτερά εἰσιν. δεύτερον, ὅτι κανών ἐστιν ὁ λόγων, ὅτι τὰ ὁμοιοκαταληκτοῦντα τοῖς ἰδίοις πρωτοτύποις, εἰς ω λήγει ὁμοίως ἐκείνοις, καὶ ἀποβολῇ τοῦ σ τὸ τρίτον ποιοῦσιν, οἷον ἄρχω, ἀρχεύω· ἄρδω, ἀρδεύω. τὰ γοῦν εἰς μι μὴ ὁμοιοκαταληκτοῦντα τοῖς ἰδίοις πρωτοτύποις· ἐκεῖνα γὰρ εἰς ω λήγουσι, ταῦτα δὲ εἰς μι, εἰκότως οὐδὲ ἀποβολῇ τοῦ σ τὸ τρίτον ποιοῦσιν ὁμοίως τοῖς ἰδίοις πρωτοτύποις, ἀλλὰ προσλαμβάνουσιν ι, καὶ ποιοῦσι τὸ τριτόν. Ἐπὶ τῆς δευτέρας συζυγίας ἐνίοτε δὲ καὶ ποιοῦσιν· οἷον, βεβάασιν. ἐπὶ τῆς πρώτης δὲ καὶ τρίτης καὶ τετάρτης ποιοῦσιν· οἷον, τίθησι, τιθέασι· δίδουσι, διδόασι· ζευγνῦσι, ζευγνύασι· ταῦτα δὲ καὶ μακρὸν ἔχουσι τὸ α, ἐπειδὴ τὰ εἰς ι λήγοντα ῥήματα φύσει μακρᾷ παραλήγονται· τὸ δὲ ἴασιν ἀπὸ τοῦ ἱεῖσι προσόδῳ τοῦ α καὶ συστολῇ τῆς παραληγούσης, ἱέασιν, καὶ κατὰ κρᾶσιν Ἀττικὴν τοῦ ε εἰς α μακρὸν, ἴᾶσιν· καὶ διὰ τοῦτο γέγονεν, ὡς ἱέασι ἵᾶσιν, οὕτω καὶ τιθέασι τιθᾶσιν, ἀλλὰ τιθέασιν. ἔχει πρὸ τοῦ ε σύμφωνον τὸ θ, καὶ τούτου χάριν οὐ κιρνᾶται, καὶ γίνεται τιθᾶσιν ὡς ἴᾶσιν. οὐδέποτε γὰρ τὸ ε καὶ α εἰς α κιρνᾶται συμφώνου προηγουμένου τοῦ ε· οἷον, Δημοσθένεα, Δημοσθένη· τείχεα, τείχη· ἐπὶ γὰρ τῶν ἐχόντων καθάρὸν τὸ ε· τουτέστι τῶν μὴ ἐχόντων πρὸ τοῦ ε σύμφωνον γίνεται τοῦτο· ἤγουν κιρνᾶται τὸ ε καὶ α εἰς α μακρόν· οἷον, εὐφυέα, εἰφυᾶ· ὑγιέα, ὑγιᾶ· ἀλλ' οὐ μέντοι εὐτελέα, εὐτελᾶ· ταῦτα οὖν Ἀττικά εἰσιν.

Οἱ Ἀττικοὶ συναιροῦσιν, οὐ μὴν οἱ Ἴωνες· μᾶλλον δὲ διαλύουσιν· οἷον, Ξέρξεα, Πολυδεύκεα· ἐτετύφεα, ἐπεποιήκεα· ἦν, ἔα· ἀπὸ τοῦ εἶν παρατατικοῦ· τὸ ἔφημεν δεύτερος ἀόριστος, τὸ δὲ ἔφαμεν παρατατικοῦ· καὶ τὸ μὲν ἔφαμεν ἀντὶ τοῦ ἐλέγομεν ἐστὶ, τὸ δὲ ἔφημεν ἀντὶ τοῦ εἴπομεν.

Ἰστέον ὅτι ὁ δεύτερος ἀόριστος ὁ ἐνεργητικὸς ἐπὶ τῶν εἰς

μι οὐ συστέλλει τὴν παραλήγουσαν αὐτοῦ ἐν τοῖς πληθυντικοῖς· οἷον ἔστην, ἔστημεν· ἔβην, ἔβημεν· ἔγνων, ἔγνωμεν· ἥλων, ἥλωμεν· ἐβίων, ἐβίωμεν· ἔφην, ἔφημεν· τὸ δὲ ἔφαμεν παρατατικοῦ. σεσημείωται τὸ ἔδων, ἔδομεν· ἔθην, ἔθεμεν, καὶ ἧν, ἑμὲν, τὸ ἐπέμψαμεν, καὶ ἀπελύσαμεν· τούτων τὰ πληθυντικὰ, ἔδοσαν, ἔθεσαν. Τὸ ἵστημι ἐνέργειαν δηλοῖ· τὸ δὲ ἑστήκω πάθος· οὗ ὁ μέλλων ἑστήξω· τὸ ἀπαρέμφατον ἑστήξειν· τούτου τοῦ ἑστήξω, ὁ παρακείμενος ἕστηχα· ὁ μέσος ἕστηκα· ὁ δὲ ἀπὸ τοῦ ἵστημι παρακείμενος ἐστὶν ἕστακα. Ὅτε ὁ πρῶτος ἀόριστος ἐνεργητικὸς περιττοσυλλαβῇ τοῦ δευτέρου ἀορίστου τοῦ ἐνεργητικοῦ, τότε καὶ ὁ ἐνεργητικὸς παρακείμενος περιττοσυλλαβεῖ τοῦ μέσου παρακειμένου· οἷον· κτυπῶ καὶ κτυπήσω, ἐκτύπησα, ἔκτυπον· ἐκτύπηκα καὶ ἔκτυπα· δουπῶ, δουπήσω, δεδούπηκα, ἔδουπα καὶ ἐδούπησα, ἔδουπον· ὅτε δὲ ὁ ἀόριστος ἐνεργητικὸς ἰσοσυλλαβεῖ τῷ δευτέρῳ ἀορίστῳ τῷ ἐνεργητικῷ, τότε καὶ ὁ ἐνεργητικὸς παρακείμενος ἰσοσυλλαβεῖ τῷ μέσῳ παρακειμένῳ· οἷον, ἔστηλα, ἔσταλον, ἔσταλκα, ἔσταλα. ἐν τοῖς εἰς μι γοῦν, ἐπειδὴ περιττοσυλλαβεῖ ἀεὶ ὁ ἐνεργητικὸς ἀόριστος πρῶτος τοῦ δευτέρου ἀορίστου τοῦ ἐνεργητικοῦ, ἔστησα, ἔστην· ἔδωκα, ἔδων· ἔθηκα, ἔθην· ἧκα, ἧν, ὃ σημαίνει τὸ ἔπεμψα· ὤφειλεν περιττοσυλλαβεῖν ὁ παρακείμενος τοῦ μέσου παρακειμένου· οἷον ἕστακα, ἕστα· ἀλλ' ἀδύνατόν ἐστιν εὑρεθῆναι μέσον παρακείμενον ἐν χρήσει δισύλλαβον, χωρὶς τοῦ οἶδα καὶ ἧκα, ὃ σημαίνει τὸ ὁμοιῶ· καὶ τοῦ ἦα, ὃ σημαίνει τὸ ἐπορευόμην· ὅπερ κατὰ διάλυσιν ἤϊα· ἐξ οὗ καὶ ᾔειν ὑπερσυντελικὸς διὰ τοῦ η· καὶ ἐν συνθέσει ἤειν, ὡς τὸ ἐξήειν καὶ παρήειν· ταῦτα δὲ ἀπὸ τοῦ εἴω τὸ πορεύομαι γίνονται· ἀπὸ τοῦ φύω, φῦμι· καὶ ἀπὸ τοῦ κλύω κλῦμι· καὶ ἀπὸ τοῦ δύω, δῦμι· ἐξ ὧν τὸ ἔφυν καὶ τὸ ἔκλυν καὶ τὸ ἔδυν· καὶ τὸ κλὺς, καὶ φὺς, καὶ δὺς· καὶ τὸ δῦθι, καὶ κλῦθι, καὶ φῦθι· τὸ μὲν ἔστην ἑκών· τὸ δὲ ἐστάθην, ὑπὸ σοῦ. Ὁ δεύτερος μέλλων ἐνεργητικὸς καθόλου ἐπιλιμπάνει ἐν τοῖς εἰς μι. ἡνίκα γὰρ ὁ δεύτερος ἀόριστος ἐνδεῖ τοῦ πρώτου ἀορίστου, τότε καὶ ὁ

δεύτερος μέλλων ἐνδεῖ τοῦ πρώτου μέλλοντος· οἷον, ἐμύκησα, ἔμυκον· μυκήσω, μυκῶ· ἐβλάστησα, ἔβλαστον· βλαστήσω, βλαστῶ. ὤφειλεν οὖν εἶναι ἀπὸ τοῦ ἔστιν, στῶ· καὶ ἀπὸ τοῦ ἔγνων, γνῶ· καὶ ἀπὸ τοῦ ἔδων, δῶ· ὅπερ ἐστὶν ἀδύνατον· οὐδέποτε γὰρ ὁ μέλλων μονοσύλλαβος εὑρίσκεται ἐν χρήσει· καθόλου δὲ οὐδέποτε ῥῆμα ὁριστικὸν μονοσύλλαβον εἰς ω λῆγον εὑρίσκεται ἐν χρήσει, χωρὶς εἰ μὴ εὑρεθῶσι δευτέρας συζυγίας τῶν περισπωμένων· οἷον δρῶ, κλῶ, θλῶ, σμῶ· πρόσκειται ὁριστικὸν, διὰ τὸ ἐὰν θῶ, καὶ ἐὰν δῶ· πρόσκειται εἰς ω λῆγον, διὰ τὸ πλεῖς καὶ χεῖς καὶ ρ εἷς· ταῦτα μὲν γὰρ κατὰ τὸ δεύτερον καὶ τρίτον πρόσωπον, συναιροῦνται· κατὰ δὲ τὸ πρῶτον οὐδαμῶς· ἵνα μὴ εὑρεθῶσιν εἰς ω λήγοντα καὶ μονοσυλλαβοῦντα ὁριστικὰ ὄντα, καὶ μὴ ὄντα δευτέρας συζυγίας τῶν περισπωμένων.

Τὸ ἔφαμεν τύπον μὲν ἔχει παθητικοῦ, σημασίαν δὲ ἐνεργητικὴν, τὸ γὰρ εἶπον σημαίνει· τὸ δεύτερον πρόσωπον ἀναλόγως ἔχει, ἔφασο, ἔφατο· καὶ τὸ προστατικὸν ἔφασο, καὶ κατὰ ἀποβολὴν Ἰωνικῶς φάο.

Πάλιν ἐστὶν ἀπὸ τοῦ κρεμάω, κρεμῶ, κρέμημι ἀπὸ τοῦ κρεμῶ, καὶ τὸ παθητικὸν κρέμαμαι· καὶ ὁ παρατατικὸς ἐκρεμάμην· καὶ λοιπὸν τὸ ἐκρέμασο γίνεται κατὰ ἀποβολὴν τοῦ σ Ἰωνικῶς, ἐκρέμαο· καὶ κατὰ κρᾶσιν Ἀττικὴν τοῦ αε εἰς ω, ἐκρέμω· μηδεὶς δὲ οἰέσθω ἐκρεμώμην, ὡς ἀπὸ τοῦ κρεμόω, κρεμῶ καὶ κρεμῶμαι, καὶ ἐκρεμώμην εἶναι τὸ παθητικὸν, ὥσπερ βοῶμαι καὶ ἐβοώμην· νῦν δὲ κρέμαμαι καὶ ἐκραμάμην ἐστὶν, ὥσπερ ἵσταμαι, ἱστάμην· ἄλλως τε, εἰ ἦν ἀπὸ τῶν εἰς ω, κρεμῶ εἶχεν εἶναι περισπωμένως, ὥσπερ ἐβοῶ· νῦν δὲ ἐκρέμω εἶναι παροξυτόνως. Πῶμι, πώσω, πέπωκα, πέπομαι, ἐπεπόθην· δίδωμι, δώσω, δέδωκα, δέδομαι, ἐδόθην.

Ἰστέον ὅτι τὰς τρίτας συζυγίας τῶν εἰς μι οὐδαμοῦ ἐνεστὼς πλὴν τοῦ δίδωμι[g]· πρόσκειται ἐνεστῶτος, διὰ τὸ ἐβίων καὶ ἥλων δεύτερος ἀόριστος. ταῦτα τρίτης συζυγίας

[g] Cod. διδομι (ω superscript).

εἰσὶ τῶν εἰς μι· ἀπὸ τοῦ βίωμι, καὶ ὤλλωμι[h]· ἀλλ' οἱ ἐνεστῶτες οὗτοι, φημὶ δὴ βίωμι καὶ ὠόλλωμι[i] οὐχ εὕρηται ἐν χρήσει ὁ ἐνεστὼς ὁ γνῶμι. Ἡ δὲ τετάρτη συζυγία τῶν εἰς μι, μὴ ἔχουσα τετάρτην συζυγίαν περισπωμένων, ἑξῆς ὤφειλεν παραχθῆναι ἀπὸ τῆς ἕκτης τῶν βαρυτόνων· καταγίνεται, ἀπὸ τοῦ πηγνύω πήγνυμι· καὶ εὐλόγως ἀπὸ τῆς ἕκτης τῶν βαρυτόνων, ἡ τετάρτη συζυγία τῶν εἰς μι· ἐπειδὴ καὶ αἱ τρεῖς συζυγίαι τῶν περισπωμένων ὅσον κατὰ τὴν ἐντέλειαν, τῆς ἕκτης συζυγίας τῶν βαρυτόνων εἰσίν· τὸ γὰρ τιθῶ ἀπὸ τοῦ τιθέω ἐστὶν, ὁμοίως καὶ τὸ ἱστῶ, ἀπὸ τοῦ ἱστάω· καὶ τὸ διδῶ ἀπὸ τοῦ διδόω· παράγονται δὲ ἀπὸ τῶν τριῶν συζυγιῶν τῶν περισπωμένων αἱ τρεῖς τῶν εἰς μι· καὶ τούτου χάριν ἀπὸ τῆς ἕκτης τῶν βαρυτόνων συζυγίας ἡ τετάρτη συζυγία τῶν εἰς μι· εἰκότως δὲ ἀπὸ τῆς ϛ τῶν βαρυτόνων παράγονται αἱ εἰς μι· οἷον, ὀλλύω, ὄλλυμι, καὶ οὐκ ἀπὸ τῶν λοιπῶν συζυγιῶν τῶν βαρυτόνων· οἷον ἀπὸ τοῦ λέγω καὶ φέρω, τροπῇ τοῦ ω εἰς μι, λέγμι καὶ φέρμι· ἤμελλον γὰρ συμφώνῳ παραλήγεσθαι, ὅπερ ἐστὶν ἀδύνατον· οὐ δύναται δὲ γενέσθαι λέγημι, καὶ φέρημι· ὅτι τὰ εἰς μι, ἐὰν μὲν ἀπὸ βαρυτόνων θεμάτων, ἰσοσυλλαβεῖν θέλουσι τοῖς ἰδίοις πρωτοτύποις· οἷον, ζευγνύω, ζεύγνυμι· εἰ δὲ ἀπὸ περισπωμένων, μιᾷ συλλαβῇ ἐθέλουσι περιττεύειν τῶν ἰδίων πρωτοτύπων· οἷον, τιθῶ, τίθημι· ἐὰν οὖν ταῦτα γένωνται λέγημι καὶ φέρημι, ἀνάγκη ἰσοσυλλαβεῖν τοὺς ἰδίους πρωτοτύπους, τὸ λέγω καὶ φέρω, ὅπερ ἐστὶν ἄτοπον.

Καθόλου τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν τοῦ ἐνεστῶτος πρὸς τὸ τρίτον πρόσωπον τοῦ παρατατικοῦ, ἢ ἰσοσυλλαβεῖν θέλει, ἢ πλειοσυλλαβεῖν· καὶ ἰσοσυλλαβεῖν μὲν, ὅταν ἄρχεται ἀπὸ συμφώνου· οἷον, τύπτουσιν, ἔτυπτον· βοῶσιν, ἐβόων· χωρὶς τῶν ἀπὸ προθέσεως· οἷον, καταγράφουσι πεντασύλλαβον· καὶ κατέγραφον τετραρτοσύλλαβον· πλειοσυλλαβεῖν δὲ, ὅταν ἀπὸ φωνήεντος ἄρχηται· δηλόνοτι

h Sic. i Sic.

τὸ τρίτον τῶν πληθυντικῶν τοῦ ἐνεστῶτος· οἷον, ἄγουσιν, ἦγον· ἑρμηνεύουσιν, ἡρμήνευον.

Τοῦ εἶμι τοῦ πορεύομαι τὰ πληθυντικὰ διὰ τοῦ ι· τοῦ δὲ εἰμὶ τοῦ ὑπάρχω, διὰ τοῦ ε· ἀπὸ τοῦ ἐσμὶ ἐς πλεονάζει τὸ ι· καὶ γίνεται ἐσσὶ ἀντὶ τοῦ ὑπάρχεις· τὸ δὲ τρίτον ἐσσὶ, καὶ Δωρικῶς τροπῇ τοῦ σ εἰς τ, ἐστὶν καὶ εἴκοτι· τὸ δὲ ἔασιν ἀπὸ τοῦ εἰσίν· τὸ ἴασιν ἀπὸ τοῦ ἴσιν, ὅπερ γίνεται ἀπὸ τοῦ εἶμι τὸ πορεύομαι καὶ προσόδῳ τοῦ α, καὶ συστολῇ τῆς παραληγούσης, ἴασιν, ὡς τὸ, ἀγεληδὸν ἴασι, ἀντὶ τοῦ πορεύονται· τὸ δὲ προπερισπώμενον ἱᾶσι καὶ ἀφιᾶσιν, ἀπὸ τοῦ ἵημι ἵεισι· τὸ τρίτον τῶν πληθυντικῶν καὶ ἱέασι, καὶ κατὰ κρᾶσιν, ἱᾶσιν· ὅπερ γίνεται καὶ ἀφιᾶσιν· τὸ δὲ ἐξίασι καὶ παρίασι καὶ προσίασιν, ἀπὸ τοῦ ἴασιν.

Fol. 124. a. Ἄξιον ἐστὶ ζητῆσαι, διατί ὥσπερ παρὰ τὸ εἷς γέγονεν ἑνικὸς ἀριθμὸς, καὶ παρὰ τὸ δύο, δυϊκὸς, οὐ γέγονε καὶ παρὰ τὸ τρία, τρεϊκός· καὶ ἔστιν εἰπεῖν, ὅτι ἐπειδὴ τὸ τρεῖς πλήθους ἐστὶ δηλωτικὸν, ἀρχὴ γὰρ πλήθους ὁ τρεῖς ἀριθμός ἐστι, τὸ γὰρ πλῆθος οὐ μόνον τρία σημαίνει, ἀλλὰ καὶ τέσσαρα, καὶ δέκα, καὶ ἑκατὸν, τούτου χάριν ἐκ τῆς σημασίας ἔλαβε τὴν ὀνομασίαν· καὶ λοιπὸν ἐκ τοῦ σημαίνειν πλῆθος, λέγεται πληθυντικός· εἰ γὰρ παρὰ τὸ τρία γέγονε τρεϊκὸς, οὐκ ἔμελλεν ἁρμόζειν τοῖς τέσσαρσιν ἢ τοῖς πέντε, καὶ τοῖς ἑξῆς, ἀλλὰ μόνοις τοῖς τρισίν· διόπερ οὖν ἐκ τοῦ σημαίνειν πλῆθος, γέγονε πληθυντικὸς ἀριθμὸς, ἐπειδὴ αὕτη ἡ ὀνομασία, οὐ μόνον τρισὶν ἀλλὰ καὶ πᾶσιν ἁρμόζει.

Ἐλασριθείς· κινηθεὶς, βιασθείς·

Ζανὸς ἐλαστριθεὶς, γηλοπάγει φάσι[k]

καὶ ἐλαστρῶ, καὶ ἐλάστρεον·

ζεύγεα δινεύοντες ἐλάστρεον

ἀπὸ τοῦ ἐλῶ, ἀφ᾽ οὗ τὸ ἐλαύνω· ὁ παρακείμενος ἐλήλακα· ὁ παθητικὸς ἐλήλαμαι, ἐλήλασαι, ἐλήλαται, καὶ ἐξ αὐτοῦ ὀνο-

[k] Sic.

μα ῥηματικὸν ἐλάστρεον, ὡς κεντῶ, κέντον καὶ κέντρον· οὕτως ἐκ τοῦ ἔλαστρον γίνεται ἐλαστρῶ· ἢ ὡς ἀπὸ τοῦ βοῦς, βοάζω, βοαστὴς, βοαστρῶ, καὶ συναιρέσει βοστρῶ, οὕτω καὶ τὸ ἐλαστρὴς καὶ ἐλαστρῶ, ἢ ἐλάζω, ἐλαστὴς καὶ ἐλαστρῶ.

Τὰ εἰς ον συγκριτικὰ ὑπὲρ δύο συλλαβὰς ἀναβιβάζουσι τὸν τόνον ἐπὶ τῆς κλητικῆς· οἷον, ἀρείων, ἄρειον· βελτίων, βέλτιον· γλυκίων, γλύκιον. * λύξεις· γλαγκάζει, κρώζει· πτερύσσεται· γλαμυξιᾶν τὸ λημᾶν· γλοιᾶται, παίζει· γλοιάζειν τὸ τοῖς ὄμμασιν ἐπιμύοντα μυκτηρίζειν.

Τὰ εἰς ος τριγενῆ ποιοῦσι συγκριτικὰ καὶ ὑπερθετικὰ, οἷον, βραδὺς, βραδύτερος, βραδείων, βράδιστος· γλυκὺς, γλυκείων, γλυκύτερος, γλύκιστος.

Γλοιώδης, ῥυπαρὸς καὶ γλοιόρυπος.

Νήπιος· πόθεν ἐτυμολογεῖται; παρὰ τὸ ἤπιος, ὁ πρᾶος καὶ προσηνὴς καὶ νήπια πονῶν· ἢ παρὰ τὸ νη στερητικὸν καὶ τοῦ εἰπεῖν, γέγονε νηείπιος, καὶ κατὰ συναίρεσιν νήπιος, ὁ μὴ δυνάμενος λέγειν· ἢ νήβιος, ὁ ἐστερημένος βίου.

Οὐ κατενάρκησα· οὐκ ἠμέλησα.

Ὄψον· προσφάγιον· ὀψώνιον, κέρδος, χάρισμα· οὐθὲν, οὐδέν· ἠμείβετο, ἀπεκρίνατο.

Δεῦτε· πόθεν γίνεται; ἐκ τοῦ θέω, τὸ τρέχω· καὶ ὁ παρατατικὸς ἔθεον, ἔθεες, ἐθέει, ἐθέομεν, ἐθέετε· καὶ τὸ προστακτικὸν θέετε· καὶ τροπῇ τοῦ θ εἰς δ, καὶ τοῦ ε εἰς υ, δεῦτε.

Τὸ ἔσται ἐκ τοῦ ἔω τὸ ὑπάρχω· ὁ μέλλων ἔσω· ὁ μέσος μέλλων ἔσομαι, ἔσῃ, ἔσεται, καὶ ἐν συγκοπῇ ἔσται.

Τὸ κάθημαι παρὰ τὸ ἔω ἐῶ· καὶ ἐξ αὐτοῦ παράγωγον ῥῆμα εἰς μι ἔημι· τὸ παθητικὸν ἔημαι, καὶ κράσει ἧμαι, καὶ μετὰ τῆς κατὰ προθέσεως, καὶ ἐν συνθέσει κάθημαι.

Ταφών· παρὰ τὸ θήπω· ὁ μέλλων θήψω· ὁ ἀόριστος ἔθηψα· ὁ δεύτερος ἀόριστος ἔθαπον· καὶ ἡ μετοχὴ, ὁ θαπὼν, καὶ κατὰ ἐναλλαγὴν τῶν στοιχείων, ταφών.

Φερέσβιον· ζωηράν.

Ἄρκτον λέγουσιν οἱ Ἀττικοί· ἐτυμολογεῖται δὲ παρὰ τὸ

ἀρκῶ, ἄρκος καὶ ἄρκτος, ἡ ἐπαρκοῦσα ἑαυτήν· ἢ διὰ τὸ κατὰ χειμῶνα ἀρκεῖσθαι καὶ διαζῆν χωρὶς ἐπεισάκτου τροφῆς· λέγεται γὰρ ὅτι τὸν χειμῶνα περιλείχει τὰ πέμματα αὐτῆς, καὶ ἐπαρκεῖται ὅλον τὸν χειμῶνα.

Θάλασσα· παρὰ τὸ σάλον ἐμποιεῖν· ἢ παρὰ τὸ ἆσσον, ἤγουν πλησίον εἶναι θανάτου, θάνασσα καὶ θάλασσα· θάνατον γὰρ αὕτη τοῖς πλέουσιν ἀπειλεῖ· ἢ παρὰ τὸ θωὸς, ἤγουν ταχέως μεταβάλλεσθαι· ἢ ἀπὸ τοῦ θυέλλης εἶναι πλήρης, θυέλασσα καὶ θάλασσα· καταπνέεται γὰρ διόλου ταῖς θυέλαις, ἐπεὶ καὶ πόντος καλεῖται.

Βιβάριον ἀπὸ τοῦ βιβῶ τὸ ζῶ, καὶ τὸ αἴρω τὸ ἐπαίρω.

Πρύμνη παρὰ τὸ εἰς πέρας μένειν, ἢ παρὰ τὸ πέρας περιμένειν· καὶ πρυμνὸν καὶ πρύμνη.

Εὐνὴ σημαίνει τρία· τὴν κοίτην, τὴν ἄγκυραν, καὶ τὴν διατριβήν· τὴν κοίτην, ὡς τὸ εὕδω, τὸ κοιμῶμαι, εὐδαίνω, καὶ ἐν συγκοπῇ εὐνή· τὸν ἅρπαγα τῆς νηὸς, ἤγουν τὴν ἄγκυραν, παρὰ τὸ εὐνάζειν, καὶ ἐν ἡσύχῳ ποιεῖν τὴν ναῦν· ὡς τὸ

ἐκ δ' εὐνὰς ἔβαλον.

διατριβὴν, ὡς τὸ

ὅθι φασὶ Τυφωέος ἔμμεναι εὐνάς.

Ὄμβρος· παρὰ τὸ ὅμου ῥέειν, ὁμοῦρος, καὶ ἐν συγκοπῇ ὄμβρος· καὶ ἐπεὶ τὸ ο πρὸ τοῦ μ δασύνεται, ἔστι πλεονασμὸς τοῦ β, καὶ γινέται ὄμβρος.

Ἀνὴρ παρὰ τὸ ἀνύω, ἀνυὴρ καὶ ἀνήρ.

Βλέφαρον παρὰ τὸ αἴρεσθαι βλέπειν· καὶ παρὰ τὸ βάρος εἶναι τοῦ βλεπός· βλὲψ γὰρ ὁ ὀφθαλμός.

Ἴχνος· παρὰ τὸ ἴσχειν τὸν πόδα, ὅ ἐστι κρατεῖν· ἢ παρὰ τὸ ἴσχειν τὸν ποῦν, ὅ ἐστι συνέχειν· ἢ παρὰ τὸ ἀνέχεσθαι τῆς γῆς· ἢ παρὰ τὸ ἐν τῇ γῇ ἵεσθαι, ἤγουν πορεύεσθαι.

Θρίξ· ἐκ τοῦ θερίζω· ὁ μέλλων θερίξω· θρὶξ ἀποβολῇ τοῦ ω· καὶ διατί οὐ κλίνεται θριχός; ἐπειδὴ οὐδέποτε εὑρίσκεται ἐν χρήσει.

Ἀργύριον παρὰ τὸ ἀργὸν, ὃ σημαίνει τὸ λευκόν· τοῦτο δὲ

παρὰ τὸ ἀγλαὸν, καὶ μεταθέσει, ἀργόν· οἱ γὰρ ποιηταὶ τὰ λευκὰ πάντα οὕτω καλοῦσι.

Excerpta e Chronico Georgii Hamartoli e Cod. Barocc. 194. fol. 60.

Μετὰ δὲ ταῦτα, γέγονέ τις γίγας τοὔνομα Νεβρὼδ, υἱὸς Χοῦς τοῦ Αἰθίοπος, ἐκ φυλῆς Χάμ· ὃς κτίσας τὴν Βαβυλῶνα πόλιν, καὶ πρῶτος καταδείξας κυνηγίαν καὶ μαγείαν, Περσῶν ἐπρώτευσε, διδάξας αὐτοὺς ἀστρονομίαν καὶ ἀστρολογίαν τῇ οὐρανίῳ κινήσει, τὰ περὶ τοὺς τικτομένους πάντα δῆθεν σημαίνοντα· ἀφ᾽ ὧν Ἕλληνες τὴν γενεθλιαλογίαν μαθόντες, ἤρξαντο τοὺς γενομένους ὑπὸ τὴν τῶν ἄστρων κίνησιν διαφέρειν. οὐκοῦν ἀστρονομία τε καὶ ἀστρολογία καὶ μαγεία ἀπὸ Μαγουσάλων ἤτοι Περσῶν ἤρξαντο. οἱ γὰρ Πέρσαι Μαγὼγ, ὑπὸ τῶν ἐγχωρίων προσαγορεύονται· οἵγε τὸν Νεβρὼδ λέγουσιν ἀποθεωθέντα καὶ γενόμενον ἐν τοῖς ἄστροις τοῦ οὐρανοῦ, ὃν καλοῦσιν Ὠρίωνα· περὶ οὗ φησὶ Μωσῆς ὅτι γέγονεν ἡ ἀρχὴ τῆς βασιλείας αὐτοῦ Βαβυλὼν καὶ Χαλάνη ἐν γῇ Σεναάρ· ὅθεν ἐξῆλθε Φιλιστιεὶμ, ἐκ τῆς φυλῆς τοῦ Σὴμ, τοῦ Ἀσσούρ· ἀφ᾽ οὗ Ἀσσύριοι· καὶ κρατήσας τὴν Συρίαν καὶ τὴν Περσίδα καὶ τὰ λοιπὰ μέρη τῆς ἀνατολῆς, ἀνεφάνη καὶ ἄλλος υἱός τινος Οὐρανοῦ λεγομένου, καὶ Ἀφροδίτης γυναικὸς αὐτοῦ, γιγαντιαῖος ὀνόματι Κρόνος κατὰ τὸ ὄνομα τοῦ πλανήτου ἄστρου· γενόμενος δὲ καὶ οὗτος δυνατὸς πάνυ, καὶ πολλοὺς ὑποτάξας καὶ κυριεύσας, πρῶτος κατέδειξε τὸ βασιλεύειν καὶ κρατεῖν τῶν ἄλλων ἀνθρώπων· ὃς καὶ βασιλεύσας πρῶτος Συρίας ἔτη νς΄, ὑπέταξε πᾶσαν τὴν Περσίδα, ἀρξάμενος ἀπὸ τῆς Συρίας· ἔχων δὲ γυναῖκα Σεμήραμιν, τὴν καὶ Ῥέαν καλουμένην παρὰ Ἀσσυρίοις, ἔσχει υἱοὺς δύο, καὶ θυγατέραν μίαν· καὶ τὸν μὲν προσηγόρευσε Διὰ εἰς ὄνομα τοῦ πλανήτου ἀστέρος· τὸν δὲ ἐπωνόμασε Νῖνον καὶ τὴν θυγατέρα Ἥραν· ἣν καὶ ἔλαβεν εἰς γυναῖκα Πῖκος, ὁ καὶ Ζεὺς, τὴν ἰδίαν ἀδελφήν. Μετὰ δὲ Κρόνον ἐβασίλευσε

Νῖνος ὁ υἱὸς αὐτοῦ ἔτη νβʹ. ὅς γε τὴν ἰδίαν μητέρα Σεμήραμιν λαβὼν εἰς γυναῖκα, νόμος ἐγένετο Πέρσαις λαμβάνειν τὰς ἑαυτῶν μητέρας καὶ ἀδελφὰς, διὰ τὸ καὶ τὸν Δία λαβεῖν τὴν ἰδίαν αὐτοῦ ἀδελφὴν ὁ καὶ Πῖκος λεγόμενος.

Ὁ δὲ Νῖνος ἐπικρατὴς γενόμενος τῆς Συρίας, καὶ κτίσας πόλιν μεγίστην σφόδρα, πορείας ὁδοῦ ἡμερῶν τριῶν, ἐκάλεσεν αὐτὴν εἰς ὄνομα αὐτοῦ Νινευί· καὶ πρῶτος ἐν αὐτῇ βασιλεύει· ἐξ οὗ ἐγένετο καὶ Ζωρόαστρος ὁ περιβόητος, καὶ Περσῶν ἀστρονόμος, ὃς μέλλων τελευτᾶν, ηὔχετο ὑπὸ οὐρανίου πυρὸς ἀναλωθῆναι· εἰπὼν τοῖς Πέρσαις, ἐὰν καύσῃ με τὸ πῦρ, ἐκ τῶν καιομένων μου ὀστέων λάβετε καὶ φυλάξατε, καὶ οὐκ ἐκλείψει τὸ βασίλειον ἐκ τῆς χώρας ὑμῶν, ἕως οὗ φυλάττεται τὰ ὀστᾶ μου· καὶ εὐξάμενος τῷ Ὠρίονι ὑπὸ ἀερίου πυρὸς ἀνηλώθη. Καὶ λαβόντες οἱ Πέρσαι ἀπὸ τῶν τεφροθέντων ὀστέων αὐτοῦ, ἔχουσι φυλάττοντες ἕως ἄρτι.

Μετὰ δὲ Νῖνον ἐβασίλευσεν Ἀσσυρίων Θούρας τις τοὔνομα, ἔτη λʹ. ὃν καὶ μετωνόμασαν Ἄρεα, εἰς ὄνομα τοῦ πλανητοῦ ἀστέρος· οὗ τινι Ἀρεϊ πρῶτον στήλην ἀναστήσαντες Ἀσσύριοι, καὶ ὡς Θεὸν μέχρι τοῦ νῦν προσκυνοῦντες καλοῦσι Περσιστὶ Βαὰλ Θεὸν, τουτέστιν Ἄρης πολεμικός· οὗ καὶ Δανιὴλ μέμνηται ὡς προσκυνουμένου παρὰ Περσῶν καὶ λατρευομένου.

Μετὰ δὲ Ἄρεα ἐβασίλευσε Λάμης, ἔτη κʹ. Μετὰ δὲ Λάμην ἐβασίλευσε Σαρδανάπαλος ὁ μέγας, ἔτη λεʹ· καὶ ἐσφάγη ὑπὸ τοῦ Περσέως· οἱ δέ γε κόλακες καὶ μιμηταὶ τῆς ἐκείνου φιλοσαρκίας καὶ γαστριμαργίας καὶ οἰστρηλασίας ἐπέγραψαν, ὡς ἐξ αὐτοῦ δῆθεν τῷ τάφῳ αὐτοῦ τοιάδε·
"τόσ' ἔχω ὅσ' ἐφύβρισα· καὶ ἔφαγόν τε καὶ ἔσθιον, καὶ
"μετ' ἔρωτος τερπνοῦ ἐπολιτευσάμην· παθόντα δὲ πολλὰ
"καὶ ὄλβια πάντα λέλειπται· καὶ γὰρ νῦν σποδὸς εἰμὶ
"Νίνου μεγάλης βασιλεύσας."

Ἀρχὴ βασιλέως Περσέως.

Μετὰ δὲ Σαρδανάπαλον ἐβασίλευσε Περσεὺς ὁ υἱὸς Πικοῦ

τοῦ καὶ Διός· ὅς γε πολεμήσας καὶ νικήσας τοὺς Λυκάονας, καὶ πόλιν κτίσας ἐκεῖ, καὶ τὴν ἑαυτοῦ στήλην στήσας, ἐκάλεσεν αὐτὴν Ἰκόνιον, ἐκ τοῦ ἰδίου ἀπεικονίσματος· ὑποτάξας δὲ καὶ ἄλλας χώρας, καὶ πρὸς τὴν Ἰσαυρίαν καὶ Κιλικίαν ἐλθὼν, καὶ ἀπὸ τοῦ ἵππου κατελθὼν, καὶ πήξας τὸν ταρσὸν τοῦ ποδὸς ἐν τῇ γῇ, ἐν ᾗ καὶ πόλιν κτίσας, ἐπωνόμασεν αὐτὴν Ταρσὸν, ἐκ τοῦ ἰδίου ποδὸς, καὶ ὁρμήσας κατ' Ἀσσυρίων, καὶ Σαρδανάπαλον φονεύσας, ὑπέταξε, καὶ ἐβασίλευσεν ἔτη λγ΄. ὃς καὶ ἐπ' ὀνόματι αὐτοῦ Πέρσας ἐκάλεσεν αὐτοὺς, ἀφελόμενος ἀπὸ Ἀσσυρίων τήν τε βασιλείαν καὶ τὴν προσηγορίαν· ἐδίδαξε δὲ αὐτοὺς καὶ τὴν μυσαρὰν τελετὴν καὶ μαγείαν τὴν λεγομένην Μηδούσης· ἐξ ἧς καὶ τὴν χώραν αὐτῶν ἐπωνόμασε Μήδιαν, ἀπὸ τοῦ μιαροῦ μαθήματος· ἐφ' οὗ καὶ πῦρ ἐκ τοῦ οὐρανοῦ κατῆλθεν ἐν Περσίδι, καὶ θαυμάσας ἐξ οὗ καὶ ἀνάψας, καὶ κτίσας καὶ ἱερὸν ἔθηκεν αὐτὸ ἐν αὐτῷ· καταστήσας δὲ ἄνδρας εὐλαβεῖς διακονεῖν αὐτὸ καὶ φυλάττειν ἄσβεστον, ἐκέλευσε τοὺς μάγους· ὅπερ ἕως ἄρτι ἐν πολλῇ τιμῇ ἔχοντες οἱ Πέρσαι πυρσολατροῦσι κατὰ τὴν παράδοσιν τοῦ βασιλέως αὐτῶν Περσέως· οὐκοῦν πρώτη μέν ἐστιν ἡ τῶν Ἀσσυρίων, ἤτοι Βαβυλωνίων βασιλεία· δευτέρα δὲ ἡ τῶν Περσῶν, οἱ καὶ ὁμωνύμως Βαβυλώνιοι καὶ Ἀσσύριοι κληθέντας.

Ἀρχὴ Σεσώστρου βασιλέως.

Μετὰ δὲ Περσέα καὶ τοὺς μετὰ τοῦτον χρόνους καὶ βασιλεῖς, ἐβασίλευσεν Αἰγυπτίων πρῶτον ἐκ φυλῆς Χὰμ, ἄνθρωπός τις πανοῦργος ὀνόματι Σεσώστρης, ἔτη κ΄. ὃς καὶ πολεμήσας Ἀσσυρίους ὑπέταξεν αὐτοὺς, καὶ τοὺς Χαλδαίους καὶ Πέρσας ἕως Βαβυλῶνος· ὡσαύτως καὶ τὴν Ἀσίαν καὶ Εὐρώπην· καὶ τὴν Σκυθίαν ἐκπολεμήσας, ὑπέταξεν· ὑφ' οὗ ἦν Ἑρμῆς ὁ Τρισμέγιστος ἀνὴρ Αἰγύπτιος θαυμαστὸς παρ' Ἕλλησιν ἐν σοφίᾳ· ἐφ' ὧν χρόνων ἦν τις ἐν Ἰταλίᾳ ἰθύνων ἐπαρχίαν ὀνόματι Πάλας, καὶ καθεξῆς μέχρι τῶν κτισάντων τὴν Ῥώμην καὶ βασιλευσάντων ἐν αὐτῇ· ἦσαν δὲ

οὗτοι ἐν τοῖς χρόνοις Ἀχὰζ τοῦ βασιλέως Ἰουδαίων. οὕτως καὶ οἱ Ἀσσύριοι βασιλεῖς.

Ἀρχὴ τῶν Φαραωνιτῶν βασιλέων.

Μετὰ δὲ Σεσώστρην, ἐβασίλευσε τῆς Αἰγύπτου Φαραὼ, ὁ καὶ Ναραχὼ καλούμενος, ἔτη ν΄. ἀφ' οὗ πάντες οἱ Αἰγύπτιοι βασιλεῖς, Φαραωνῖται προσηγορεύθησαν· ἐν δὲ τοῖς προειρημένοις τοῦ Πίκου Διὸς χρόνοις ἀναφαίνεταί τις ἐπὶ τὰ δυτικὰ μέρη ἐκ φυλῆς Ἰάφεθ, ἐν τῇ χώρᾳ τῶν Ἀργείων, τοὔνομα Ἴναχος· ὃς πρῶτος ἐν ἐκείνῃ τῇ χώρᾳ ἐβασίλευσεν· ἐν ᾗ πόλιν εἰς ὄνομα τοῦ ἡλίου κτίσας, ἐκάλεσεν Ἰλιούπολις. Λιβύη δὲ ἡ θυγάτηρ τοῦ Πίκου Διὸς, συναφθεῖσα τινὶ ὀνόματι Σιδόνη ἔτεκε τὸν Βὴλ, καὶ τὸν Ἀγήνορα· καὶ ὁ μὲν Βὴλ, ἀπελθὼν εἰς Αἴγυπτον, καὶ λαβὼν γυναῖκα ὀνόματι Σίδαν, καὶ γεννήσας υἱὸν, ἐκάλεσεν αὐτὸν Αἴγυπτον· ἐξ οὗ καὶ ἡ Αἴγυπτος τὴν ἐπωνομίαν εἴληφεν· ὃς καὶ ἐν αὐτῇ ἐβασίλευσεν. ὁ δὲ Ἀγήνωρ ἐπὶ Φοινίκην ἐλθὼν, καὶ λαβὼν γυναῖκα τοὔνομα Τυρὼ, καὶ κτίσας πόλιν εἰς ὄνομα αὐτῆς, εἰς ἣν καὶ ἐβασίλευσεν. ἐγέννησε δὲ υἱοὺς τρεῖς καὶ θυγατέρα μίαν· τὸν Φοίνικα, τὸν Σύρον, καὶ τὸν Κίλικα καὶ τὴν Εὐρώπην. ἐφ' ὧν χρόνων καὶ Ταῦρος ὁ Κρήτης βασιλεὺς δορυάλωτον εἰληφὼς, καὶ πρὸς τὴν Θράκην τὴν ἰδίαν χώραν ἀπαγαγὼν τὴν Εὐρώπην παρθενεύουσαν καὶ εὐπρεπῆ, προσηγόρευσεν ἐκεῖνα τὰ μέρη εἰς ὄνομα αὐτῆς Εὐρώπην· μέλλων δὲ τελευτᾶν Ἀγήνωρ, διετάξατο πᾶσαν ἣν ὑπέταξε γῆν μερίσασθαι τοὺς τρεῖς υἱοὺς αὐτοῦ· καὶ ὁ μὲν Φοίνιξ λαβὼν τὴν Τύρον[1], καὶ τὴν αὐτῆς ἐνορίαν, ἐκάλεσεν αὐτὴν Φοινίκην· ὁ δὲ Σύρος τὴν ἐπιλαχοῦσαν αὐτῷ χώραν ἐκάλεσε Συρίαν· ἀφ' οὗ Σῦροι μετονομάσθησαν, οἱ πρώην οἱ Ἰουδαῖοι καὶ Παλαιστηνοὶ καλούμενοι, καὶ Συρία ἡ Ἰουδαία κέκληται· ὁ δὲ Κίλιξ τὸ ἐπελθὸν αὐτῷ κτῆμα ἐκάλεσε Κιλικίαν· εἰς τὸ ἴδιον ὄνομα ἕκαστος τὰς χώρας αὐτῶν προσαγορεύσαντες.

1 Cod. τήρων.

Ἐν δὲ τοῖς χρόνοις τῆς βασιλείας τοῦ Φοίνικος ἦν Ἡρακλῆς ὁ Τύριος καὶ φιλόσοφος, ὁ καὶ τῆς κογχύλης ἐφευρετής· μετεωριζόμενος γὰρ ἐπὶ τὸ παράλιον μέρος τῆς Τύρου, εἶδε ποιμενικὸν κῦνα ἐσθίοντα τὴν λεγομένην κογχύλην· καὶ τοῦ ποιμένος νομίζοντος ἐκμάσει[m] τὸν κῦνα· λαβὼν πόκον ἐρίου ἀπὸ τῶν προβάτων, ἐκμάξαντος τὸ καταφερόμενον ἐκ τοῦ στόματος τοῦ κυνὸς, καὶ βαφέντος τοῦ πόκου, προσέσχεν ὁ Ἡρακλῆς μὴ εἶναι αὐτὸ αἷμα, ἀλλὰ βαφῆς πρόξενον· ὃ καὶ θαυμάσας, ὡς μέγα δῶρον προσήγαγε τοῦτο τῷ βασιλεῖ Φοίνικι. ὃς καὶ μᾶλλον ἐκπλαγεὶς ἐκέλευσεν ἀπὸ κογχύλης ἔριον βαφῆναι, καὶ γενέσθαι αὐτῷ περιβόλαιον· καὶ οὗτος πρῶτος φορέσας ἐκ πορφύρας ἱμάτιον, πάντες ἐθαύμασαν τὴν ξένην ταύτην ἐσθῆτα· ἣν καὶ ἐθέσπισεν ὁ Φοίνιξ, μηδένα τῶν ὑπὸ τὴν βασιλείαν αὐτοῦ τολμᾶν φορεῖν· εἰ μὴ αὐτὸν καὶ τοὺς μετ' αὐτὸν βασιλεύσαντας τῆς Φοινίκης, πρὸς τὸ γνωρίζεσθαι τὸν βασιλέα τῷ στρατῷ καὶ παντὶ τῷ πλήθει ἐκ τῆς τοιαύτης ἐσθῆτος· πρώην γὰρ οὐκ ἐγίνωσκον οἱ ἄνθρωποι βάφειν χροιὰς ἱματίων· ὅθεν οὐδὲ ῥαδίως ὁ βασιλεὺς ὑπὸ τῶν ὑπηκόων ἐγνωρίζετο.

Ἀρχὴ[n] βασιλέως Πέλοπος.

Μετὰ δὲ τοὺς χρόνους ἐκείνους καὶ βασιλείας, ἐβασίλευσε τῆς Ἑλλάδος Πέλοψ ὁ Λύδδαν, ὃς κτίσας πόλιν ἐκεῖσε προσηγόρευσεν αὐτὴν Πελοπόννησον, ἐκ τοῦ Πέλοπος καὶ τῆς νήσου· ἀφ' ἧς καὶ Πελοποννήσιοι κέκληνται οἱ Ἑλλαδικοί. ἐβασίλευσε τοίνυν Ἀσσυρίων Κρόνος καὶ Νῖνος καὶ Σαρδανάπαλος, καὶ καθεξῆς ἕως οὗ Μαροδάχ· εἶτα Ναβουχοδονόσορ· μετὰ δὲ τούτου Βαλτάσαρ καὶ Δαρείων υἱὸς αὐτοῦ, ἐβασίλευσε Περσῶν Κῦρος ὁ Πέρσης ἔτη λβʹ. καὶ ἐσφάγη ἐν Περσίδι· ἐφ' οὗ καὶ Κροῖσος ὁ Λύδδων βασιλεὺς ἐπαρθεὶς διὰ τὸ ὑποτάξαι τὰς πλησίον αὐτοῦ χώρας, καὶ τὰς πόρρωθεν ἐπαρχίας, δηλοῖ Κύρῳ, ἢ παραχωρῆσαι αὐτῷ

[m] Sic. [n] Vocem ἀρχὴ om. in Cod. supplevi.

τὴν βασιλείαν Περσῶν, ἢ δέξασθαι τὴν παρουσίαν αὐτοῦ ἐν πολέμῳ· ὁ δὲ Κῦρος ἀκούσας ταῦτα καὶ πάνυ φοβηθεὶς, καὶ τοὺς ἀπεσταλμένους ἀποπεμψάμενος, ἠβουλήθη φυγεῖν ἐπὶ τὴν Ἰνδικὴν χώραν· ὅπερ μαθοῦσα ἡ γυνὴ αὐτοῦ λέγει πρὸς αὐτόν· τί οὕτως ἀθυμεῖς καὶ ἀτονεῖς καὶ ἀβουλήτως τοῦτο πρᾶξαι βούλει; ὁ δέ φησι· καὶ τίς μοι ὁ εἰς τοῦτο βουλευσάμενος ὠφελήσῃ ἑταῖρος; ἡ δὲ λέγει αὐτῷ· ἐπὶ Δαρείου τοῦ πρώτου μου ἀνδρὸς, ἦν τις Ἑβραῖος προφήτης ὀνόμασι Δανιὴλ ἐκ τῆς αἰχμαλωσίας τῶν υἱῶν Ἰσραὴλ δυνατὸς ἐν ἔργῳ καὶ λόγῳ· ὃν καὶ ἐν πολλῇ τιμῇ Δαρεῖος ἔχων καὶ βουλευτὴν, μεγάλως ηὐδοκίμει· ὅστις γεγηρακὼς ἄρτι, εἰς τὴν Ἰνδικὴν ἰδιάζει χώραν· οὗ καὶ αὐτὸς ὑπακούσας τῆς βουλῆς καλῶς ποιήσεις. τοῦτο Κῦρος ἀκούσας, εὐθὺς ἔπεμψε τοὺς μεγιστᾶνας αὐτοῦ πρὸς αὐτὸν, ἵνα μετὰ τιμῆς αὐτὸν ἀγάγωσι· φιλεῖ γὰρ ἐν ἀνάγκαις τὰ γύναια σπουδαιότερον κεχρῆσθαι τῶν ἀνδρῶν ἐν τοῖς μηχανήμασι, καὶ ταῖς πρὸς Θεὸν καταφυγαῖς σπουδαιότερον ἅπτεσθαι καὶ θερμότερον. Ὁ δὲ Κροῖσος μετὰ τὴν ἐπάνοδον τῶν ὑπ' αὐτοῦ πρὸς Κῦρον ἀποσταλέντων, ἔπεμψεν εἰς τὸ μαντεῖον ἄνδρα πιστὸν ἐρωτῆσαι διὰ τοῦ Μιερέως τὴν Πυθίαν, εἰ ἐξελθὼν κατὰ Κύρου νικήσῃ τοῦτον· καὶ εἰσελθὼν ὁ Μιερεὺς καὶ εὐξάμενος ἔλαβε χρησμὸν παρὰ τῆς Πυθίας·

Κροῖσος Ἅλιν ποταμὸν διαβὰς μεγάλην ἀρχὴν καταλύσει.

ὅνπερ καὶ γράψας ἐν χάρτῃ δέδωκε τοῖς ἀποσαλεῖσι πρὸς Κροῖσον. Τοῦ δὲ θείου Δανιὴλ ἐλθόντος πρὸς Κῦρον, εἶπεν αὐτῷ Κύρος· λέγε μοι σοφώτατε εἰ νικήσω Κροῖσον τὸν ἅρπαγα καὶ ὑπερήφανον· καὶ φησὶν ὁ Δανιήλ· θάρσει ὅτι νικήσεις τὸν Κροῖσον καὶ λαμβάνεις αὐτὸν αἰχμάλωτον· περὶ σοῦ γὰρ εἶπεν Ἡσαΐας ὁ Προφήτης· "οὕτω λέγει Κύριος "τῷ χριστῷ Κύρῳ, οὗ ἐκράτησα τῆς δεξιᾶς, ἐπακοῦσαι ἔμ- "προσθεν αὐτοῦ ἔθνη· καὶ ἰσχὺν βασιλέων διαρρήξω. αὐτὸς "οἰκοδομήσει τὴν πόλιν μου· καὶ τὴν αἰχμαλωσίαν τοῦ "λαοῦ μου ἐπιστρέψει, εἶπε Κύριον Σαβαώθ." Ὁ δὲ Κύρος ἀκούσας ταῦτα ἔπεσε πρὸς τοὺς πόδας Δανιὴλ φάσκων· ζῇ

Κύριος ὁ Θεός σου, ἐγὼ ἀπολύσω τὸν Ἰσραὴλ ἐκ τῆς γῆς μου, ἵνα λατρεύσωσι τῷ Θεῷ αὐτῶν ἐν Ἱερουσαλήμ. καὶ ὁπλισάμενος παρετάξατο Κροίσῳ. Ὁ οὖν Κροῖσος ἀκούσας τοῦ χρησμοῦ τὴν ἀπόκρισιν, ὥρμησε κατὰ Κύρου μετὰ πολλῆς δυνάμεως· καὶ διαβὰς τὸν Ἅλιν ποταμὸν καὶ συμβαλὼν τῷ Κροίσῳ[o], χειμῶνος ὄντος μεγάλου, ἡττήθη· ἠβουλήθη οὖν φυγεῖν μετὰ τοῦ λαοῦ αὐτοῦ, καὶ τοῦ ποταμοῦ πλημμυροῦντος, οὐκ ἠδυνήθη περᾶσαι· οὗ ἕνεκεν εἰλήφθη αἰχμάλωτος, καὶ ἀπώλοντο τὰ πλήθη αὐτοῦ, χιλιάδες υ΄. τοὺς δὲ περιλειφθέντας ἐξ αὐτῶν, ἔλαβεν αἰχμαλώτους ὁ Κύρος· τὸν δὲ Κροῖσον ἀναρτήσας ἐπὶ ξύλου δεδεμένον, καὶ θριαμβεύσας αὐτὸν τῷ στράτῳ αὐτοῦ καταγαγὼν καὶ ἀπαγαγὼν ἐν Περσίδι, θανάτῳ παρέδωκε τὸν τὰ ἀλλότρια καὶ ὑπὲρ δύναμιν ἐφιέμενον· καὶ αὐτὸν καὶ τὰ ἴδια προσαπολέσαντα διὰ πολλὴν ἀπληστίαν. τοὺς δὲ υἱοὺς Ἰσραὴλ πάντας ἐλευθερώσας μετὰ Ζοροβάβελ, ἀπέλυσεν ἐν Ἱερουσαλήμ· καὶ οὕτως τῶν Λύδδων κατελύθη ἡ βασιλεία ὑπὸ Κύρου, διαρκέσασα ἔτη σλβ΄.

Μετὰ δὲ Κύρον ἐβασίλευσεν ὁ υἱὸς αὐτοῦ Καμβύσης, ἔτη η΄. Μετὰ δὲ Καμβύσην καὶ ἑτέρους, ἐβασίλευσεν Ἀρταξέρξης ὁ Μνήμων λεγόμενος, ἔτη κ΄· ἐφ᾽ οὗ ἦν τις ἐν Ἰταλίᾳ ἰθύνων ἐπαρχίαν μίαν ὀνόματι Πάλας· ὃς κτίσας οἶκον μέγαν πάνυ, οἷον οὐκ εἶχεν ἡ περίχωρος ἐκείνη, ἐκάλεσεν αὐτὸν Παλάτιον· ἐξ οὗ τὸ βασιλικὸν κατοικητήριον Παλάτιον προσαγορεύεται.

Μετὰ δὲ ταῦτα ἐβασίλευσε Ῥῶμος, ὁ κτίσας τὴν Ῥώμην, καὶ Ῥῆμος ὁ ἀδελφὸς αὐτοῦ· οἵτινες ἀνενέωσαν καὶ προσοικοδόμησαν τὸ λεγόμενον Παλάτιον, ἤτοι τὸν βασιλικὸν τοῦ Παλατίου οἶκον· καὶ ναὸν μέγιστον τῷ Διῒ ἀνεγείραντις ἐπωνόμασαν αὐτῷ Καπετώλιον Ῥώμης, ὅ ἐστι Ῥωμαϊστὶ[p] κεφαλὴ τῆς Ῥώμης, ἤτοι τῆς πόλεως. ἐν δὲ τῷ βασιλεύειν εἰς ἔχθραν ἐλθόντες, καὶ φονεύσας Ῥῶμος τὸν Ῥῆμον, ἐβα-

[o] Sic. [p] Cod. ῥωμαϊστή.

σίλευσε μόνος· εἶτα πληρώσας τὰ τείχη καὶ κοσμήσας τὴν πόλιν, καὶ τῷ Ἄρεϊ ναὸν κτίσας, καὶ ἐν τῷ Μαρτίῳ μηνὶ τοῦτον ἐγκαινίσας, ἐκάλεσε καὶ τὸν μῆνα Μάρτιον, τὸν πρώην λεγόμενον Πρίμνον, ὅ ἐστιν Ἄρεως· ἥνπερ ἑορτὴν οἱ Ῥωμαῖοι κατ' ἔτος ἐπιτελοῦντες ὀνομάζουσι τὴν ἡμέραν τῆς πανηγύρεως Μάρτιον ἐν Κάμπῳ. ἔκτισε δὲ καὶ ἱππικὸν, θέλων διασκεδᾶσαι τὸ πλῆθος τῶν Ῥωμαίων τοῦ δήμου, ὅτι στασιάζοντες ἐπήρχοντο αὐτῷ διὰ τὸν φόνον τοῦ ἀδελφοῦ αὐτοῦ· καὶ ἐπιτέλεσε πρῶτος ἱπποδρομίαν ἐν Ῥώμῃ εἰς ἑορτὴν φησὶ τοῦ ἡλίου καὶ εἰς τιμὴν τῶν δ' στοιχείων, γῆς, ἀέρος, πυρός τε καὶ ὕδατος· καὶ προσηγόρευσε, τὸ μὲν πρασινον, τὸ δὲ λευκὸν, τὸ δὲ ῥούσιον, τὸ δὲ βένετον· ὑποθέμενος αὐτοῖς ὡς εὐτυχῶς οἱ τῶν Περσῶν βασιλεῖς φέροντες πρὸς τοὺς πολέμους τιμῶντες τὰ τέσσαρα ταῦτα στοιχεῖα. καὶ λοιπὸν οὖν οἱ τὴν Ῥώμην οἰκοῦντες, εἰς τὰ μέρη ταῦτα διαμερισθέντες, καὶ ἀναποιούμενοι ἑκάστου στοιχείου, καὶ ἐν τούτοις ἀσχολούμενος καὶ ἁμιλλόμενος, ἐδόκει τὸν στασιασμὸν παῦσαι· ἀλλ' ὅμως εἰ καὶ ταῦτα Ῥῶμος ἐπενόησεν, ἀλλ' οὐκ ἐπαύσατο πᾶσα ἡ πόλις Ῥωμαίων σειομένη καὶ οἱ δῆμοι αὐτοὶ καθ' ἑαυτοὺς στασιάζειν, ἐξότε τὸν ἴδιον ἀδελφὸν ἀνεῖχεν· ὅθεν ἀπορήσας[q] καὶ εἰς τὸ μαντεῖον ἀπελθὼν, καὶ ἐπερωτήσας δι' ἣν αἰτίαν ὁ διηνεκὴς γίνεται σεισμὸς, ἐρέθη αὐτῷ παρὰ τὴν Πυθίαν οὕτως· εἰ μὴ συγκαθήσῃ[r] σοι ὁ ἀδελφός σου ἐν τῷ βασιλικῷ θρόνῳ, οὐ μὴ παύσῃ τοῦ σείεσθαι ἡ πόλις ἐν ταῖς ἡμέραις σου, οὔτε ὁ δῆμος ἡσυχάσει τοῦ στασιάζειν· καὶ ποιήσας χρυσοῦν στηθάριον ἐκτύπωμα τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ θεὶς ὑπὸ τὸν θρόνον ἔνθα ἐκάθητο πλησίον ὁ ἀδελφὸς αὐτοῦ, ἔπαυσεν ὁ σεισμὸς αὐτίκα καὶ ἡσύχασεν ἡ δημοτικὴ ταραχή· καὶ οὕτως ἐβασίλευσε συγκαθημένου αὐτοῦ τοῦ χρυσοῦ ἐκτυπώματος τοῦ ἀδελφοῦ Ῥήμου, καὶ εἴ τι ἂν ἐκέλευσε θεσπίζων ἔλεγεν ὡς ἀφ' ἑαυτοῦ, "ἐκελεύσαμεν, ἐθεσπίσαμεν."

[q] Cod. ἀπορρήσας. [r] συγκαθησ$\overset{\eta}{\text{ει}}$ Cod.

Ὁ αὐτὸς οὖν Ῥῶμος καὶ τὰ λεγόμενα Βρουμάλια ἐπενόησε διὰ τοιαύτην αἰτίαν· φασὶ γὰρ αὐτὸν καὶ τὸν ἀδελφὸν αὐτοῦ διδύμους ἐκ πορνείας τεχθῆναι καὶ ῥιφῆναι ἐν ἀλσώδει[a] τόπῳ· καὶ ὑπό τινος ἀγροικικῆς γυναικὸς πρόβατα νεμούσης, εὑρεθέντος ἀνατραφῆναι· ὄνειδος δὲ ὑπῆρχε παρὰ Ῥωμαίοις τὸ ἐξ ἀλλοτρίων ἐκτρέφεσθαι τινά· διὸ καὶ ἐν τοῖς συμποσίοις ἕκαστος τὸ ἴδιον βρῶμα καὶ πόμα κομίζων, καὶ εἰς τὸ κοινὸν τὰ πάντα παρατιθέμενοι ἤσθιον τὸ ὄνειδος ἐκφεύγοντες μὴ ἀκούειν ἀλλοτριοφάγοι. οὗ δὴ χάριν ἐπένοησε Ῥῶμος τὰ Βρουμάλια εἰρηκὼς, ἀναγκαῖον εἶναι τρέφειν τὸν βασιλέα τὴν ἑαυτοῦ σύγκλητον ὡς ἐντίμους ἐν τῷ χειμῶνι ὅταν ἠρεμοῦσιν ἐκ τοῦ πολέμου· καὶ ἤρξατο καλεῖν τοὺς ἀπὸ ἄλφα ἔχοντας ὄνομα, καὶ ἀκολούθως ἕως τοῦ ω· κελεύσας καὶ τὴν σύγκλητον καλεῖν τῷ αὐτῷ σχήματι, καὶ ἐκτρέφειν στρατὸν ἅπαντα· ὅθεν οἱ στρατιῶται εἰς τοὺς οἴκους ἀπιόντες τῶν καλεσάντων αὐτοὺς ἐπ' ἀρίστῳ ἀφ' ἑσπέρας ηὔλουν καὶ ἐχόρευον πρὸς τὸ γνῶναι πάντας, ὅτι παρ' αὐτῷ αὔριον τραφήσονται. τοῦτο οὖν πεποίηκε Ῥῶμος, ὡς εἴρηται πρὸς τὸ ἀπαλλαγῆναι τῆς ὕβρεως αὐτοῦ, καλέσας τὸ ὄνομα τοῦ ἀρίστου ἐκείνου Βρωμαλιοὺμ, ὅ ἐστι Ῥωμαϊστὶ, ἐκ τῶν ἀλλοτρίων τραφῆναι.

Ἡ δὲ θεία δίκη τοῦτον μετὰ ταῦτα διὰ τὴν τοῦ ἀδελφοῦ ἀναίρεσιν μετῆλθε καὶ αὐτὸς ἀναιρεῖται μελιδὸν κατατμηθεὶς ἐν τῷ τῆς Ῥώμης βουλευτηρίῳ βασιλεύσας ἔτη λζ'.

Μετὰ δὲ Ῥῶμον συνέβη τὴν Ῥώμην ὑπὸ ὑπάτων διοικεῖσθαι καὶ στρατηγῶν ἔτη υξ'ς. ἐξ ὧν γέγονέ τις στρατηγὸς ὀνόματι Μάλιος· καὶ φθονηθεὶς διὰ τὴν ἀνδρείαν αὐτοῦ ὑπό τινος συγκλητικοῦ ὀνόματι Φευρουαρίου, παρεσκεύασε τοὺς συγκλητικοὺς ἐκδιῶξαι ἐκ τῆς πόλεως τὸν Μάλιον· εἶτα ἐπελθόντες οἱ Γάλλοι παρέλαβον νυκτὸς τὴν Ῥώμην, καὶ πολλοὺς κατέσφαξαν τῇ εἰκάδι τοῦ λεγομένου Σεξτηλίου μηνός. οἱ δὲ συγκλητικοὶ γνόντες τὴν παράληψιν τῆς πόλεως

[a] ἀλσώδη Cod.

καὶ φυγόντες προσκαλοῦσι πάλιν μετὰ παρακλήσεως τὸν στρατηγὸν Μάλιον εἰς ἐπικουρίαν· ὃς καὶ συναγαγὼν πλῆθος στρατοῦ, καὶ παραλαβὼν τοὺς Γάλλους, ἀνεῖλε πάντας· καὶ κρατήσας αὖθις τῆς Ῥώμης Μάλιος καὶ λυπηθεὶς διὰ τὴν παράληψιν αὐτῆς ἐν τῷ Σεξτηλίῳ μηνὶ, ἐκολόβωσε τὰς ἡμέρας τοῦ μηνὸς, ὡς δυστυχοῦς γενομένου τῇ Ῥώμῃ ἀποχαράξας τὸ ὄνομα αὐτοῦ μηκέτι λέγεσθαι οὕτως. κατασχὼν δὲ τὸν ἐχθρὸν αὐτοῦ Φευρουάριον, καὶ ἀφελόμενος αὐτοῦ τὰ ὑπάρχοντα καὶ χιμενὸν ἀποδύσας, καὶ περιειλήσας ψιάθιον θρύινον, καὶ σχοινία περιζώσας, ἐκέλευσε τοῖς ῥαβδούχοις τύπτειν αὐτὸν καὶ λέγειν, ἔξελθε Φευρουάριε· καὶ οὕτως ἀτίμως ἐκβληθεὶς τῆς πόλεως Ῥώμης ἀνῃρέθη· τὸν δὲ Σεξτήλιον μῆνα Φευρουάριον ἐκάλεσεν· ὡς ἀξίου ὄντος τοῦ δυστυχοῦς μηνὸς τὸ ὄνομα αὐτοῦ Φευρουάριον καλεῖσθαι.

Μετὰ δὲ τὸν προειρημένον Ἀρταξέρξην ἐβασίλευσε Χόος ὁ υἱὸς αὐτοῦ, ὃς πολεμήσας Αἴγυπτον παρέλαβεν αὐτὴν πᾶσαν καὶ ἀπώλεσεν, βασιλεύοντος τῶν Αἰγυπτίων τότε Νεκτανεβῶ τοῦ ποιήσαντος λεκανομαντίαν· καὶ γνόντος τὴν παράληψιν τῆς Αἰγύπτου· ἔφυγε δὲ μόνος εἰς Μακεδόνιαν[t] ἀλλάξας τὴν βασιλικὴν ἐσθῆτα[u]· καὶ δὴ καὶ φαντασίας τινὰς καὶ μαγείας Αἰγυπτιακὰς ἐνδεικνύμενος, καὶ προαγορεύειν τὰ μέλλοντα, γνώριμος ἐντεῦθεν Φιλίππῳ καὶ Ὀλυμπιάδι τῇ γυναικὶ αὐτοῦ γίνεται καὶ εἰσοικίζεται· καὶ οὕτω διὰ μαγκανείας Ὀλυμπιάδι μιγνύμενος, ἔτεκε τὸν Ἀλέξανδρον. τῆς δὲ Μακεδόνιας βασιλεύσαντος Φιλίππου ἔτη κ̄, καὶ ἐν τῷ Ἰλλυρικῷ πόλιν κτίσας ἐκάλεσεν αὐτὴν Θεσσαλονίκην, ἔπειτα καὶ τὴν Θετταλίαν ὑποτάξας, κατεκράτησε.

Μετὰ δὲ Φίλιππον ἐβασίλευσε τῆς Μακεδονίας Ἀλέξανδρος ὁ υἱὸς αὐτοῦ· ἐφ' οὗ καὶ Δαρεῖος ὁ Ἀρσάμου μετὰ Χόον βασιλεύσας κατεκυρίευσε πάντων. τῷ δὲ τετάρτῳ ἔτει τῆς βασιλείας αὐτοῦ ἐξανέστησεν ὁ Θεὸς τοῖς Ἀσσυρίοις καὶ Πέρσαις καὶ Μήδοις καὶ Πάρθοις Ἀλέξανδρον τὸν Μα-

[t] Μακεδωνίαν Cod. [u] αἰσθῆτα Cod.

κεδονίας βασιλέα· ὃς καὶ καθοπλισάμενος κατὰ Δαρείου βασιλέως Περσῶν, καὶ ἐλθὼν εἰς Βυζούπολιν τῆς Εὐρώπης, καὶ κτίσας ἐκεῖσε τόπον, ἐν ᾧ καὶ λαὸν αὐτοῦ στρατηγήσας ἐκάλεσεν αὐτὸν Στρατήγην· κακεῖθεν ἀπάρας ὀλίγον καὶ ἀντιπεράσας, καὶ τῷ λαῷ αὐτοῦ διανείμας χρυσὸν πολὺν καὶ τὸν τόπον Χρυσούπολιν ἐκάλεσεν· ὅρμησας ὡς πάρδαλις μετὰ δυνάμεως πολλῆς ἐπὶ τᾶς τῆς ἀνατολῆς χώρας καὶ πόλεις καὶ τὴν Τύρον παραλαβὼν, πρέσβεις ἀπέστειλε πρὸς Ἰουδαίους, αἰτούμενος κατὰ Περσῶν συμμαχίαν. οἱ δὲ μὴ καταδεξάμενοι Δαρεῖον δεδοικότες καὶ συνθήκας ἔχοντες μὴ πολεμεῖν αὐτὸν, θυμωθεὶς Ἀλέξανδρος ἐπὶ τῇ Ἰουδαίᾳ, ὥρμησε κατ' αὐτῆς· ὁ δὲ ἀρχιερεὺς Ἰαδδοὺς τὴν ἱερατικὴν στολὴν ἐνδυσάμενος κατὰ θείαν ἀποκάλυψιν, πρὸς ἔκπληξιν καὶ πίστωσιν Ἀλεξάνδρου ἐξῆλθεν εἰς ἀπάντησιν αὐτοῦ. Ἦν γὰρ ὁ ἀρχιερεὺς ἐπὶ τοῦ παλαιοῦ τοιαύτῃ στολῇ κοσμούμενος· ποδήρη μὲν ἠμφιέννυτο· τουτέστιν ἱμάτιον περιχρυσώμενον ἀπὸ κεφαλῆς μέχρι ποδῶν· καὶ ζώνην περιεζώννυτο ἐκ πορφύρας καὶ βύσσου καὶ ὑακινθίνῳ καὶ χρυσῷ πεποικιλμένην καὶ περικεκαλλωπισμένην· περὶ δὲ τὰ κράσπεδα ῥοΐσκους εἶχεν ἐρραμένους, καὶ ἀναμεταξὺ αὐτῶν χρυσοὺς κώδωνας ἐκ χρυσίου καθαροῦ· ἐπέθηκαν αὐτοὺς ἀναμέσον τῶν ῥοΐσκων ἐπὶ τὸ λῶμα τοῦ ὑποδυτοῦ κύκλῳ. ἐπενδύτο δὲ καὶ ἄλλον χιτῶνα ἐκ βύσσου καὶ ὑακίνθου, καὶ πορφύρας καὶ κοκκίνου καὶ χρυσου καὶ παντοίων χρωμάτων περιωραϊσμένην καὶ καθυφασμένον μέχρι τῶν μυρῶν[v] κατερχόμενον, καὶ ζώνην ὁμοίαν τῇ πρώτῃ κατασφιγγόμενον· ἥνπερ ἐπωμὶς καὶ ἐφοὺδ προσαγορεύεται· διὸ καὶ Ἀκύλας ἐπένδυμα αὐτῷ κέκληκεν· ἐν ᾧ καὶ ἐπεπόρτουν σαρδόνυχες καθ' ἑκατέρων τῶν ὤμων χρυσίῳ δοκίμῳ περιεχόμενοι· καὶ ἄλλοι ιβ´ λίθοι μεγέθει καὶ κάλλει διαφέροντες καὶ ἀνθρώποις δυσπόριστοι· οἵτινες ἐπὶ στοίχων τεσσάρων ἑκατέρωθε προσκείμενοι, καὶ ὡσαύτως χρυσῷ διακρατούμενοι, καὶ τριάδα λίθων τοὺς στίχους ἔχοντας, θαυμάσιόν

v Sic.

τι χρῆμα τοῖς ὁρῶσιν ἐξεφαίνοντο. ὁ μὲν γὰρ πρῶτος στίχος εἶχε σάρδινον, πάζιον καὶ σμαραγδον· ὁ δὲ δεύτερος ἄνθρακα, ἴασπιν καὶ σάπφειρον· ὁ δὲ τρίτος λίγηρον, ἀμέθυσον καὶ ἀχάτην· ὁ δὲ τέταρτος, χρυσόλιθον, ὀνύχιον καὶ βηρύλλιον· καὶ ἐν πᾶσι τούτοις τῶν πατριαρχῶν ἐγκεκόλαπτο τὰ ὀνόματα· ἑκάστου λίθου ἴδιον ἔχοντος ὄνομα φυλάρχου. συνῆν δὲ τῷ ἐφοὺδ περίτμημα σπιθαμῆς μὲν τὸ μῆκος καὶ τόσον τὸ εὖρος τετράγωνον περὶ τὸ στῆθος, τοῖς αὐτοῖς δὲ κάλλεσι διηνθισμένον· ὥσπερ δὴ καὶ αὐτὸ Ἑβραϊστὶ μὲν ἐφοὺδ ὠνομάζετο, Ἑλληνιστὶ δὲ λόγιον· καὶ δήλωσις προσηγορεύετο δι᾽ οὗ ὁ Θεὸς μέλλουσι πολεμεῖν νίκην πρόδηλον προέλεγε. τοσαύτη γὰρ ἐκ τῶν αὐτῶν λίθων ἀπέστιλβεν αὐγὴ, ὡς εἴποτε τῆς στρατίας κεκινημένης, καὶ μάλιστα τοῦ ἀδαμαντίου λίθου σημασίαν ποιοῦντος τῷ πλήθει τοῦ λαοῦ τυγχάνειν γνώριμον, τὸ παρεῖναι τὸν Θεὸν εἰς ἐπικουρίαν αὐτῶν. ἐν μέσῳ γὰρ εἶχεν ὥσπερ ἀστέρα ὁλόχρυσον καὶ ἑκατέρωθεν αὐτοῦ σμαράγδους ἔχοντας ἀνὰ ἓξ γεγραμμένας τὰς ιβʹ φυλὰς τοῦ Ἰσραήλ. ἐν δὲ τῷ μεταξὺ τῶν δύο σμαράγδων λίθον ἀδάμαντα. ἡνίκα οὖν ἔμελλεν ὁ ἱερεὺς ἐπερωτᾶν τὸν Θεὸν, ἐδράγμει[x] αὐτὸν ἐν τῇ ἐπωμίδι κατὰ μέσον τῶν στέρνων, καὶ ὑποτιθῶν τὰς χεῖρας ὑποκάτωθεν εὑρίσκετο ἐξηπλωμένον ταῖς παλάμαις αὐτοῦ καθάπερ πυξίον· ὅθεν φησὶν ὁ Σοὺλ πρὸς τὸν ἱερέα βουλόμενος θᾶττον εἰς τὸν πόλεμον παρατάξασθαι· "συνάγαγε τὰς "χεῖράς σου, καὶ ἆρον τὸ ἐφούδ." καὶ οὕτω λοιπὸν ἀφορῶν εἰς τὸ ἐφοὺδ, ἠρῶτα τὸν Θεὸν τὸ ἐρώτημα, προσέχων ἀκριβῶς τε καὶ μᾶλλον εἰς τὸν ἀδάμαντα λίθον, ὡς ἐναλλάττων τὴν χροιὰν ἐκ θείας μεταβολῆς καὶ ἀλλοιώσεως ἐδήλου προφανῶς τὰ τῷ λαῷ ἐσόμενα· μέλας μὲν γὰρ γενόμενος, θάνατον, ἐρυθρὸς δὲ σφαγάς· λευκὸς δὲ διαλλαγὴν τῷ Θεῷ προεσήμηνε. καὶ πρὸς τούτοις ἦσαν καὶ γράμματα ἐκ καλχοῦ καθαρωτάτου πεποιημένα καὶ ἐκτυπώμενα ἑκάστου στοιχείου τοῦ παρ᾽ Ἑβραίοις ἀλφαβήτου· ἅπερ δὴ προσά-

[x] Sic vid. scr.

γων ὁ ἱερεὺς τῷ Κυρίῳ ἐπιτιθῶν ἐν τῷ ἐφοὺδ, καὶ οὕτω διερωτῶν εὐθὺς ἀνορθοῦντο θείᾳ κινήσει τὰ στοιχεῖα δηλοῦντα σαφῶς τὴν ἐπίνευσιν τοῦ Θεοῦ ἢ τὴν ἀνάνευσιν. οἷον, εἰ μὲν ἦν τὸ ἐρώτημα καὶ τὸ πρᾶγμα κατὰ γνώμην Θεοῦ, ἀνορθοῦντο μονὰ τὰ σημαίνοντα τὸ οὔ. ὡσαύτως γε καὶ ἐπὶ τῶν ἄλλων ἀποκρίσεων τοῦ Κυρίου τῶν δι' αὐτῶν τῶν δήλων γινομένων προδήλως καὶ διαφόρως συνέβαινεν, εἴγε πάντως εὐδόκιμοι αὐτῷ ὑπῆρχον· εἰ δὲ ὠργισμένος ἦν αὐτοῖς, οὐδὲν αὐτοῖς διὰ τῶν δήλων τούτων ἀπεκρίνετο· οὔτε μὴν διὰ θείων ἀποκαλύψεων ἢ προφητειῶν· ὅθε φησιν· "εἶδε Σοὺλ τὴν παρεκβολὴν τῶν ἀλλοφύλων καὶ "ἐφοβήθη· καὶ ἐξέστη ἡ καρδία αὐτοῦ σφόδρα· καὶ ἐπηρώτησε "διὰ Κυρίου, καὶ οὐκ ἀπεκρίθη αὐτῷ Κύριος. καὶ τότε εἶπε "Σοὺλ τοῖς παισὶν αὐτοῦ· ζητήσατε μοὶ γυναῖκα ἐγγαστρί- "μυθον" ἐπὶ δὲ τὴν κεφαλὴν ἐφόρει τελαμῶνα χρυσόνιμον (sic) ὁ ἀρχιερεὺς, ἤτοι μήτραν καὶ κίδαριν λεγομένην, ἐν ᾗ πέταλον χρυσοῦν ἐπέκειτο πρὸς τὸ μέτωπον αὐτοῦ· ἐν ᾧ γράμμασιν ἱεροῖς τοῦ Θεοῦ τὸ ὄνομα ἐντετύπωτο· καθὼς αὐτὸς ἐδήλου τὴν θείαν ὀνομασίαν ταύτην πρὸς Μωυσέα λέγων. "ἐγώ εἰμι ὁ ὤν" τοῦτο δὲ παρ' Ἑβραίοις ἄφραστον ὀνομάζεται· ἀπείρηται γὰρ αὐτοῖς τοῦτο διὰ γλωσσῆς προσφέρειν· γράφεται δὲ διὰ τῶν δ στοιχείων· ὅθεν καὶ τετράγραμμον αὐτὸ λέγουσι· καλοῦσιν δὲ αὐτὸ Σαμαρεῖται μὲν ἰαβέ· Ἰουδαῖοι δὲ ἀεία. τῆς οὖν ἱερατικῆς ἐσθῆτος ἡ τετράριθμος χροία, σύμβολον τῶντε τεσσάρων ἐτύγχανε στοιχείων, ἐξ ὧν τὰ πάντα συνέστηκεν· ἅπερ ὁ ἀρχιερεὺς μυστικῶς τε καὶ συμβολικῶς περιβαλλόμενος, καὶ εἰς τὰ ἅγια εἰσερχόμενος δι' αὐτῶν ὑπὲρ τοῦ κόσμου τὸν τοῦ παντὸς δημιουργόν τε καὶ Κύριον ἐξιλεοῦτο. ἡ μὲν γὰρ βύσσος ἀντὶ τῆς γῆς· ἡ δὲ ὑάκινθος, ἀντὶ τοῦ ἄερος· ἡ δὲ πορφύρα ἀντὶ τοῦ ὕδατος· τὸ δὲ κόκκινον ἀντὶ τοῦ πυρός. καὶ ἦσαν ἄλλα μὲν τὰ φαινόμενα, ἄλλα δὲ τὰ νοούμενα· καὶ μέντοι καὶ ἡ σκηνὴ τοῦ μαρτυρίου ἔνδοθεν καὶ ἔξωθεν χρυσίῳ περικεκαλυμμένη ὑπῆρχεν· ἣ καὶ τὸν ὄροφον ἔχουσα ἐξυφασμάτων ποικίλων καὶ

διαφόρων χρωμάτων κατεσκευασμένον· τὸ μὲν γὰρ ἦν ἀλουργὸν, τὸ δὲ ῥοδοειδὲς, ἢ κοκκοβαρές· τὸ δὲ ὑακινθίνῳ προσεοικός· ἥτε βύσσος τὴν λευκὴν εἶχε χροίαν· ἅπερ δὴ τῶν δ ἦν στοιχείων ὡς ἔφην αἰνίγματα. ὁ μὲν γὰρ ὑάκινθος τῷ ἀέρι προσέοικε· τὸ δὲ ῥοδοειδὲς ἢ κοκκοβαρὲς τῷ πυρί· τὸ δὲ ἀλουργὸν ἐδήλου τὴν θάλασσαν. ἐκείνη γὰρ τρέφει τὴν κόχλον· ἐξ ἧς τὸ τοιοῦτον γίνεται χρῶμα· ἡ δὲ βύσσος τὴν γῆν· ἐκ ταύτης γὰρ φύεσθαι λέγουσι. καὶ δέρρεις γε εἶχε τριχίνας ἐπικειμένας καὶ διφθέρας ποικίλας, ὥστε καὶ τὸν ὑετὸν ἀπήργειν τὸν φλογμόν. ὁ μέντοι Θεὸς καὶ τοῖς ἱερεῦσι παντοδαπὸν περιέθηκε κόσμον· τὸν μὲν λαὸν καταπλήττοντα τῷ διαφόρῳ τοῦ σχήματος, αὐτοὺς δὲ τοὺς ἱερέας διδάσκοντα ὅπως χρὴ τὴν ψυχὴν ὡραΐζειν, καὶ τὸν τῆς ἀρετῆς αὐτῇ κόσμον περιτιθέναι· οὕτω τοίνυν καὶ μετὰ τοιαύτης στολῆς τε καὶ δόξης μετὰ τῶν λοιπῶν ἱερέων καὶ τοῦ πολιτικοῦ πλήθους ἱεροπρεπῆ διαφέρουσαν τῶν ἄλλων ἐθνῶν ποιησάμενος ὁ ἀρχιερεὺς τὴν ὑπάντησιν τῷ Ἀλεξάνδρῳ, εἰς τόπον ἐπίσημον ἔστη· ἔνθα μάλιστα ἡ περικαλλὴς τοῦ λαοῦ πρόσοψις ἐξεφαίνετο· καὶ τὸ μὲν πλῆθος πόρρωθεν ἰδὼν ὁ Ἀλέξανδρος ἐν λευκαῖς στολαῖς· καὶ τοὺς ἱερεῖς προεστῶτας ἐν βυσσίναις μετὰ πολλῆς εὐταξίας καὶ σεμνότητος· τὸν δὲ ἀρχιερέα ἐν ὑακίνθῳ, καὶ διαχρύσῳ· καὶ ἐπὶ τῆς κεφαλῆς τὴν κίδαριν ἔχοντα, καὶ τὸ χρυσοῦν ἐπ' αὐτῆς ἔλασμα· ᾧ τὸ ὄνομα τοῦ Θεοῦ ἐπεγέγραπτο, καθὼς εἴρηται, καὶ ἐπὶ τῇ ξένῃ θέᾳ καταπλαγεὶς ὁ Ἀλέξανδρος, ἀπὸ τοῦ ἅρματος εὐθὺς καταποδήσας, (sic) καὶ προσελθὼν μόνος προσεκύνησε τὸ θεῖον ὄνομα, καὶ τὸν ἀρχιερέα ἠσπάσατο· ὃν πάντες οἱ Ἰουδαῖοι μιᾷ φωνῇ σὺν τῷ ἀρχιερεῖ γνησίως ἠσπάσαντο.

Τῶν δέ γε τῆς Συρίας βασιλέων καὶ τῶν λοιπῶν καταπλαγέντων καὶ διεφθάρθαι τὴν διάνοιαν τοῦ βασιλέως Ἀλεξάνδρου ὑπειληφότων, καὶ Παρμενίονος τοῦ στρατηγοῦ μᾶλλον θαυμάσαντος καὶ ἀγανακτήσαντος, διότι καθάπερ εἷς τῶν ὑπηκόων προσεκύνησεν, εἶπεν Ἀλέξανδρος. οὐ τὸν ἀρχιερέα προσεκύνησα· ἀλλὰ τὸν ὑπ' αὐτοῦ τιμώμενον Θεὸν, κἀμοὶ τὴν βοήθειαν κατὰ τῶν ὑπεναν-

τίων ὑποσχομένον. ἡνίκα γὰρ τὴν κατὰ Περσῶν διενοούμην στρατείαν, καὶ οὐκ ἐτόλμων διὰ τὸ μέγεθος τῆς δυναστείας αὐτῶν, ὤφθη μοι κατ' ὄναρ κατὰ τὸ σχῆμα τοῦδε τοῦ ἀρχιερέως ὁ Θεὸς, καὶ θαρρεῖν μοι παρεκελεύσατο· καὶ τῆς προθυμίας ἔχεσθαι λέγων σπουδαίως, εἰς σὲ καταλήξω τὴν Περσῶν δυναστείαν. διὸ τοῦτον θεασάμενος ἐν τοιαύτῃ στολῇ, καὶ τοὺς κατὰ τοὺς ὕπνους ὑπομνησθεὶς ὄψεως, εἰκότως προσεκύνησα. καὶ ταῦτα εἰπὼν πρὸς τὸν οἰκειακὸν Περμενίωνα, καὶ τὸν ἀρχιερέα δεξιωσάμενος, τῶν ἱερέων παρεπομένων, εἰς τὴν πόλιν Ἱερουσαλὴμ παρεγένετο μετὰ πολλῆς τῆς ὑπὸ τῶν Ἰουδαίων δεχθεὶς εὐφροσύνης. οἱ δὲ γραμματεῖς βιβλίον τοῦ Δανιὴλ προσκομίσαντες, τὴν προφητείαν αὐτῷ διηρμήνευον, ἣν ὁ προφήτης περὶ αὐτοῦ προηγόρευσεν· ὡς δεῖν τινὰ τῶν Μακεδόνων τὴν Περσῶν χειρώσασθαι βασιλείαν. Ὃς ἐπὶ τοῦτο μᾶλλον ἡσθεὶς καὶ περιχαρὴς γενόμενος, καὶ ἐπὶ τὸ ἱερὸν ἀνελθὼν, θύειν μὲν τῷ θεῷ κατὰ τὴν τοῦ ἀρχιερέως ἀφήγησιν ἐκέλευσεν, αὐτόν τε τὸν ἀρχιερέα καὶ πάντας τοὺς ἱερεῖς ἀξιοπρεπῶς τιμήσας· καὶ λαμπροῖς καὶ μεγίστοις ἀναθήμασι τὸν ναὸν διακοσμήσας, κατὰ Περσῶν ἐκίνησεν. Ἰουδαίους δέ τινας πρὸς συμμαχίαν ἔλαβεν· ἐν οἷς ὑπερέχων ἦν τις ὀνόματι Μοσόμαχος· ἄριστος κατὰ ψυχὴν, καὶ τοξότης εὐστοχώτατος. ὃς βαδιζόντων αὐτῶν κατὰ τὴν Βαβυλῶνα ὁδόν· καὶ μάντεως τινὸς ὀρνιθευομένου, καὶ πάντας ἐπέχοντος, ἠρώτησε τὴν αἰτίαν τῆς παραμονῆς τοῦ λαοῦ· καὶ ἀποκριθεὶς ὁ μάντις δεικνύων τὸ ὄρνεον λέγων· ἐὰν μὲν ἀσάλευτος μένῃ, προσμένειν συμφέρειν πᾶσιν· ἐὰν δὲ ἀναστὰς εἰς τὰ ἔμπροσθεν πέτηται, προσάγειν· εἰ δὲ ὄπισθεν, ἀναχωρεῖν αὖθις. ταῦτα Μοσόμαχος ἀκούσας παρὰ τοῦ μάντεως, καὶ λάθρα τὸ τόξον ἑλκύσας βάλλει τὴν ὄρνιν· ἐφ' οἷς ὁ μάντις χαλεπήνας, καὶ οἱ τῇ πλάνῃ ταύτῃ δεδουλώμενοι, λαβὼν εἰς χεῖρας τὴν ὄρνιν Μοσόμαχος, τοιάδε ἔφη· τί μοι μέμφοισθε κακοδαίμονες; πῶς γὰρ οὕτως μὴ τὴν ἑαυτοῦ σωτηρίαν προγινώσκων τὸ ὑμέτερον συμφέρον προανήγγειλεν· εἰ γὰρ ἐδύνατο προειδέναι τὸ μέλλον οὐκ ἂν εἰς τόπον τοῦτον

ἦλθε· φοβούμενος μὴ τοξεύσας αὐτὸν ἀποκτείνει Μοσόμαχος· καὶ ταῦτα εἰπόντος αὐτοῦ κατησχύνθησαν σφόδρα· ὁ δὲ Ἀλέξανδρος ἀντιπαραταξάμενος Δαρείῳ ἐν Ἴσῳ τῇ πόλει τῆς Κιλικίας, καὶ τοῦτον χειρωσάμενος, καὶ πολλοὺς σὺν αὐτῷ κατασφάξας, παρέλαβε πᾶσαν τὴν βασιλείαν αὐτοῦ· δίχα τῆς βασιλείας Κανδάκης τῆς χήρας βασιλευούσης τῶν ἐνδοτέραν. Ἴνδων· ἥτις καὶ συνέλαβεν αὐτὸν οὕτω.

Ἔθος εἶχεν Ἀλέξανδρος μετὰ τῶν πεμπομένων ὑπ' αὐτοῦ πρέσβεων πρὸς τοὺς ἐναντίους βασιλέας συνεισέρχεσθαι σχήματι στρατιώτου, καὶ ὁρᾷν ὁποῖός ἐστιν ὁ βασιλεὺς ἐκεῖνος· ἡ οὖν Κανδάκη τοῦτο μαθοῦσα περιειργάσατο ὁποίας ἐστὶ θέας, καὶ τί ἔχει σύσημον[y], καὶ μαθοῦσα ὅτι χθαμαλός ἐστιν, ὀδόντας ἔχων μεγάλους καὶ φαινομένους, καὶ τὸν ἕνα μὲν ὀφθαλμὸν γλαυκὸν, τὸν δὲ ἕτερον μέλανα παρεσημειώσατο καθ' ἑαυτὴν ταῦτα· καὶ δὲ εἰσελθόντος πρὸς αὐτὴν ἅμα τοῖς πεμφθεῖσι παρ' αὐτοῦ πρεσβευταῖς· καὶ γνωρίσασα αὐτὸν ἐκ τῶν συσήμων, σύνεσχεν αὐτὸν λέγουσα· Ἀλέξανδρε βασιλεῦ τὸν κόσμον ἔλαβες, καὶ γυνή σε παρέλαβεν· ὁ δὲ εἶπεν αὐτῇ· διὰ τὸ πανοῦργον τῆς φρονήσεώς σου ἀβλαβῆ σε καὶ τοὺς υἱούς σου καὶ τὴν βασιλείαν σου διαφυλάξω, καὶ λήψομαί σε καὶ γυναῖκα· ἣν καὶ λαβὼν καὶ εἰς Αἴγυπτον ἐλθὼν, καὶ τὴν μεγάλην Ἀλεξάνδρειαν εἰς τὸ ἴδιον κτίσας ὄνομα, πάλιν ὑπέστρεψεν εἰς Βαβυλῶνα· ἐν ᾗ καὶ τελευτᾷ ὑπάρχων ἐτῶν λβ', βασιλεύσας ἔτη ιβ'. πολλὰ μὲν οὖν καὶ ἄλλα μυρία τρόπαια δυσδιήγητα καὶ λόγον ὑπερβαίνοντα εἰργάσατο· καὶ διὰ τοῦτο πτηνὴν πάρδαλιν„ὁ προφήτης αὐτὸν προβλέπει, τὸ τάχυ δηλονότι καὶ σφοδρῶ (sic) καὶ πυρῶδες· καὶ τὸ ἄφνω διαπτῆναι τὴν οἰκουμένην μετὰ τροπαίων καὶ νίκης προϋπέφηνε· λέγεται δὲ ὅτι φιλοσόφου τινὸς εἰρηκότος, ἤκουσεν ὅτι κόσμοι ἄπειροι εἰσίν· ὃς καὶ ἀκούσας καὶ μέγα στενάξας ἔφη· εἰ ἀπείρων ὄντων, μηδένος ἐγὼ

y Sic Cod.

κεκράτηκα· οὕτως ἦν μεγαλόφρων μεγαλόψυχος καὶ γενναῖος· ὅθεν καὶ πανταχοῦ ἥδετο καὶ ἐθαυμάζετο· μάλιστα διὰ σωφροσύνην αὐτοῦ καὶ σύνεσιν καὶ πολλὴν ἀγχίνοιάν τε[z] *καὶ σοφίαν. Ἀριστοτέλει γὰρ μαθητευθεὶς, πᾶσαν λογικὴν ἐπιστήμην εἰς* * * *ρος ἐπαιδεύθη, πολεμικώτερος δὲ καὶ τολμηρότατος ὑπάρχων· ἰδὼν ὁμώνυμον αὐτῷ νεανίσκον τινὰ δειλῶς μαχόμενον εἶπε πρὸς αὐτόν· νεανίσκε ἢ τὸν τρόπον ἄλλαξον ἢ τὸ ὄνομα. ἐπεὶ οὖν καὶ σωφροσύνῃ πολλῇ διεκόσμητο, ἐκδηλότεραν ταύτην ἐποίησε μετὰ τὴν νίκην. καὶ γὰρ αἰχμαλώτους λαβὼν τὰς θυγατέρας Δαρείου, μαρτυρουμένας ἔχειν κάλλος ἀξιοθαύμαστον, οὐδὲ προσιδεῖν ἠξίωσεν· αἰσχρὸν γὰρ καὶ λίαν ἀποφήνας ἄνδρας ἀνδρείως χειρωσάμενον, ὑπὸ γυναικῶν ἀθλίως ἡττηθῆναι· ὅς γε καὶ μέχρι τῶν ἐνδοτάτων Ἰνδῶν, καὶ τὴν κυκλοῦντος πᾶσαν τὴν γῆν ὠκεανοῦ μεγάλου ποταμοῦ καὶ τῆς μεγίστης νήσου τῶν Βραχμάνων φθάσας· ὧν καὶ τὸν θαυμάσιον καὶ ὑπὲρ ἄνθρωπον βίον καὶ τὴν εἰς τὸν πάντων Θεὸν εὐσέβειάν τε καὶ λατρείαν μεμαθηκὼς, ἐξεπλάγη πάνυ καὶ ἠγάσθη τῆς τῶν ἀνθρῶν ἐκείνων ἀκροτάτης φιλοσοφίας· ἐν ᾧ τόπῳ καὶ στήλην ἔστησεν ἐπιγράψας· ἐγὼ μέγας Ἀλέξανδρος βασιλεὺς ἔφθασα μέχρι τούτου· ἐν ἐκείνῃ γὰρ τῇ νήσῳ κατοικοῦσιν οἱ λεγόμενοι Μακρόβιοι· ζῶσι γὰρ οἱ πλείους αὐτῶν περὶ τὰ ἑκατὸν Ν̄ ἔτη διὰ τὴν πολλὴν αὐτῶν καθαρότητα καὶ ἐγκράτειαν καὶ εὐκρασίαν τοῦ ἀέρος καὶ ἀνεξηρεύνητον τοῦ Θεοῦ κρῖμα· ἐν ᾗ πάλιν οὐδέποτε ὀπώρα λείπει τὸν ὅλον χρόνον. ἐπειδὴ γὰρ ἐν ταὐτῷ, ἡ μὲν ἀνθῇ, ἡ δὲ ὀμφακίζει, ἡ δὲ τρυγᾶται· καίγε καὶ τὰ μέγιστα Ἰνδικὰ κάρυα γίγνονται, καὶ τὰ δυσπόριστα ἡμῖν καὶ πανταπόριστα ἀρώματα, καὶ ὁ μαγνίτης λίθος.*

Οἱ τοίνυν Βραχμάνες ἔθνος ἐστὶν εὐσεβέστατον· καὶ βίον ἀκτήμονα σφόδρα κεκτημένοι[a]*, καὶ τὸν κλῆρον τοῦτον ἐκ τῶν τοῦ Θεοῦ κριμάτων χρησάμενοι*[b]*, καὶ τὴν τοῦ ποταμοῦ*

[z] Cod. *ἀγχοίνιάν τε.* [a] *κεκτιμένον* Barocc. 30. [b] *κληροσάμενον* Bar. 30.

παροικίαν[c] ἐν γυμνότητι φυσικῶς διαζῶσιν[d] ἐν οἷς[e] οὐδὲ τετράποδον ἐστίν· οὐ γεώργια, οὐ σίδηρος, οὐκ οἰκοδομὴ, οὐ πῦργος[f], οὐ χρυσὸς, οὐκ ἄργυρος, οὐκ ἄρτος, οὐχ οἶνος, οὐχ ἱμάτιον, οὐ κρεοφαγία, οὐκ ἄλλό τι τῶν εἰς ἐργασίαν συντελούντων, ἢ πρὸς ἀπόλαυσιν συντεινόντων, ἀλλὰ τὸν ὑγρὸν καὶ γλυκὺν καὶ εὔκρατον ἄγαν καὶ κάλλιστον ἀέρα, καὶ πάσης ἀρρωστίας τε καὶ φθορᾶς ἀπηλλαγμένον· μικράστε ὀπώρας[g] καὶ διηδέστατα ὕδατα ἀπολαμβάνοντες, σέβονται γνησίως τὸν Θεὸν, καὶ ἀδιαλήπτως προσεύχονται. καὶ οἱ μὲν ἄνδρες εἰς τὰ μέρη τοῦ ὠκεανοῦ ποταμοῦ παροικοῦσιν· αἱ δὲ γυναῖκες αὐτῶν, ἔνθεν εἰσὶ τοῦ ποταμοῦ Γάγγου[h] τοῦ παραρέοντος εἰς τὸν ὠκεανὸν ἐπὶ τὸ μέρος τῆς Ἰνδίας.

Οἱ οὖν ἄνδρες περῶσι πρὸς τὰς γυναῖκας, Ἰούλιον καὶ Αὐγούστου μῆνα, παρ' οἷς ὑπάρχουσι ψυχρότεροι· τοῦ ἡλίου πρὸς δυσμὰς καὶ πρὸς βορρᾶν ὑψωθέντος· οἵγε καὶ εὐκρατώτεροι γενόμενοι πρὸς οἶστρον αὐτοὺς κινεῖν λέγουσιν· ὅπερ δὴ καὶ τοῦ Νείλου φασὶν, οὐ κατὰ τὸν αὐτὸν τοῖς ἄλλοις πλημμυρεῖν καιρόν· ἀλλὰ μεσοῦντος τοῦ θέρους ἐπικλύζειν τὴν Αἴγυπτον· ὡς τοῦγε παντὸς ἡλίου τὴν βορρειοτέραν διαθέοντος ζώνην· καὶ τοῖς ἄλλοις μὲν παρενοχλοῦντος ποταμοῖς καὶ σμικρύνοντος· τούτου δὲ πλεῖστον ἐπέχοντος. ποιοῦντες οὖν μετὰ τῶν γυναικῶν αὐτῶν, ἡμέρας μ, πάλιν ἀντιπερῶσι· τῆς δὲ γυναικὸς δύο παῖδας[i] τεκούσης οὐκέτι ὁ ἀνὴρ ἀντιπερᾶ πρὸς αὐτὴν, οὔτε μὴν ἐκείνη πλησιάζει πρὸς ἕτερον ἄνδρα παντελῶς διὰ πολλὴν εὐλάβειαν· εἰ δὲ συμβῇ στεῖραν ἐν αὐταῖς εὑρεθῆναι μέχρι πενταετίας διαπερᾶ ὁ ἀνὴρ αὐτῇ, καὶ συγγινόμενος αὐτῇ, ἐὰν μὴ τέκῃ, οὐκέτι προσεγγίζει αὐτῇ· καὶ διὰ τοῦτο οὐδὲ πολυάνθρωπός ἐστιν ἡ χώρα, διά τε τὴν ὀλιγοδεΐαν, καὶ τὴν φυσικὴν ἐγκράτειαν· καὶ αὕτη μὲν ἡ τῶν Βραχμάνων πολιτεία· τὸν δὲ ποταμὸν φασὶ δυσπεραιότατον εἶναι· καὶ διὰ τὸν λεγόμενον ὀδοντοτύραννον·

[c] παροικοῦσαν Bar. 30. [d] διαζῶν Bar. 30. et add. ἀεὶ τὸν Θεὸν δοξάζει. [e] παρ' οἷς Bar. 30. [f] οὐ πῦρ Bar. 30. [g] μικρᾶς ὀπώρας Bar. 30. [h] γάλλου Bar. 30. [i] παιδία Bar. 30.

ζῶον γάρ ἐστι τοῦτο ἀμφίβιον μέγιστον λίαν ἐν τῷ ποταμῷ διαιτώμενον· καὶ δυνάμενον ἐλέφαντα καταπιεῖν ὁλόκληρον διὰ τὴν ὑπερβολὴν τοῦ μεγέθους· ὅστις ἐν ταῖς μ ἡμέραις τῆς περαιώσεως τῶν ἀνδρῶν ἐκεῖνο ἀφανῆ γίνεται κατὰ θείαν πρόσταξιν· οὐ μὴν καὶ δράκοντες εἰσὶν ἐν τοῖς ἐρημοτέροις τόποις, μέγιστοι σφόδρα ὡς πηχῶν ō τὸ μῆχος· καὶ τὸ πάχος πολύ τε καὶ φρικωδέστατον[k]. καὶ τὴν σοφίαν τοῦ δημιουργοῦ καὶ δόξαν φαινομένην προφανῶς ἐκδιηγοῦνται· καὶ σκορπιοὶ εὑρίσκονται πηχιαῖοι· καὶ μύρμηκες παλαιστιαῖοι· διὸ καὶ δυσδιόδευτοί εἰσιν οἱ ἐρημικοὶ τόποι ἐκεῖνοι καὶ ἀοίκητοι διὰ τὰ φοβερώτατα θηρία καὶ ἰοβόλα· ἐλέφαντες δὲ γίνονται κατὰ τὰς χωρὰς ἐκείνας πλεῖστοι, ὡς καὶ ἀγεληδὸν παραπορευόμενοι βόσκονται. ἀμέλει γέ τοι καὶ ὁ μέγας Καισάρειος ὁ καὶ ὁμαίμων Γρηγορίου τοῦ μεγίστου καὶ Θεολόγου, διαφόρων ἐθνῶν καὶ ἠθῶν καὶ τρόπων καὶ νόμων ἐξήτησιν ποιούμενος σύντομον, τοιάδε φησίν[l] "ἐν γὰρ ἑκάστῃ "χώρᾳ καὶ ἔθνη[m] ἐν τοῖς μὲν ἔγγραφος νόμος ἐστὶν[n] ἐν "τοῖς δὲ ἡ συνήθεια[o]· νόμος γὰρ ἀνόμοις τὰ πάτρια δοκεῖ."

Ὧν πρῶτοι Σῆρες, οἱ τὸ ἄκρον τῆς γῆς οἰκοῦντες, νόμον ἔχουσι τὸ πατρῷον ἔθος μὴ πορνεύειν ἢ μοιχεύειν, ἢ κλέπτειν[p], ἢ λοιδορεῖν, ἢ φονεύειν, ἢ κακουργεῖν τὸ σύνολον· νόμος δὲ παρὰ Βακτριανοῖς ἤτοι Βραχμάνες καὶ Γνησιῶτες, ἡ ἐκ προγόνων παιδεία τε καὶ εὐσέβεια, μὴ κρεοφαγεῖν, ἢ οἰνοποτεῖν, ἢ λαγνεύειν, ἢ παντοίαν κακίαν διαπράττεσθαι διὰ πολὺν φόβον Θεοῦ καὶ πίστιν· καίτοιγε τῶν παρακειμένων αὐτοῖς μιαιφονούντων καὶ αἰσχροπραγούντων, ἐμμανῶς τε καὶ ὑπερφυῶς· ἐν δὲ τοῖς ἐσωτέροις μέρεσι τούτων ἀνθρωποβοροῦντες μάλιστα καὶ κατεσθίοντες ἀλλήλους ὡς οἱ κῦνες.

Ἄλλος δὲ νόμος οὗτος Χαλδαίοις τε καὶ Βαβυλωνίοις, μητρογαμεῖν καὶ ἀδελφοτεκνοφθορεῖν καὶ μιαιφονεῖν· καὶ

[k] Cod. φρυκωδέστατον. [l] φάσκει Bar. 30. [m] Leg. ἔθνεσιν Bar. 30. [n] Bar. 194. om. νόμος et mox ἐν τοῖς δὲ. [o] Ult. om. Bar. 30. [p] Cod. κλαίπτειν.

πᾶσαν θεομισῆ πρᾶξιν ὡς ἀρετὴν ἀποτελεῖν καὶ πόῤῥω τῆς χώρας αὐτῶν γένωνται.

Ἕτερος δ' αὖ Περαγιλαίοις νόμος· γυναῖκα οἰκοδομεῖν, καὶ γεωργεῖν, καὶ τὰ ἀνδρῶν ἔργα πράττειν· ἀλλὰ καὶ πορνεύειν ὡς ἂν βούλονται μὴ κωλυόμεναι παντελῶς ὑπὸ τῶν ἀνδρων αὐτῶν ἢ ζηλουμέναι· αἳ ὑπάρχουσαι καὶ πολεμικώταται καὶ θηρῶσαι τὰ μὴ λίαν ἰσχυρώτατα τῶν θηρίων· ἄρχουσι δὲ καὶ τῶν ἰδίων ἀνδρῶν καὶ κυριεύουσιν.

Ἐν δὲ Βρεττανίᾳ πλεῖστοι ἄνδρες μιᾷ συγκαθεύδουσι γυναικί· καὶ πολλαὶ γυναῖκες ἑνὶ ἑταιρίζονται ἀνδρί· καὶ τὸ παράνομον ὡς νόμον καλὸν καὶ πατρῷον πράττουσιν ἀζήλωτον καὶ ἀκώλυτον.

Ἀμαζόνες δὲ ἄνδρας οὐκ ἔχουσιν, ἀλλ' ὡς τὰ ἄλογα ζῶα ἅπαξ τοῦ ἐνιαυτοῦ περὶ τὴν ἐαρινὴν ἰσημερίαν ὑπεβόριοι[q] γίνονται, καὶ μιγνύμεναι τοῖς γειτνιῶσιν ἄνδρασιν, ὡς πανήγυρίν τινα καὶ μεγάλην ἑορτὴν τὸν καιρὸν ἐκεῖνον ἡγοῦνται· ἐξ ὧν καὶ κατὰ γαστρὸς συλλαβοῦσαι παλινδρομοῦσιν οἴκαδε πᾶσας· τῷ δὲ καίρῳ τῆς ἀποκυήσεως τὸ μὲν ἄῤῥεν φονεύουσι· τὸ δὲ θῆλυ ζωογονοῦσι, καὶ ἐπιμελῶς ἐκτρέφουσιν.

Μετὰ δὲ τὴν Ἀλεξάνδρου τελευτὴν, ἔτη γὰρ δυοκαίδεκα βασιλεύσας εἰς πολλὰς ἀρχὰς ἡ βασιλεία αὐτοῦ διηρέθη· καὶ Ἀρινδαῖος μὲν ὁ ἀδελφὸς, ὁ καὶ Φίλιππος, Μακεδονίας[r] ἀφηγεῖτο. Ἀντίπατρος δὲ Εὐρώπης ἐβασίλευσεν. Αἰγύπτου δὲ Πτολεμαῖος ὁ Λαγοῦ. Φοινίκης δὲ καὶ Κοίλης Συρίας Σέλευκος. Κιλικίας δὲ Φιλώτας. Ἀσίας δὲ Ἀντίγονος. Καρίας δὲ Κάσανδρος. Ἑλλησπόντου[s] δὲ Λεωνᾶς. Παφλαγονίας[t] δὲ Εὐμένης. Θράκης δὲ Λυσίμαχος. καὶ οὗτοι μὲν οὐ διέλιπον ἀεὶ κατ' ἀλλήλων ἐπανιστάμενοι, ἕως ἡ Ῥωμαίων ἀρχὴ τὰς τοπαρχίας πάσας κατέλυσε. τούτων δὲ οὕτως καὶ ἐπὶ τοσοῦτον εἰρημένων δεῖν ᾠήθημεν ἐπανάληψιν ποιήσασθαι· καὶ ἀπὸ Ἀδὰμ πάλιν ἀρξάμενοι, καὶ ἑκάστου

[q] Sic Cod. [r] μακεδωνίας. [s] Cod. ἐλισπόντου. [t] Cod. παμφλαγωνίας.

τῶν ἐπισήμων ἀναγκαίων ἀνδρῶν τοὺς τῆς ζωῆς χρόνους διὰ βραχέων ἐπισημηνάμενοι· καὶ μέντοι καὶ τοὺς καθεξῆς ἄρχοντάς τε καὶ βασιλεῖς τοῦ Ἰσραὴλ ἐπιτομῇ ἀπομνημονεύσαντες, οὕτως αὖθις τὴν ἀκολουθίαν τῆς χρονικῆς πραγματείας ἐπισύναψαι. τὴν δέ γε ἀπαρίθμησιν τῶν χρόνων κατὰ τὸν μέγαν Μωϋσῆν ποιησώμεθα, τὸν καὶ προγενέστερον καὶ ἀληθέστερον καὶ σοφώτερον παρ᾽ Ἕλλησιν ἀρχαίων πάντων σοφῶν τε καὶ συγγραφέων εἰκότως ἀναφανέντα.

Πρῶτος γὰρ σοφὸς Μωϋσῆς ἀναδέδεικται, ὡς ἱστορεῖ Εὐπόλεμος· καὶ πρῶτος γράμματα τοῖς Ἑβραίοις παρέδωκεν, ἅπερ ὁ θεῖος Ἀβραὰμ ἀπὸ τῶν Χαλδαίων ἐκόμισεν. Ἰώσηπος[u] γάρ φησιν, ὅτι πρῶτος Ἀβραὰμ δημιουργὸν τὸν Θεὸν ἀνεκήρυξε· καὶ πρῶτος κατελθὼν εἰς Αἴγυπτον ἀριθμητικὴν καὶ ἀστρονομίαν Αἰγυπτίους ἐδίδαξε· πρῶτοι γὰρ εὑρεταὶ τούτων οἱ Χαλδαῖοι γεγένηνται· παρὰ δὲ τῶν Ἑβραίων ἔλαβον Φοίνικες· ἀφ᾽ ὧν ὁ μὲν Κάδμος ταῦτα μετήγαγεν εἰς τοὺς Ἕλληνας· ὁ δὲ Ἡσίοδος μάλα συντάξας εὐφυῶς Ἕλλησιν.

Ὁ δὲ Ἰώσηπος ἐν τῷ Ἰουδαϊσμῷ μείνας τυφλώττων, Κλήμης τε καὶ Ἀφρικανὸς καὶ Τατιανός[x]· τῶν δὲ ἐκ περιτομῆς Ἰώσηπος καὶ Ἰοῦστος, κατὰ Ἰναχὸν ἀκμάσαι τὸν θεσπέσιον Μωϋσῆν ἱστόρησαν, ἰδίως ἕκαστος ἐκ παλαιᾶς ἱστορίας παρασχὼν τὴν ἀπόδειξιν. Κλήμης δὲ ὁ Στρωματεὺς Ὠριγενιαστὴς ὤν, ὥς τινι, τῶν πατέρων ἀπεκαλύφθη μὴ ἐν κολάσει Ἰουδαῖος ὤν.

Περὶ τοῦ Παμφύλου Εὐσεβίου ὅτι ἐν πολλοῖς αὐτοῦ συγγράμμασιν δείκνυται Ἀρειανὸς γνήσιος· εἰ δὲ καὶ ἐπαινεῖται παρὰ τινῶν ἐκκλησιαστικῶν ἀνδρῶν ὡς πολυμαθὴς καὶ πολυίστωρ, ὡς Ὠριγένης καὶ ἄλλοι πολλοὶ τῶν ἔξω τῆς ἐκκλησίας ὄντων, οὐδὲν θαυμαστόν.

Ὁ δὲ πολυμαθὴς καὶ πολυίστωρ Εὐσέβειος οὗτος ἀκριβεστάτην τῶν χρόνων ἀναγραφὴν ποιησάμενος, τοῖς χρόνοις μὲν Ἰνάχου, τὸν ἱερὸν Ἰάκωβον εὗρε συνακμάσαντα· Μωσέα

[u] ἰώσππος Cod. [x] Cod. ταττιανὸς.

δὲ Κέκροπος. χρονικοῦ γὰρ κανόνος σύνταξιν ἐπινοήσας, ἐκ παραλλήλου ἀντεπαρέθηκε τὸν παρ' ἑκάστῳ ἔτει δυναστεῦον· συνήγαγε δὲ χρόνους τῆς βασιλείας τῶν Χαλδαίων, Λακεδαιμονίων, Κορινθίων, Θεττάλων, Μακεδόνων τῶν πάλαι Κιτιέων λεγομένων, Λατίνων τῶν ἀπὸ Λατίνου βασιλέως αὐτῶν, καὶ Ἰταλῶν ἔκ τινος ἡγεμονεύσαντος αὐτῶν προσαγορευθέντων· καὶ ὕστερον ἐπικληθέντων Ῥωμαίων, ἀπὸ Ῥώμου καὶ Ῥήμου· καὶ τούτων τοὺς χρόνους ἐπὶ τὸ αὐτὸ συναντήσας, ἑκάστου ἔθνους τῶν βασιλέων συνέκρινε τοὺς χρόνους· ἀντιπαραθεὶς τὰ ἔθνη τῆς βασιλείας τῇ Ἀσσυρίων βασιλείᾳ· τουτέστι τῆς Σεμιραμέως τοῖς Ἀβραὰμ ἔτεσιν· κατὰ γὰρ τὴν[y] Σεμήραμιν Ἀβραὰμ ἐγνωρίζετο· καὶ Ἰάκωβ κατὰ Ἴναχον· καὶ Μωϋσῆς κατὰ Κέκροπα· ὃν πρῶτον βασιλέα τῆς Ἀττικῆς Ἕλληνες ἱστόρησαν. ὡς εἶναι τῶν παρ' Ἕλλησιν ἀρχαίων σοφῶν Μωϋσέα πρεσβύτερον· Ὁμήρου λέγω καὶ Ἡσιόδου· καὶ τῶν Τρωϊκῶν· Ἡρακλέους τὲ καὶ Μουσαίου· Λυδίου τε καὶ Ὀρφέως, καὶ Διοσκόρων· Ἀσκληπίου καὶ Διονύσου[z] καὶ Ἑρμοῦ· Ἀπόλλωνός τε καὶ τῶν Ἑλληνικῶν μυστηρίων καὶ τελετῶν, καὶ αὐτῶν τῶν Διὸς πραξέων. ὅθεν καί τινες τῶν παρατῶν προκρίων φαίνονται ἐκ τῶν αὐτοῦ συγγραμμάτων σφετερισάμενοι· πάντες γὰρ οὗτοι μετὰ τὸν Κέκροπα γεγόνασιν· ὧν πολὺ Ὅμηρος καὶ Ἡσίοδος τοῖς χρόνοις ὑποβεβήκασιν.

Fol. 64. v. Ζεὺς μὲν γὰρ λέγεται πλαστικὴν τέχνην ἐξευρηκέναι, Ποσειδῶν δὲ τὴν κυβερνητικήν· Ἥφαιστος δὲ τὴν χαλκευτικὴν, Ἀσκληπιὸς τὴν ἰατρικὴν, καὶ ὁ Ἀπόλλων τὴν μουσικήν· καὶ Ἀθηνᾶ μὲν τὴν ὑφαντικὴν, Ἄρτεμις δὲ τὴν κυνηγετικήν· καὶ Ἥρα μὲν τὸν στολισμὸν, Δημήτηρ δὲ γεωργίαν· καὶ ἄλλοι ἄλλας. Γράμματα μὲν γὰρ Φοίνικες εὗρον· ποίησιν δὲ ἡρωικὴν Ὅμηρος· καὶ διαλεκτικὴν μὲν Ζήνων ὁ Ἐλεάτης[a] ῥητορικὴν δὲ Κόραξ ὁ Συρακούσιος· καὶ

[y] Cod. τόν. [z] διονύσου. [a] ἐλάτης Cod.

μελισσῶν μὲν καρπῶν ὁ Ἀρισταῖος[b]· σίτου δὲ σπόρον καὶ κριθῆς Τριπτόλεμος· καὶ νόμους μὲν Λοκοῦργος ὁ Σπαρτιάτης καὶ Σώλων ὁ Ἀθηναῖος· τῶν δὲ γραμμάτων τὴν σύνταξιν καὶ ἀριθμοὺς καὶ μέτρα καὶ στάθμια Παλαμήδης[c] ἐφεῦρε· καὶ ἄλλοι ἄλλα καὶ διάφορα τῷ βίῳ τῶν ἀνθρώπων ἐπήγγειλαν χρήσιμα κατὰ τὴν τῶν ἱστορησάντων μαρτυρίαν. Τὴν γεωμετρίαν γὰρ Αἰγυπτίους εὑρηκέναι φασὶν, ἀστρολογίαν δὲ καὶ γενεθλιαλογίαν Χαλδαίων εὕρεμα λέγεται. Ἄραβες δὲ καὶ Φρύγες οἰνοσκοπίαν ἐπενόησαν εἶναι καὶ πρῶτοι θύειν θεοῖς. Χαλδαῖοι δὲ ἤτοι Κύπριοι ἐξεῦρον τὸ μαγεύειν. διαφοροῦνται γὰρ ἔθνος Περσικὸν ὑπάρχοντες. Τὴν δὲ ἀστρονομίαν ἐφευρηκέναι πρῶτοι λέγονται Βαβυλώνιοι διὰ Ζωροάστρου· ἐξ ὧν δεύτεροι παρείληφαν Αἰγύπτιοι τὴν γεωμετρίαν, ἐκ τοῦ ἀπλέτου τῆς γῆς καὶ τῆς διαιρέσεως τῶν χώρων προδιδαχθέντες· καὶ εἶθ' οὕτως γράψαντες ἕτεροι μετέλαβον. τὴν δὲ μαγείαν καὶ γοητείαν καὶ φαρμακείαν, Μῆδοι μὲν ἐφεῦρον καὶ Πέρσαι· διαφέρουσι δὲ πρὸς ἀλλήλους. ἡ μὲν γὰρ μαγεία ἐπίκλησίς ἐστι δαιμόνων ἀγαθοποιῶν δῆθεν πρὸς ἀγαθοῦ τινὸς σύστασιν· ὥσπερ τὰ τοῦ Ἀπολλωνίου τοῦ Τυανέως θεσπίσματα διάγαθῶν γεγόνασιν· ἡ δὲ γοητεία, ἐπίκλησίς ἐστι δαιμόνων κακοποιῶν περὶ τοὺς τάφους εἱλουμένων ἐπὶ κακοῦ τινὸς σύστασιν· ὅθεν καὶ γοητεία κέκληται ἀπὸ τῶν γόων καὶ τῶν θρήνων τῶν περὶ τοὺς τάφους γινομένων. φαρμακεία δὲ, ὅταν διά τινος σκευασίας θανατηφόρου πρὸς φίλτρον δοθῇ τινὶ διὰ στόματος.

Ὀρνεοσκοπικὸν δὲ λέγεται ἐξευρηκέναι τοῦτο πρῶτος Τηλέγονος· ὁμοίως δὲ καὶ τῆς οἰονιστικῆς, τὸ μέν ἐστιν ὀρνεοσκοπικόν· τὸ δὲ οἰκοσκοπικὸν, τὸ δὲ ἐνόδιον· τὸ δὲ χειροσκοπικὸν, τὸ δὲ παλματικόν. Καὶ ὀρνεοσκοπικὸν μέν ἐστιν, ὅταν πετωμένου ὄρνιθος ἔμπροσθεν ἢ ὄπισθεν, ἢ δεξιὰ ἢ ἀριστερὰ νεύοντος, εἴπωσι τόδε συμβαίνει ἢ τόδε. Παλματι-

[b] Bar. 30, ἀριστέως. Bar. 194. Ἀριστοτέλης. [c] παλαμίδης Cod.

κὸν[d] δὲ τὸ διὰ τῆς πάλσεως τοῦ σώματος γνωριζόμενον· οἷον, ἐπάλθη ὁ δεξιὸς ἢ ἀριστερὸς ὀφθαλμὸς, ἢ ὁ ὦμος, ἢ μηρὸς, ἢ κνημὶς, ἢ ἐν τῷ ποδὶ κνησμὸς γέγονεν· ἢ πρὸς τὸ οὖς ἦχος ἐγένετο, τόδε φησὶ συμβήσεται.

Οἰκοσκοπικὸν δὲ, ὅταν τὰ ἐν τῷ οἴκῳ συμβαίνοντα εἴποι τις τόδε συμβαίνει· οἷον ἐν τῇ στέγῃ φανῇ γαίη, ἢ ὄφις, ἢ μῦς· ἢ ἐκκαινώθη[e] ἔλαιον ἢ μέλι, ἢ οἶνος, ἢ τέφρα· ἢ πρισμὸς ξύλων, ἢ ἄλλό τι, τόδε προμηνύει.

Ἐνόδιον δὲ ὅταν ἐξηγήσηταί τις τὰ ἐν τῇ ὁδῷ ὑπαντῶντα λέγων· ἐάν σοι ὑπαντήσῃ τοιοῦτος ἄνθρωπος, ἢ τόδε βαστάζων, ἢ τόδε, συμβήσεταί σοι τόδε.

Χειροσκοπικὸν δὲ ὅταν διὰ τῆς ἐκτάσεως τῶν χειρῶν διατεινόμενος εἴπωσι τόδε αὐτῷ γενήσεται.

Καὶ τὰ μὲν γράμματα Φοίνικες εὑρηκέναι φασὶν Ἕλληνες, Κάδμον ταῦτα πρὸς τὴν Ἑλλάδα κομίσαι.

Ἰατρικῆς δὲ τὸν Αἰγύπτιον Ἄπιν ἔλεξαν ἄρξαι· καὶ τὸν Ἀσκληπιὸν αὐξῆσαι τὴν τέχνην· ὧν πάντων Ἑβραῖοι προγενέστεροι· οὕτω καὶ περὶ τῶν δογμάτων προδιαφερόμενοι διαφόρως· ὅθεν οἱ μὲν αὐτοκράτορα τὸν νοῦν εἶπον εἶναι, καὶ ἄγαν δύνασθαι, καὶ κατ' ἐξουσίαν τὰ πάθη θεραπεύειν· οἱ δὲ ἀνάγκης αὐτὸν καὶ εἱμαρμένης, ἀπέφηναν δοῦλον, καὶ τῆς τοῦ οὐρανοῦ περιδινήσεως καὶ τῆς τῶν ἄστρων ξυνόδου τὰς τούτου πράξεις καὶ ἐνεργείας ἠρτεῖσθαι. ὁ δέ γε Πλάτων, τὴν ἐναντίαν τούτοις περὶ ψυχῆς ἐξεπαίδευσε δόξαν, ἐλευθέραν αὐτὴν καὶ δεσποίναν τῶν παθῶν εἶναι φήσας· καὶ ὁ μὲν οὕτως, ὁ δὲ οὕτως πρεσβεύοντες ἐναντίαν δόξαν ὤδινον· οὐ γὰρ τἀληθὲς μαθεῖν ἐπεθύμησαν, ἀλλὰ κενοδοξίᾳ καὶ φιλοτιμίᾳ δουλεύσαντες, καινῶν εὑρεταὶ κληθῆναι δογμάτων ἐπεπόθησαν· ὅθεν καὶ τὴν πολλὴν ὑπέστησαν πλάνην τῶν ὕστερον ἐπιγενομένων, ἀνατρεπόντων ἀναίδην [f] τῶν πρεσβυτέρων τὰς δόξας.

Καὶ γὰρ Ἀριστοτέλης ὁ τάλας ἔτι ζῶν καὶ Πλάτωνι

[d] Cod. ἀλματικόν. [e] Leg. ἐκκενώθη. [f] Sic.

προφανῶς τε καὶ ἀναισχύντως ἀντεπαρατάξατο, καὶ τὸν τῆς Ἀκαδημίας ἀνεδέξατο πόλεμον· καὶ οὔτε τὴν διδασκαλίαν ἐτίμησεν, ἧς φιλοτίμως ἀπήλαυσεν, οὔτε τοῦ πολυθρυλλήτου[g] ἀνδρὸς ᾐδέσθη τὸ κλέος, οὔτε τὸ ἐν λόγοις ἔδεισε κράτος, ἀλλ' ὑπερηφάνως καὶ ἀπηρυθριασμένως[h] ὁ ἐμβρόντητος πρὸς οὐρανὸν ἀντέστη· οὐκ ἀμείνοσιν[i] ἐκείνῳ, ἀλλὰ πολλῷ μᾶλλον χειρωνος[k] χρησάμενος δόγμασιν, ὡς ἀπεφάνθη. Καὶ γὰρ δὴ τὴν ψυχὴν ἐκείνου εἰπόντος τριμερῆ καὶ ἀθάνατόν τε καὶ φωτοειδῆ καὶ θεοειδῆ, οὗτος θνητὴν ἔφη καὶ ἐπίκηρον· καὶ τὸν Θεὸν εἰρηκότος[l] μὲν ἐκείνου προμηθεῖσθαι πάντων· οὗτος τὴν γῆν, ὅσον ἧκεν εἰς λόγους, τῆς θείας κηδεμονίας ὑστέρησε· τὰ γὰρ δὴ μέχρι σελήνης ἰθύνειν ἔφη τὸν Θεὸν, τὰ δέ γε ἄλλα ὑπὸ τὴν εἱμαρμένην τετάχθαι καὶ τύχην· καὶ κατὰ τὴν βιαίαν ἀνάγκην ἐφίστησιν ἑκάστῳ· καὶ ταύτῃ παρὰ γνώμην ποιεῖν τοὺς ἀνδροφόνους καὶ τοιχωρύχους[m] καὶ πόρνους, καὶ ὅσα τὰ τῆς ἡδονῆς καὶ παρανομίας εἴδη. καὶ ἄλλα δὲ πάμπολλα πρὸς ἀνατροπὴν τοῦ διδασκάλου αὐτοῦ ἐτερατολόγησεν. Ὁ τοίνυν σοφώτατος Πλάτων θεολογῶν ἔφη· τί τὸ ὂν μὲν ἀεί· γένεσιν δὲ οὐκ ἔχον. καὶ τὸ γινόμενον μὲν ἀεὶ, ὂν δὲ οὐδέποτε· τὸ μὲν δὴ νοήσει καὶ τὸν μετὰ λόγου περιληπτὸν ἀεὶ κατὰ τὸ αὐτὸ ὄν· τῷδε (sic) αἰσθήσει ἀλόγῳ δόξα τὸ γιγνόμενον μὲν καὶ ἀπογιγνόμενον, ὄντος δὲ οὐδέποτε ὂν, ταῦτα δὲ πάντα μέρος χρόνου τὸ ἦν καὶ ἔσται ἃ δὴ φέροντες λανθάνομεν ἐπὶ τὴν ἀΐδιον οὐσίαν οὐκ ὀρθῶς. λέγομεν γὰρ δὴ, ὃς ἦν, ἔστι τε καὶ ἔσται· τί δε τὸ ἔστι μόνον κατὰ τὸν ἀληθῆ λόγον προσήκει· τὸ δὲ ἦν καὶ ἔσται περὶ τὴν ἐν χρόνῳ γένεσιν πρέπει οὖσαν λέγεσθαι· τὸ δὲ ἀεὶ, κατ' αὐτὸν ὂν ἀκινήτως· οὔτε νεώτερον, οὔτε πρεσβύτερον προσήκει λέγεσθαι· καὶ γὰρ τὸ ἀεὶ ὂν καὶ πρὸ ὂν γενέσεως ἐστὶν ἁπάσης ὑπέρτερον· τὸ δὲ γινόμενον καὶ ἀλλοιώσεις

[g] πολυθρηλύτοι Cod. [h] ἀπηριθριασμένως Cod. [i] ἀμείνωσιν Cod. [k] Sic. [l] εἰρηκότως Cod. [m] τυχορύχους Cod.

πολλὰς δεχόμενον, εἰκότως ἔφησεν οὐδέποτε εἶναι· καὶ ταῦτα μὲν ὁ Πλάτων.

Exc. e Cod. Barocc. 30. Chart. XIV. sæc. Ejusdem Georg. Chronic.

Fol. 67. v. Ἐκ τοῦ Χρονικοῦ Γεωργίου. Περὶ βασιλέων χρόνων καὶ ἄλλα τινὰ ἀρχή. Ὅτι Ἀδὰμ τρεῖς υἱοὺς ἐγέννησεν. κ. τ. λ.

Fol. 69. Πρὸς τοὺς λέγοντας ὅτι ἀδύνατον χωρῆσαι τὴν κιβωτὸν τοσαῦτα ζῶα ἐν τοσαύταις πήχεσι, φασὶν ὁ συγγραφεὺς περὶ τοῦ Μωϋσέως, ὅτι γεομετρικὴν πῆχυν λέγει, ἥτις ὀργίαν μεγίστην ἔχει.

Εἶτα τοῦ κακοῦ προβαίνοντος ἀνωτέρω καὶ ἥλιον καὶ σελήνην καὶ τὰ ἄστρα καὶ αἴθερα[n] καὶ ἀέρα καὶ τὰ στοιχεῖα ὡς θεοὺς ἀνύμνησαν οἱ δέ γε τελεώτεροι τὴν ἀσέβειαν καὶ ἀνθρώπους τοὺς μὲν ἔτι ζῶντας τοὺς δὲ καὶ μετὰ θάνατον θεοὺς ἐκάλεσαν· καὶ οὐ μόνον εἰς ἀνθρώπους καὶ κτείνοι (sic) καὶ ἑρπετὰ χερσέα τε καὶ ἔνυδρα τὴν τοῦ Θεοῦ προσηγορίαν προσήνεγκαν· ἀλλὰ καὶ εἰς τὰ μηδόλως ὄντα ἢ φαινόμενα· οἷα εἰσὶ παρ' Αἰγυπτίων κυνοκέφαλοι, καὶ ὀνοκέφαλοι, καὶ ὁ παρὰ Ἴβυ[o] κριοκέφαλος, καὶ τὰ λεγόμενα πλάσματα παρὰ τοῖς μύθοις· ἡ Σκύλλα[p] καὶ ἡ Χάρυβδις[q] καὶ ἱπποκένταυρος· ὑποτείνοντες δὲ τὴν ἀσέβειαν, καὶ τὴν ἡδόνην τε καὶ ἐπιθυμίαν ἐθεοποίησαν, ἣν δὴ καὶ Ἀφροδίτην καλοῦντες προσεκύνησαν· καὶ μέντοι καὶ τοὺς παρ' αὐτῶν ἄρχοντας διὰ τιμὴν τὴν ἀρξάντων, ἢ διὰ φόβον τῆς αὐτῶν τυραννίδος, ὡς θεοὺς ἐτίμησαν· ὥσπερ ὁ ἐν Κρήτῃ Ζεὺς τετίμηται, καὶ ὁ ἐν Ἀρκαδίᾳ Ἑρμῆς, καὶ ὁ ἐν Ἰνδίᾳ Διόνυσος, καὶ ὁ ἐν Αἰγύπτῳ ἱερὸς Ὀσύρης· καὶ ὁ νῦν Ἀδριανὸς βασιλεὺς Ῥωμαίων παῖς Ἀντίνοος. ἐπιδημήσας γὰρ Ἀδριανὸς ἐν Αἰγύπτῳ καὶ τελευτήσαντα ἰδὼν τὸν τῆς ἡδονῆς αὐτοῦ ὑπηρέτην Ἀν-

[n] ἔθερα Cod. [o] An Ἰβύκῳ. [p] σκύλα Cod. [q] χάρυβδης Cod.

τίνοον ἐκέλευσε θρησκεύεσθαι τοῦτον· ἅτε δὴ καὶ μετὰ θάνατον αἰρῶν τοῦ παιδὸς δι' ὑπερβάλλουσαν ἀσέλγειάν τε καὶ οἰστρηλασίαν· τὸν αὐτὸν τρόπον καὶ οἱ παρ' Ἕλλησιν διαβεβοήμενοι θεοὶ Ζεύς τε καὶ Ποσειδῶν καὶ Ἀπόλλων καὶ Ἥφαιστος καὶ Ἑρμῆς, καὶ ἐν θηλείαις Ἥρα καὶ Δήμητρα καὶ Ἀθηνᾶ καὶ Ἄρτεμις· ὅτι καὶ τὰς αἰσχρὰς πράξεις τῶν αὐτῶν θεῶν καὶ ἄκοντες πρὸς ἔλεγχον αὐτῶν ἀνέγραφοντο. ἐκ μὲν γὰρ τοῦ Διὸς τὴν παιδοφθορίαν καὶ τὴν μοιχείαν[r]· ἐκ δὲ Ἀφροδίτης τὴν πορνείαν· ἐκ Ῥέας δὲ τὴν ἀσέλγειαν· καὶ ἐκ τοῦ Ἄρεος τοὺς φόνους· καὶ ἐκ Διονυσίου τὴν οἰνοφλυγίαν· καὶ ἐξ ἄλλων ἄλλα· πρὸς ἔλεγχον τοῦ μὴ θεοὺς αὐτοὺς εἶναι, ἀλλ' ἐμπαθεῖς ἀνθρώπους. ἀλλὰ φασὶν οἱ τῇ πλάνῃ δεδουλωμένοι· διὰ τοῦτο θεοὺς αὐτοὺς ἡγούμεθα, ὅτι τοῖς ἀνθρώποις χρήσιμοι γεγόνασιν.

Ὅτι παρ' ἄλλοις νομιζόμενοι θεοὶ τῶν παρ' ἄλλων θεῶν γενομένων γίνονται σπονδαὶ καὶ θυσίαι· Αἰγύπτιοι μὲν τὸν Ἆπιν βοῦν μόσχον ὄντα σέβουσιν· καὶ τὸν Μενδήσιον τράγον· καὶ τούτους ἄλλοι τῷ Διῒ θύουσι. Λίβυες δὲ πρόβατον θεοποιοῦσιν ὡς θεόν· καὶ τοῦτο παρ' ἑτέροις εἰς θυσίαν σφάζεται. Ἰνδοὶ δὲ τὸν Διόνυσον θρησκεύουσιν· συμβολικῶς οἶνον αὐτὸν ὀνομάζοντες· καὶ ἄλλοι τοῦτον σπένδουσιν. ἕτεροι δὲ ποταμοὺς καὶ κρήνας[s]· καὶ πάντων μᾶλλον Αἰγύπτιοι τὸ ὕδωρ τετιμήκασιν καὶ θεὸν ἀνηγόρευσαν. ἐν οἷς καὶ τοσοῦτον ὑπὲρ ἐπλεόνασεν ἡ εἰδωλομανία, ὡς οὐ μόνον βόας τε καὶ τράγους καὶ κύνας καὶ πιθήκους θεραπεῦσαι, ἀλλὰ καὶ σκόροδα καὶ κρόμυα καὶ πολλὰ τῶν λαχάνων θεοὺς ὀνομάζουσιν. καὶ τὸ μὲν ὕδωρ τοῦ Νείλου ἐσέβοντο, ὡς τὴν χῶραν αὐτῶν ἀρδεύων· τὸν δὲ βοῦν ἐθεοποιοῦντο, ὡς τὴν γεωργίαν ἐπιτελοῦντα καὶ τροφὴν πορίζοντα· τὸν δὲ τράγον καὶ τὰ πρόβατα διὰ τὴν ἐξ αὐτῶν χρῆσιν· τὰ δὲ λοιπὰ καθότι πρόφασις αὐτοῖς αἱ περὶ ταῦτα χρεῖαι γεγόνασιν, δῆθεν αἴτιον σωτηρίας ἐν τῷ καιρῷ τῆς τοῦ Φαραὼ πανολεθρίας, διὰ τὸ ἀπησχολεῖσθαι εἰς αὐτά.

[r] Cod. μυχίαν. [s] κρίνας Cod.

Ὅτι κατὰ περίοδόν τινα τοῦ χρόνου ἐγεινᾶτο τοῖς Αἰγυπτίοις βοῦς ἔχων σημεῖα τινὰ περὶ τὴν γλῶτταν καὶ τὴν κέρκον, ἐξ ὧν ἐγνωρίζετο ὅτι Ἄπις ἤγουν θεὸς, ὅθεν καὶ ἑορτὴν ἐποίουν ὡς θεῷ αὐτοῖς ἐνδημήσαντος· καὶ παρατιθέασι τῷ βοῒ πανδαίσιαν[t] *ἐν τῇ φάτνῃ πολλὴν, εὐωχοῦντες τὸν θεὸν αὐτῶν.*

Ὡσαύτως δὲ καὶ τὸν τράγον δεόμενοι Μένδην λέγουσιν κατὰ τὴν ἑαυτῶν διάλεκτον· ὡσανεὶ κείμενον ἔφασκον τῇ γονίμῳ[u] *δυνάμει· οὗτινος τράγου καὶ ἱερὸν ὑπῆρχεν, ἐν ᾧ ἦν τραγοσκέλης ὄρθιον τὸ αἰδοῖον ἔχον. ἔτι μὴν καὶ τοὺς κροκοδείλους καὶ τοὺς ὄφεις καὶ τοὺς αἰλούρους*[v] *καὶ τοὺς ἰχθύας τιμῶντες ἐξ ἀλόγου τιμῆς ἀτιμίαν ἑαυτοῖς περιεποιοῦντο.*

Ὅτι οἱ Ῥωμαῖοι ἐκ τούτων μεμαθηκότες καὶ τοὺς ἰδίους βασιλεῖς μετὰ θάνατον ἐθεοποίησαν· καὶ οὐ μόνον τοὺς ἐννόμως βεβουλευκότας, καὶ τοῦ δικαίου φρονήσαντας, ἀλλὰ καὶ τοὺς τυραννικῶς τὴν ἀρχὴν ἰθύναντας· καὶ γὰρ Νέρωνα, καὶ Δομετιανὸν, καὶ Κόμοδον, καί γε ἄλλους μιαιφόνους καὶ λαγνεστάτους ἄνδρας, τῷ τῶν σφετέρων θεῶν καταλόγῳ συνέταξαν.

Fol. 73. *Ὅτι Εὐπτόλεμος φησὶ τὸν Μωσέα πρῶτον σοφὸν γενέσθαι καὶ γράμματα παραδοῦναι Ἰουδαίοις πρῶτον· παρὰ δὲ Ἰουδαίων Φοίνικας παραλαβεῖν. Ἕλληνας δὲ παρὰ Φοινίκων. νόμους δὲ πρῶτος γράψας Μωσῆς τοῖς Ἰουδαίοις. καταλειπὼν δὲ Μωϋσῆς τὰς κατ᾽ Αἴγυπτον διατριβὰς κατὰ τὴν ἔρημον ἐφιλοσόφει, διδασκόμενος παρὰ τοῦ Ἀρχαγγέλου Γαβριὴλ τὰ περὶ τῆς γενέσεως τοῦ κόσμου, καὶ τοῦ πρώτου ἀνθρώπου καὶ τῶν μετ᾽ ἐκεῖνον· καὶ τοῦ κατακλυσμοῦ καὶ τῆς συγχύσεως τῶν γλωσσῶν· καὶ περὶ τῶν πρώτων ἀνθρώπων καὶ μέχρις αὐτοῦ χρόνων· καὶ περὶ τῆς νομοθεσίας τῆς μελλούσης παρ᾽ αὐτοῦ δίδοσθαι τῷ Ἰουδαίων ἔθνει· καὶ τὰς τῶν ἀστέρων θέσεις καὶ τὰ στοιχεῖα· καὶ ἀριθμητικὴν καὶ γεομετρίαν καὶ πᾶσαν σοφίαν, ὡς ἐν τῇ λεπτῇ γενέσει κεῖται.*

[t] *πανδεσίαν* Cod. [u] Cod. *γονύμῳ.* [v] *ἐλούρους* Cod.

Fol. 74. Τὸ δὲ μάννα ὁ Φίλων ἑρμηνεύων ἔφη τοιαύτην αὐτοῦ εἶναι τὴν πιότητα[w], ὥστε κατὰ τὴν φαντασίαν τοῦ ἐσθίοντος μετακιρνᾶσθαι, καὶ εἶναι μὲν καθ' ἑαυτὸν οἱονεὶ κέγχρον[x] ἑψημένον ἐν μέλιτι· παρέχειν δὲ νῦν μὲν ἄρτον, νῦν δὲ κρέως· καὶ κρέως τοιοῦδε· ἢ πετεινοῦ ἢ χερσιαίου· νῦν δὲ λαχάνου, τοῦ κατὰ τὴν ἐπιθυμίαν ἑκάστου καὶ ἰχθύος, ὡς τὸ ἰδίωμα τῆς καθ' ἕκαστον γένος πιότητος, ἀκριβῶς δὲ καὶ τῇ γεύσει τοῦ ἐσθίοντος, διασώζεσθαι.

Cod. Bodl. F. VI. 26.

Ἰστέον ὅτι Φίλιππος ὁ Σίδης[y] ἐν τῷ εἰκόστῳ τόμῳ τῆς Χριστιανικῆς ἱστορίας λέγει, ὅτι ἕκατον ἔτη ἐποίησεν ὁ Ἀδὰμ ἐν τῷ Παραδείσῳ, καὶ ἐξεβλήθη· καὶ μετὰ ἄλλους ἑκατὸν χρόνους, ἔγνω Εὔαν τὴν γυναῖκα αὐτοῦ, καὶ ἐγέννησε τὸν Καΐν· καὶ μετὰ τρία ἔτη τὸν Ἄβελ, καὶ μετὰ τριάκοντα τὸν Σήθ· ταῦτα δὲ ἐκ παραδόσεως[z]. ἕτεροι δὲ φασὶν αὐτὸν ἑπτὰ ἔτη ἐργάσασθαι ἐν τῷ Παραδείσῳ· καὶ ἀπὸ τῆς παραβάσεως, ἀπὸ ὥρας πρώτης[a] ἐκείνης τῆς ἡμέρας, ἕως ὥραν ἕκτην ἐξεβλήθη.

[w] Sic. [x] κέχρον Cod. [y] Cod. σίδδης. [z] Cod. παραδώσεως.
[a] ὥραν πρώτην Cod.

Excerpt. e Cod. Bodl. Clark. 11.[b]

Περὶ τῶν Ἀριστοτελικῶν Συλλογισμῶν.

Fol. 3. Καὶ συνελόντι φάναι ὅτι ὥσπερ τοῖς ποιηταῖς οἱ μῦθοι καὶ τοῖς ἱερεῦσι τὰ παραπετάσματα, καὶ τοῖς ἀετοῖς ὁ ἥλιος καὶ * * * Κελτοῖς ὁ ποταμὸς Ῥῆνος· καὶ τοῖς Πυθαγορ' * * * * * * * Πλάτωνι ἡ μέθη τούτῳ τῷ Ἀριστοτέλ * * * * * * * * ηται γυμνασίοις χάριν τῷ * ἐρωτᾶ * * * * * * καὶ μὴ αὐτὸς ἀφ' ἑαυτοῦ λέγειν ἢ φιλοσοφεῖν μήπως * κορεῖς φαίνηται τοῖς ἀπείροις γνώσεως: Οἱ γὰρ ποιηταὶ μύθους πλάττουσι πρὸς δοκιμασίαν τῶν ἑαυτῶν μ * *. Οἱ δὲ ἱερεῖς παραπετάσματα διὰ τὴν κάθαρσιν τοῦ ἱερέως. οἱ δὲ ἀετοὶ στηλώνουν τοὺς ἑαυτῶν ὀφθαλμοὺς πρὸς τὴν τοῦ ἡλίου ἀκτίνα, δοκιμάζοντες ἐὰν καλῶς ὁρῶσι. οἱ δὲ Κελτοὶ τὰ ἑαυτῶν τέκνα ῥήπτουσιν ἐν τῷ Ῥήνῳ ποταμῷ, ἵνα λάβωσι δοκίμιον τῆς πλευτικῆς πείρας.

Fol. 46.

Διαιρέσεις Πρακτικαί.

Τέσσαρες εἰσὶ γενικαὶ ἀρεταί· αἳ παρέπονται ἑκάστῃ αὐτῶν δύο· κακία[c] σωφροσύνη· ἀντίκειται αὐτῇ ἀκολασία· ταύτῃ ἡττῶνται οἱ θηλυμανεῖς· ἵπποι θηλυμανεῖς γινόμενοι ἀκρατῶς πρὸς τὰς ἀτάκτους ἡδονὰς χρεμετίζομεν.

Δικαιοσύνη ἀντίκειται αὐτῇ μισαλληλία· ταύτῃ ἡττῶνται μανιχεῖς καὶ βωρεῖται· τὸν μὲν τίμιον βδελυττόμενοι

[b] Vid. Gaisf. Catal. MS. Clark. p. 15.

[c] Leg. cum Gaisf. καὶ παρέπ. ἑκ. αὐτ. δύο κακίαι.

γάμον, πρὸς δὲ τὰς αἰσχρὰς ἡδονὰς ἀκρατεῖς ὄντες, ὡς ἂν τύχοι ἡ ἔχις χαρακτηρίζει τῇ μυραίνῃ. ἀνδρεία δὲ ἀντίκειται αὐτῇ θρασύτης· ὥσπερ ὁ λέων.

Ἰστέον ὅτι ἑπτά τινα τῇ καθόλου τέχνῃ παράκειται· τεχνοειδές· ἡμιτέχνιον· μικροτέχνιον· ψευδοτεχνία· κακοτεχνία· ματαιοτεχνία· ἀτεχνία.

Καὶ τεχνοειδὲς μέν ἐστι ἀλόγου ζώου δυνάμει φυσικῇ μιμουμένη τέχνην· ὥσπερ ἡ τῶν μελισσῶν πλαστικὴ[d]*, καὶ ἡ χελιδόνων οἰκοδομική. Ἡμιτέχνιον δέ ἐστιν ἡ ἐξ ὀλίγων θεωρημάτων συνεστηκυῖα τέχνη, ὥσπερ ἡ ξυρητικὴ καὶ ἡ ἀπονυχιστική. Μικροτεχνία δέ ἐστιν ἧς τὸ ἀποτέλεσμα βραχύτατόν ἐστι, ὡς ἀπὸ Μυρμικίδου τοῦ Ἀθηναίου καὶ Καλλικράτους τοῦ Λακεδαιμονίου· οὗτοι γὰρ ἐποίησαν σιδηροῦν ἅρμα, ὑπὸ μυίας ἑλκόμενον, καὶ τῷ πτε * * *ῦς μυίας καλυπτόμενον.*

*Ψευδοτεχνία δέ ἐστι βρα * * * γνη· μείζωνος ὑποδυομένη τέχνη ἔργον, ὥσπερ οἱ φαρμακοπῶλαι, ἤγουν οἱ μυρεψοί· οὗτοι γὰρ ἑαυτοὺς λέγουσιν ἰατρούς.*

Κακοτεχνία δέ ἐστιν ἕξις εὑρημένη ἐπὶ κακῷ τῷ βίῳ, ὥσπερ ἡ σχοινοβατική, ἤγουν ὁ ἐν τῷ σχοινίῳ περιπατῶν, καὶ ὥσπερ ὁ κοντοπαίκτης.

Ματαιοτεχνία δέ ἐστιν.

Ἀτεχνία δέ ἐστιν ἁμάρτημα γενόμενον τῷ τεχνίτῃ—

Γνωμικόν—Τεθνάναι μὲν γὰρ πάντως ἅπαντες ἔχωμεν· καὶ οὐκ ἔστιν οὐδείς, ὃς ταύτην τὴν ὁδὸν οὐχ ὁδεύσοιεν— Ἄλλη. Ἀτονοῦσα γὰρ διάνοια πάντων ὁμοῦ περιδράξασθαι, ὅμοιον πάσχει γαστρὶ, διὰ τὴν ὑπερβολὴν[e] *τοῦ κόρου εἰς πέμψιν*[f] *ἄγειν τὰ παραπεμφθέντα μὴ δυναμένη.*

Πολλοὶ μὲν ἐσθλοὶ δυσθανεῖς ἐν βίῳ γεγόνασι· πολλοὶ δὲ κακοὶ τέλος ἐσχήκασιν ἥδιστον, ὅπερ Θεῷ μέν ἐστι φανερὸν τῷ τὰ καθ' ἡμᾶς σοφῶς πρυτανεύοντι· ἡμῖν δὲ παντέλως ἀκατάληπτον καὶ προσείδησιν ἄγνωστον.

[d] Cod. πλαστικῇ. [e] Sic Cod.

Βαρὺ γὰρ τῆς ἀκηδίας τὸ πάθος, καὶ πάνυ ψυχαῖς φιλοθέοις πολέμιον, καὶ μεγάλα ταύτας ἀδικῆσαι δυνάμενον· εἰ μὴ θᾶττον αὐτὸ ὡς δαιμονίου φλόγα μεσημβρινοῦ νεανικῶς ἀποσβέσωσιν.

Fol. 16.

Οἱ βασιλεύσαντες ἐν Κωνσταντίνου πόλει Χριστιανοὶ καὶ αἱρετικοί.

α′ Κωνσταντῖνος ὁ ἐν ἁγίοις ἔτη λα′.

β′ Κώνστας ὁ υἱὸς αὐτοῦ ἔτη κδ′, Ἀρειανός.

γ′ Ἰουλιανὸς ὁ παραβάτης, ἔτη δύο, Ταξειδάριος.

δ′ Ἰοβιανὸς μῆνας ζ′ ἡμέρας κβ′, Χριστιανὸς Ταξειδάριος.

ε′ Οὐλεντιανὸς ὁ μέγας ἔτη ια′, Χριστιανὸς Ταξειδάριος.

ϛ′ Ὀάλης ἔτη γ′, Ἀρειανὸς Ταξειδάριος.

ζ′ Γρατιανὸς ἔτη γ′, Χριστιανός.

η′ Θεοδόσιος ὁ μέγας ἔτη ιϛ′, Χριστιανὸς Ταξειδάριος.

θ′ Ἀρκάδιος ἔτη κβ′, Χριστιανός.

ι′ Ὀνώριος ἔτη γ′, Χριστιανός.

ια′ Θεοδόσιος ὁ μικρὸς ἔτη μβ′ καὶ μῆνας δύο, Χριστιανός.

ιβ′ Μαρκιανὸς ἔτη ϛ′ μῆνας ἕξ, Χριστιανός.

ιγ′ Λεὼν ὁ μακελλης ἔτη ιη′, Χριστιανός.

ιδ′ Λεὼν ὁ μικρὸς ἔτος ἕν, Χριστιανός.

ιε′ Ζήνων ἔτη ιζ′, Αἱρετικὸς Ἀκέφαλος.

ιϛ′ Ἀναστάσιος ὁ Δίκορος ἔτη ιγ′, Αἱρετικὸς Ἀκέφαλος.

ιζ′ Ἰουστῖνος ὁ Θρᾲξ ἔτη θ′, Χριστιανὸς Ταξειδάριος.

ιη′ Ἰουστινιανὸς ὁ μέγας ἔτη λη′ μῆνας ζ′, Χριστιανός.

ιθ′ Ἰουστινιανὸς ὁ μικρὸς ἔτη ιγ′, Χριστιανός.

κ′ Τιβέριος ἔτη δ′, Χριστιανός.

κα′ Μαυρίκιος ἔτη κ′, Χριστιανός.

κβ′ Φωκᾶς ὁ τύραννος ἔτη η′, Χριστιανός.

κγ′ Ἡρακλεῖος ὁ μέγας ἔτη λ′, Μονοθελήτης Ταξειδάριος.

κδ′ Κωνσταντῖνος ὁ υἱὸς Ἡρακλείου ἔτος ἕν, Μονοθελήτης.

κε′ Ἡρακλωνᾶς μῆνας δ′, Μονοθελήτης.

κϛ′ Κώνστας ὁ υἱὸς Κωνσταντίνου ἔτη ζ′, Μονοθελήτης Ταξειδάριος.

κζ' Κωνσταντῖνος ὁ υἱὸς Κώνσταντος ὁ Πωγωνάτος ἔτη ιζ', Χριστιανός.

κη' Ἰουστινιανὸς ὁ υἱὸς τοῦ Πωγωνάτου ἔτη ις', Χριστιανός.

Ταξειδάριοι.

κθ' Λεόντιος ἔτη γ', Χριστιανός.

κ' Ἀψίμαρος ἔτη ζ', Χριστιανός.

Φιλίππος ὁ καὶ Βάρδας ἔτη δύο, Μονοθελήτης.

Ἀρτέμιος καὶ Ἀναστάσιος ἔτη δύο, Χριστιανοί.

Θεοδόσιος ὁ Ἀτραμυτινὸς ἔτη δύο, Χριστιανός.

Λεὼν ὁ Ἴσαυρος ἔτη κδ', Εἰκονομάχος.

Κωνσταντῖνος ὁ υἱὸς αὐτοῦ ὁ Κοπρώνυμος ἔτη λδ', Εἰκονομάχος Ταξειδάριος.

Λέων ὁ υἱὸς τῆς Χαζάρας ἔτη ε', Εἰκονομάχος.

Fol. 45. Πλάτων ὁ πάντας Ἕλληνας εὐεπίᾳ νενικηκὼς, τῶν φιλοσόφων ὁ κολοφῶν, οὐκ ἐν μαθήσει γραμμάτων, ἀλλ' ἐν ἀλήθει γνώσει τὴν σοφίαν ὁρίζεται· καὶ τοὺς μὲν ταύτην ἐπισταμένους, κἂν μὴ δὲ τὰ πρῶτα στοιχεῖα γινώσκοιεν, ὀνομάζει σοφούς· τοὺς δὲ διὰ πάσης ἐληλυθότας παιδείας, ἀληθείας δὲ καὶ δικαιοσύνης τὴν ἐπιστήμην οὐκ ἔχοντας, ἀποκρίνει καὶ ἐξελαύνει, καὶ ἔρχειν οὐκ ἐπιτρέπει· καὶ μέντοι κἂν τῷ Θεαιτήτῳ τοὺς μετεωρολέσχας διαβάλλων ὧδε λέγει· "ὥσπερ δὴ καὶ Θαλῆν ἀστρονομοῦντα ὦθεόε καὶ "ἄνω βλέποντα πέσοντα εἰς φρέαρ Θράττα τις ἐμ- "μελὴς καὶ χαρίεσσα θεραπαινὶς ἀποσκώπτουσα λέγεται, "ὡς τὰ μὲν ἐν οὐρανῷ προθυμοῖτο εἰδέναι· τὰ δ' ὄπισθεν "αὐτοῦ καὶ παρὰ πόδας λανθάνοντα μὴ ὁρᾶν."

Fol. 51. [f]Τοὺς οἰωνοῖς καὶ κληδόσι χρωμένους καὶ Φιλήμων ὁ Κωμικὸς φιλόσοφος κωμῳδῶν ἔφη. "ὅταν ἴδω, φησὶ, "παρατηροῦντα τίς ἔπταρεν ἢ τίς ἐλάλησεν· ἢ τίς ἐστὶν ὁ "προσιὼν σκοποῦντα ἀπολῶ τοῦτον εὐθύς." Καὶ Μένανδρος δὲ ἐν Δεσιδαίμονι[g] τοὺς τὰ τοιαῦτα παρατηροῦντας γελᾷ

[f] Quæ seq. descripta sunt e Clem. Alex. Strom. VII. p. 302. aut Theodoret. Therap. t. iv. p. 852. [g] Sic.

λέγων ὧδε. "'Αγαθόν μοι τι γένοιτο ὦ πολυτίμητοι θεοί· "ὑποδούμενος τὸν ἱμάντα τῆς δεξιᾶς ἐμβάδος διέρρηξα· "εἰκότως ὦ φλήναφε· σαπρὸς γὰρ ἦν, σὺ δὲ σμικρολόγος, "οὐκ ἐθέλων καινὰς πρίασθαι." οὕτως ᾔδεσαν καὶ οἱ τὸν ἐν γέλωτι θεάτροις ἀσπασάμενοι βίον, ὡς τὰ τοιαῦτα δείματα καὶ παρατηρήματα, λίαν ἐστὶ καταγέλαστα· καὶ 'Αντίφων[g] δὲ τινὸς δυσχεράναντος καὶ οἰωνὸν χαλεπά τινα σημαίνειν νομίσαντος, ὅτι ἡ ὗς τὰ οἰκεῖα κατέφαγεν ἔγγονα, "χαῖρε" εἶπεν "ἐπὶ τῷ σημείῳ· ὅτι πεινῶσα τὰ σὰ οὐ κατέφαγε "τέκνα."

'Οδρύσης 'Ορφεὺς περὶ τοῦ ὄντος Θεοῦ ἀφικόμενος εἰς Αἴγυπτον οὕτως μεμάθηκε καὶ βοᾶ.

εἷς ἔστ' αὐτογενής, ἑνὸς ἔγγονα πάντα τέτυκται
αὐτῶν δὲ ὑπὸ πάντα τελεῖται
ἐν δ' αὐτοῖς αὐτὸς περινίσσεται, οὐδέ τις αὐτὸν
εἰσοράᾳ[h] θνητῶν, αὐτὸς δέ γε πάντας ὁρᾶται[i].
αὐτὸν δὲ οὐχ ὁρᾶ, περὶ γὰρ νέφος ἐστήρικτο.
πᾶσι γὰρ θνητοῖς θνηταὶ κοραὶ εἰσὶν ἐν ὄσσοις,
μικραὶ ἐπὶ σάρκες τε καὶ ὀστέα πεφύκασι.

καὶ πάλιν,

αὐτὸς δ' αὖ μέγαν αὖθις ἐπ' οὐρανὸν ἐστήρικται
χρυσέῳ ἐνὶ θρόνῳ, γαίη δ' ὑπὸ ποσὶ[k] βέβηκε.
χεῖρα δὲ δεξιτέρην περὶ τέρμασιν ὠκεανοῖο
ἐκτέτακεν, ὀρέων δὲ τρέμει βάσις ἔνδοθι θύμῳ,
οὐδὲ φέρειν δύναται κρατερὸν μένος, ἔστι δὲ πάντη
αὐτὸς ἐπουράνιος καὶ ἐπὶ χθονὶ πάντα τελευτᾶ.
ἀρχὴν αὐτὸς ἔχων καὶ μέσην ἠδὲ τελευτήν.

Περὶ δαιμόνων Ὅμηρος[l] φησίν·

οὐ γὰρ σῖτον ἔδουσιν οὐ δὲ πίνουσιν αἴθοπα οἶνον
τοὔνεκ' ἀναίμονές εἰσι, καὶ ἀθάνατοι καλέονται.

'Ανάξαρχος ὑπέροις πτισσόμενος σιδηροῖς, ἔλεγεν, ὥς φασι· "πτίσσε, πτίσσε τὸν 'Αναξάρχου θύλακον, οὐ γὰρ 'Ανάξαρ- "χον πτίσσεις." Ζήνων δὲ ὁ 'Ελεάτης ἀναγκαζόμενος κατειπεῖν τι τῶν ἀπορρήτων, ἀντέσχε πρὸς τοῖς βασάνοις

[g] Cod. ἀντίφωνον. [h] Cod. εἰς ὁρᾶ. [i] Cod. ὁρᾶ. [k] τοσὶ Cod.
[l] Cod. Ὅμηρα.

οὐδὲν ἐξομολογούμενος. ὡς δέ φησιν Ἐρατοσθένης ἐν τοῖς περὶ ἀγαθῶν καὶ κακῶν, δείσας οὗτος μὴ τῇ τῶν παθῶν ὑπερβολῇ βιασθεὶς ἐξείποι τι τῶν ξυγκειμένων, καὶ τοὺς στασιώτας μηνύσῃ, τὴν γλῶτταν[m] τοῖς ὀδοῦσι τεμνὼν, προσέπτυσε τῷ τυράννῳ. ταυτὸ δὲ τοῦτο καὶ Θεόδοτον φασὶ ποιῆσαι τὸν Πυθαγόριον, καὶ Παῦλον τὸν Λακύδου γνώριμον, ὡς Περγαμηνὸς Τιμόθεος ἐν τῷ περὶ τῆς τῶν φιλοσόφων ἀνδρείας ξυνέγραψε. ξυμμαρτυρεῖ δὲ τοῦτο καὶ Ἀχαϊκὸς ἐν τοῖς Ἠθικοῖς.

Προσήλυτος παρὰ μὲν Ἰουδαίοις ὁ ἐξ ἐθνῶν Ἰουδαῖος, παρὰ δὲ ἡμῖν ὁ πάροικος.

Οὐ δὲ Ἀναχάρσιδος ἐπαίετε λέγοντος· "ἐμοὶ πάντες Ἕλ-" "ληνες σκυθίζουσι·" τοῦτο γὰρ ἀτεχνῶς ἔοικε τοῖς εἰρημένοις ὑπὸ τοῦ ἡμετέρου σκυτοτόμου. "ἐὰν γὰρ μὴ γνῶ τὴν δύναμιν" "τῆς φωνῆς, ἔσομαι τῷ λαλοῦντι βάρβαρος· καὶ ὁ λαλῶν" "ἐν ἐμοὶ βάρβαρος·" τῷ ὄντι γὰρ, ὥσπερ τοῖς Ἕλλησι Ἰλλυροὶ καὶ Παίονες καὶ Ταυλάντιοι[n] καὶ Ἀτιντάνες βαρβαρίζειν δοκοῦσιν, οὕτως ἦν ἐκείνοις καὶ τοῖς ἄλλοις, ὅσοι τῆς Ἕλλαδος φωνῆς ἐπαΐειν οὐ δύνανται, Ἀτθὶς[o] καὶ Δωρὶς Αἰολὶς καὶ Ἰὰς, βάρβαροι εἶναι δοκοῦσι· ὅτι γὰρ τὴν αὐτὴν ἔχει πᾶσα γλῶσσα διάνοιαν· μία γὰρ δὴ πάντων ἡ φύσις, ἡ πεῖρα διδάσκαλος. ἔστι γὰρ εὑρεῖν καὶ παρὰ τοῖς βαρβάροις καὶ τέχνας καὶ ἐπιστήμας καὶ τὰς ἐν πολέμοις ἀνδραγαθίας. ἔνιοι δὲ τούτων καὶ σοφώτερα Ἑλλήνων πολλάκις ἐξευρίσκουσιν μηχανήματα· καὶ λόγους ἀμείνους, καὶ πανουργοτέρας ἐνέδρας. εἰσὶ δὲ οἱ καὶ τὴν Ἑλλήνων εὐέπειαν βραχυλόγῳ νικῶσι. τοῦτο γὰρ δὴ καὶ Πέρσαις μαρτυροῦσι καὶ οἱ παλαιοὶ ξυγγραφεῖς.

Fol. 56. Παροίμια· καὶ μεμένηκεν ὁ πίθηκος μᾶλλον δὲ κολοσσός.

Φιλοσόφων πλῆθος ἀδύνατον γενέσθαι.

ναρθηκοφόροι μὲν γὰρ πολλοὶ (φησὶ) βάκχοι δέ τε παῦροι.

m γλώττοις Cod. n τραυλάντιοι Cod. o ἰατθὶς Cod.

τοῦτο δὲ καὶ ὁ ἐμὸς φιλάνθρωπος καὶ δεσπότης ἔφη Χριστός· "πολλοὶ γὰρ" εἶπε "κλητοὶ, ὀλίγοι δὲ ἐκλεκτοί."

Καὶ Ἀνάχαρσιν δὲ τὸν Σκύθην φιλόσοφον γεγενῆσθαι φασίν· οὕτω δὲ αὐτὸν ὁ τῆς φιλοσοφίας ἐπυρπόλησεν ἔρως, ὡς ὀνομαστότατον γενέσθαι καὶ πᾶσιν ἀοίδιμον· οὐ γὰρ μόνον ἐγρηγορὼς πρὸς τὰ τῆς ψυχῆς ἠγωνίζετο πάθη, ἀλλὰ καὶ καθεύδων τὰ τῆς ἐγκρατείας παρεδήλου σημεῖα· εἰώθει γὰρ τῇ λαιᾷ μὲν τὰ αἰδοῖα κατέχειν, τῇ δεξιᾷ δὲ τὰ χείλη συνέχειν· ταύτῃ πῃ δηλῶν, ὡς πολλῷ μείζων ἐστὶν ἡ ἀγωνία τῆς γλώττης· καὶ μείζονος ἐπικουρίας εἰς ἀσφάλειαν δεῖται.

Ἀντισθένης ὁ Κυνικὸς τοῦ ἥδεσθαι τὸ μαίνεσθαι κρεῖττον εἴρηκεν εἶναι. διὸ καὶ παρῄνει τοῖς γνωρίμοις, μὴ δὲ δάκτυλον ἐκτεῖναι ποτὲ εἵνεκα ἡδονῆς[p].

Τὰ ἀναπείθοντα, ἤγουν μὴ πεινῶντας ἐσθίειν· καὶ ἀντὶ διαίτης λιτῆς Σικελιῶτις γαστρὸς τράπεζα Συρακουσίας ἀπολαύων χλιδῆς.

Fol. 63. Λάσσος ὁ Ἑρμιονεὺς[q] ἐρωτηθεὶς ὑπό τινος τί εἴη σοφώτατον, πεῖρα ἔφη. Οὐ προσποιεῖσθαι δεῖ φιλοσοφεῖν· οὐ γὰρ προσδεόμεθα τοῦ δοκεῖν ὑγιαίνειν, ἀλλὰ τοῦ κατὰ ἀλήθειαν ὑγιαίνειν.

Ἐρωτηθεὶς τίς αὐτοῦ διδάσκαλος γεγονὼς εἴη· τὸ τῶν Ἀθηναίων ἔφη βῆμα· ἐκφαίνων, ὅτι ἡ διὰ τῶν πραγμάτων ἐμπειρία, κρείττω πάσης σοφιστικῆς διδασκαλίας ἐστίν.

Αἱ μεγάλαι φύσεις καθότι ἂν τῆς πολιτείας τὴν ῥοπὴν δῶσι, μεγάλα τὰ ἀποτελέσματα δρῶσι·

Φύλλων λαγωοὺς ἐκφοβοῦσιν οἱ κτύποι·
ἄνδρας δ' ἀνάνδρους αἱ σκιαὶ τῶν πραγμάτων.

Οὐ μετανοεῖν ἀλλὰ προνοεῖν δεῖ τὸν σόφον ἄνδρα.

Ῥίζα τῶν περὶ τὸν βίον πλημμελημάτων ἐστὶν ἡ περὶ τὸν λαιμὸν ἀσχολία.

Εὐριπίδου·

Οὐκ ἔστιν εὑρεῖν βίον ἄλυπον ἐν οὐδενί.

p Cod. ἠδῆς. q ἑρμνεὺς Cod.

Ἀνὴρ ὑπνώδης εὑρέτης ὀνειράτων.

Δημοκρίτου. Οἱ ἡμερήσιοι ὕπνοι, σώματος ὄχλησιν, ἢ ψυχῆς ἀδημοσύνην, ἢ ἀργίην ἢ ἀπαιδευσίην, σημαίνουσι.

Μενάνδρου. Ὕβρις καὶ οἶνος ἀποκαλύπτειν εἰώθασι φίλοις τὰ ἤθη τῶν φίλων.

Τὸ μὲν πρῶτον ὑγείας· τὸ δεύτερον ἡδονῆς· τὸ τρίτον ὕβρεως· τὸ δὲ τελευταῖον μανίας.

Ἐν οἴνῳ μὴ πολυλόγει ἐπιδεικνύμενος παιδείαν, χολερὰ γὰρ ἀποφθέγξῃ.

Φίλωνος. Ἀναισχυντία μὲν ἴδιον φαύλου· αἰδὼς δὲ σπουδαίου· τὸ δὲ μὴ αἰσχύνεσθαι, μήτε ἀναισχυντεῖν, τοῦ ἀκαταλήπτως ἔχοντος καὶ ἀσυγκαταθέτως.

Ἀναιδὲς βλέμμα καὶ μετέωρος αὐχὴ, καὶ συνεχὴς κίνησις ὀφρύων, καὶ βάδισμα σεσοφισμένον· καὶ τὸ ἐπὶ μηδενὶ τῶν φαύλων ἐρυθριᾶν, σημεῖα ψυχῆς ἐστιν αἰσχίστης· τοὺς ἀφανεῖς τῶν οἰκείων ὀνείδων τύπους ἐγγραφούσης τῷ φανερῷ σώματι.

Τὸ μὴ αἰσχύνεσθαι κακὸν ὄντα κακίας ὑπερβολή.

Εὐριπίδου· θράσει μὲν οὐδεὶς οὐδέπω· πόνῳ δὲ καὶ γενναιότητι καὶ ἐπιεικείᾳ ἀρετὴν ἐπεκτήσατο.

Μενάνδρου·

οὐκ ἔστιν ἀνοίας οὐδὲν ὡς ἐμοὶ δοκεῖ
τολμηρότερον.
Γῆρας λέοντος, κρεῖσσον ἀκμαίων νεβρῶν.

Ἐπίχαρμος·

φύσις ἀνθρώπων ἀσκοὶ πεφυσημένοι.

Ἀρχὴ γνώσεως τῆς ἀγνοίας ἡ γνῶσις· δεῖ δὲ πρὸς τούτῳ καὶ τὰ πονηρὰ παθήματα τῆς ψυχῆς ἀπελᾶσαι· εἶθ' οὕτως τὰ θεῖα προσδέξασθαι· καὶ τοῦτο δὲ πάλιν ὁ Πλάτων ἐδίδαξεν εἰπών· οὐ γὰρ καθαρῷ καθαροῦ ἐφάπτεσθαι μὴ οὐ θεμιτὸν εἶναι· τοῦτο δὲ καὶ Ὀρφεὺς φησί·

φθέγξομαι οἷς θέμις ἐστὶ, θύρας δ' ἐπίθεσθε βέβηλοι.

ξυμφωνεῖ δὲ καὶ Εὐριπίδης εἰπὼν,

ἄρρητα βακχευτοῖσιν εἰδέναι βροτῶν.

τοῖς γὰρ ἀμυήτοις πῶς ἄν τις προσενέγκοι τὰ θεῖα παιδεύματα; πῶς δὲ ἂν μυηθείη τις, μὴ τῇ πίστει κρατύνας ἐν ἑαυτῷ τὰ παρὰ τῶν διδασκάλων προσφερόμενα δόγματα; πῶς δ' ἂν πιστεύσειε μὴ πρότερον ἐξορίσας τῆς διανοίας τὰ κακῶς προεντεθέντα μαθήματα; ἀληθὴς ἄρα ὁ τραγικὸς λόγος ἐκεῖνος, ὃν ἐν Φοινίσσαις εἴρηκεν Εὐριπίδης·

ὁ δὲ ἄδικος λόγος
νοσῶν ἐν ἑαυτῷ φαρμάκων δεῖται σοφῶν.

ὅτι δὲ καὶ συνεργεῖ ὁ Θεὸς τοῖς ἀπολαῦσαι θεραπείας ἐφιεμένοις ὁ αὐτὸς τραγοποιὸς ἔφη·

τῷ δ' αὖ πονοῦντι καὶ θεὸς ξυλλαμβάνει.

F. 68. Ταῦτα τῆς Ἀντισθένους ἀλαζονείας, καὶ τῆς Διογένους ὀψοφαγίας, καὶ τῆς Κράτητος κοινογαμίας.

F. 77. Ὥσπερ ἐν ὀφθαλμῷ καὶ ὀφρύων καὶ ῥινὸς σχήματος χαρακτῆρές τινες ἐγκάθηνται τοῦ τῆς ψυχῆς ἰδιώματος· ὀφθαλμοὶ γάρ φησιν ὁ Πολέμων "ὑγροὶ λάμποντες ὡς "λιβάδες, ἤθη χρηστὰ ἐκφαίνουσιν."

Fol. 109. 6. Τίνες ἐφεῦρον ἀρχαῖοι τὰς τέχνας· φιλοσοφίαν, ἀριθμητικὴν μουσικὴν, ἀστρονομίαν. Εὐκλείδης, γεωμετρίαν. Ἀπελὴς, βοτανικήν. Δημοσθένης, ῥητορικήν[r]. Παπιανὸς, νομοθεσίαν. Ἄντιλλος, λοχιποιΐαν. Εὔρυνος, τοξοσύνην. Εὐρίδαμνος, θώρακα πολεμικήν. Εὔανδρος, κνημῆδας καὶ ἀσπίδας. Ὀπιανὸς, ἁλιευτικήν. Τριπτόλεμος σπόραν τοῦ σίτου. Πάμφιλος ὀρθογραφικήν. Τιφὺς μαντικὴν (leg. ναυτικήν). Ἀργὸς, ναυπηγίαν. Ἀρχιμήδης[s] μηχανικήν.

Cod. Barocc. 125. fol. 92. 6. Τινὲς γεγόνασιν ἀρχηγοὶ τεχνῶν καὶ ἐπιστημῶν. Ἀπέλλης βοτανικῆς. Δημοσθένης, ῥητορικῆς. Παπιανὸς νομοθεσίας. Ἀντίνος λογοποιΐας. Εὔρυνοος τοξοσύνης. Εὐρύδαμνος Μεσήνιος, θώρακα πολεμικόν. Ἔνανδρος κνημίδα καὶ ἀσπίδα. Ὀππιανὸς, ἁλιευτικήν. Τριπτόλεμος στόρον σίτου. Πάμφιλος ζωγρα-

[r] Cod. ῥητορική. [s] Cod. Ἀσχημίδης.

ἧς ἧς ἧς
φιγήν. Τύφης ναυτικήν. Ὧργος ναυπηγικήν. Ἀρχιμήδης μηχανικῆς.

Ibid. Τῶν δέκα Ῥητόρων ὀνόματα, καὶ πόσα ἔγραψαν, ὡς φέρεται εἰς ἕκαστον.

Ἰσαῖος λόγους σ΄. Ὑπερίδης λόγους ρο΄. Ἰσοκράτης λόγους ο΄. Ἀντιφῶν λόγους ν΄. Δείναρχος λόγους υ΄. Λυσίας λόγους ς΄. Λυκοῦργος λόγους ην΄. Ἀνδοκίδης λόγους μδ΄. Αἰσχίνης λόγους γ΄. καὶ ἔπη ιη΄. Δημοσθένης λόγους οβ΄.

Ἵππων φύσεις κατὰ ἔθνος [t].

Ἀρμένοι ἵπποι κατὰ σῶμα μὲν εὐμεγέθεις εἰσί· χρεμετιστικοὶ, πλατύνωτοι, ῥάχιν ὑπέρσαρκοι· πρωτόμηνοι μὲν ἐπίγρυποι, οἱ δὲ βοώδεις. Ἄραβες δὲ πρὸς τῷ ὄρει τῆς Ἰνδικῆς εὐμεγέθεις, φοίνικες, ὡς ἐπίπαν εἰπεῖν, τὴν χροιὰν, ὑψαύχενες τὴν προνομὴν, σύμμετρον καὶ εὔρυθμον ἔχοντες τὴν κεφαλὴν, καὶ ἡνωμένην σχεδὸν τῷ τοῦ ἱππέως μετώπῳ· κυδροὶ καὶ δυσγαργάλιστοι· πολὺ τὸ τῆς ἱπποτυφίας ἔχοντες· ὑπερήφανόν· (sic) ὀξεῖς σφόδρα· ποδώκεις· γόνατα ὑγρά· τῇ ὁρμῇ τοῦ δρόμου ὅλους ἑαυτοὺς ἐπιδιδόντες· πηδοντες κούφως μᾶλλον ἢ τρέχοντες· γοργοὶ βλέμμα· τὴν οὖρινα κεκραταμένην καὶ ὑδαρεστέραν ἔχοντες· τοὺς κενεῶνας συνεσταλμένοι· καὶ τὸ ἄλλο σῶμα ἰσχνοὶ καὶ οὐ κεχυμένοι· ῥάχιν κοίλην ἔχοντα· πρὸς τὸ καῦμα μὲν ἀπαγορεύοντες· τῷ ἡλίῳ μᾶλλον χαίροντες· τὴν χαίτην εὐφυεῖς· τὴν δίαιταν εὐτελεῖς, ἐμβριθεῖς τὰ ἄλλα· ἀβιάστως τὰς διαβάσεις ποιούμενοι.

Βαρκαῖοι, μήκιστοι τὰς ἐκ τοῦ κενεῶνος εἰς τοὺς ὠμοπλάτας· τούτοις μόνοις τῶν ἵππων ἡ φύσις μείζους ἐδωρήσατο πλευράς· σπάθας γὰρ ἔχουσι δεκατρεῖς, τῶν ἄλλων ἵππων ἐχόντων δώδεκα.

[t] Inter alia frag. e Codd. Bodl. exscripsit doct. vir Cherry, Arch. Seld. 28. cujus hæc nota præfigitur excerpt. "Aliud ex alio MSto frag. communicavit mecum cl. Bernardus."

Δαλμᾶται Ἀρμένοι εἶναί μοι δοκοῦσι καὶ Φρύγες· εἰσὶ δὲ ἐμβριθεῖς· τὴν ῥάχιν κοίλην ἔχοντες, διὰ δὲ τῶν ἰσχίων πλατεῖς· ἡμερώτατοι καὶ εὐπειθέστατοι· μέγιστοί τε καὶ κάλλιστοι, καὶ τῷ φρονήματι ἀνδρειότατοι. Οὐ μὴν γίνονται πολλοὶ τοιοῦτοι.

Θετταλοὶ, μέγεθος μὲν εἰσὶ σύμμετροι· πλευρὰ ἀσαρκότεροι· γαστέρα οὐκ ἰσχνωμένοι· τὸν κενεῶνα βραχεῖς· τράχηλον περιφερεῖς· ἑξῆς τῇ καθεδρᾷ τὰ νῶτα ἰσοτελεῖς.

Κενταύριοί τινες ἵπποι καλοῦνται ἐν Θετταλίᾳ, ὧν ἡ ῥάχις μετρίως κεκοίλαται, εἰς ἀσφαλῆ καθέδραν τοῦ ἱππέος.

Γάλλοι φίλυδροι· θυμώδεις· φιλότιμοι καὶ φιλόνεικοι.

Ἴβερες, μικροὶ καὶ θηρατικοί· πιστεύονται δ' οὗτοι ἀπ' ἀγρίων ἵππων γεγονέναι· λεῖοι· μικρῶς ἄτροφοι· θερατικοί· ὀξεῖς πρὸς δρόμον, βαδίσαι δὲ ἀφυεῖς.

Καππαδόκαι Ἀρμένοι μοι εἶναι δοκοῦσι καὶ Φρύγες· κατὰ τὰ αὐτὰ τοῖς Δαλμάτοις εἰσὶν παρ' αὐτῶν ἐπὶ πολὺ τοιοῦτοι γινόμενοι.

Λύδιοι, μεγάλοι τὰ σώματα· σκελιστοί· τὴν κεφαλὴν προσμήκεις· εὐρύστερνοι· ὄμμα μαλακοί· τὴν ἶριν (leg. οὐρὰν) εὔκομοι· [τὴν οὐρὰν λάσιοι[u].] τὸ εἶδος ἀπειθεῖς καὶ ἐριστικοὶ, δυσχείμεροι· ἀπαλοὶ τὴν σταγόνα· (leg. σιαγόνα) ἀγχίμαχοι· ἀγαθοὶ καὶ ζυγὸν ὑποδοῦναι (ὑποδῦναι leg.) ἄριστοι.

Λίβυες ὀφθῆναι μὲν ἀπρεπέστατοι, καὶ μικροὶ τὰ σώματα· εὔδρομοί τε καὶ λιτοί· κάτω βλέποντες, ἀχαλίνωτοι γάρ εἰσί· [φέρουσι γὰρ καὶ ἀχαλίνωτοι εἶναι[x].]

Λευκανοὶ, φαῦλοι· μικροὶ τὸ σῶμα· δυσώδεις τὸ χρῶμα· αἰσχροὶ τὰς ὄψεις· ὑπὸ ζυγὸν δὲ ἐργατικώτατοι.

Μῆδοι μέσοι τὸ μέγεθος· ὦτα μικρὰ, κεφαλὴν οὐχ ἱππικὴν ἔχοντες οὐ φοβεροὶ, πρὸς δὲ τὸ καῦμα ἀπαγορεύοντες διὰ δύσπνοιαν ῥαδίως.

Μαυρούσιοι ἀνέκπληκτοι πρὸς δόρατα καὶ σάλπιγγας·

u Hæc est glossa pr. sentent. x Est hæc alia gl.

ὠκύτατοι· εὐάγωγοι, ῥάβδῳ γοῦν κατιθύνονται διὰ τὸ πείθειν· ἥκιστα δὲ βουλήμιῶσι (sic), καὶ δίψης ἀνέχονται.

Νησαῖοι[y]· μέγιστοι τὸ σῶμα· ὑγρότατοι

ὑψαύχενες[z], εὔσαρκοι, εὐπειθεῖς, τοῖς ποσὶ γῆν κροτοῦντες.
Ἀδροὶ[a] Θρακῶν ὀλίγον βελτίους· μεγάλοι τὸ μέγεθος· χαλεποὶ τιθασσεύεσθαι, δηκτικώτατοι· ἄρρηκτοι τὰς ὠμοπλάτας.

Σικελοὶ ταυτὸν ἂν ἦσαν τοῖς Λευκανοῖς· ἀχθέντες δὲ ἄμφω καλοὶ γένοιτ' ἄν.

Σαυρομάται, ἄριστοι· μείζους Ἰβήρων εἰσίν· οὐ μὴν εὐσαρκώτατοι, ἀνάγωγοι δέ.

Ὑρκανοὶ, ὀξόφθαλμοι, σκιρτητικοὶ, τὸν ἀναβάτην, εἰ πέσοι περιμένοντες, ὑγρο[σκ]σελεῖς, πολεμικοὶ, ἁμιλληθῆναι δυνάμενοι· χειλοσιτοῦσι δὲ, μᾶλλον κριθοφάγοι ἢ πυρροφαγοῦσι· ὅτι τῇ πόᾳ καὶ τῷ χόρτῳ πρόσεστι ὁ πῶλος πλήρης ἀλγεῖ· γένοιτο δ' ἂν τινες κάλλιστοι παιδοτρόφοι.

Exc. e Cod. Barocc. 50. fol. 350.

ΦΥΣΙΟΛΟΓΗΜΑΤΑ ΠΕΡΙ ΖΩΩΝ.

Περὶ Λέοντος.

Τρία πέφυκεν ἐν τῇ τοῦ λέοντος φύσει ἐνεργητικῶς τινα τελούμενα ἰδιώματα· πρῶτον βαδίζων ὧδε κἀκεῖσε ἐν λόχμαις ἢ ἐν ὄρεσιν, μή πως γνωσθείη παρ' αὐτῶν κυνηγεῖσαι αὐτὸν σπευδόντων, τῇ κέρκῳ αὐτοῦ τὰ ἴχνη ὁμαλίζει, μήπως δι' αὐτῶν γνωσθῇ· ὅπου δ' ἂν καθεύδει κυταζόμενος· φασὶ καὶ διενέδρα ζώων. Δεύτερον ὅταν καθεύδῃ ὥσπερ μὴ ὑπνῶν, οὕτως οἱ ὀφθαλμοὶ αὐτοῦ ἀνεῳγμένοι εἰσίν. Τρίτον ὅταν τίκτει σκύμνον λέαινα, νεκρὸν αὐτὸν γεννᾷ, καὶ τρεῖς αὐτοῦ ἐπιμελῶς ἡμέρας ὁρᾷ μέχρι τῆς τοῦ πατρὸς αὐτοῦ

y Leg. Νισαῖοι. z Vid. esse parv. lacun. in Cod.
a Leg. Ἀδριοὶ scil. Veneti Equi.

ἐλεύσεως· ὅπως τρεῖς αὐτὸν ἐλθὼν εἰς πρόσωπον φυσήσας, ζῶντα τοῦτον ἀπεργάσῃ εἰς διαδοχὴν τοῦ γένους.

Περὶ Σαύρας Ἡλιακῆς.

Πεφυσιολογεῖται καὶ αὕτη· ὡς γηράσασα, πῆρος τοῖς ὀφθαλμοῖς ὁρᾶται αὐγὴν ἡλίου μὴ καθορῶσα· τί οὖν ποιεῖ αὐτοδιδάκτῳ φύσει· ζητεῖ τοῖχον πέτρας ἔχων ῥαγάδα τετραμμένην κατὰ ἀνατολὰς, καὶ εἰσέρχεται ἐν αὐτῇ, καὶ ἀτενίζει κατάντικρυς τοῦ ἡλίου, ὅθεν ἡ φαύσις αὐτοῦ ἐκβλύζει· καὶ ἅμα τοῦ φαῦσαι καθαρῶς τὸν ἥλιον, τὴν ἀχλὺν τῶν ὀμμάτων αὐτῆς ἐκδιώκει καὶ βλέπειν αὐτὴν παρασκευάζει ὁ ἥλιος.

Περὶ Χαραδρίου Πετεινοῦ.

Φασὶν καὶ περὶ χαραδρίου ὅτι περ φησὶν ὁλόλευκόν ἐστιν μὴ ἔχων ὅλως μελάνωμα· τούτου μὲν ἡ κόπρος ἀμβλυοπούντων καθαρὰς τὰς κόρας τῶν ὀμμάτων πασσομένη ἀπεργάζει· καὶ ἕτερον μεῖζον ἔργον δείκνυσιν· ἐὰν νοσηλεύεταί τις, ἔστιν ἰδεῖν τὸν χαράδριον δεικνύοντα, ἢ ζήσεται, ἢ θνήξεται· οὗτος γὰρ εἰ μὲν τελευτῆσαι ὁ νοσῶν μέλλει· τὸ πρόσωπον αὐτοῦ ὁ χαράδριος τρέπει, τοῦ μὴ καθιδεῖν αὐτόν. ἐκ τούτου δὲ γνῶσαν οἱ περὶ τὸν χαράδριον ὅτι θνήσκει· ἐὰν δὲ ἀτενίσει ὁ χαράδριος τὸν νοσοῦντα πρὸς ζωὴν βλέπει, καὶ τότε αἴρει αὐτοῦ τὴν νόσον καὶ ἀνήπταται εἰς τὸν αἴθερα τοῦ ἡλίου, καὶ ἐκκαίει τὴν νόσον ἐκεῖ τοῦ νοσοῦντος, καὶ σκορπίσας αὐτὴν σώζεται ἅμα τῷ νοσοῦντι.

Περὶ Πελεκάνου Φιλοτεκνίας.

Ἔφασαν περὶ πελεκάνου, ὅτι φιλότεκνός ἐστιν πάνυ· καὶ ὑπὸ τῶν νεοσσῶν αὐτοῦ τυπτόμενος, ἀντιτύπτων αὐτοὺς κταίνει[b]· εἶτα μεταμελεῖται καὶ τρεῖς ἡμέρας πενθήσασα ἡ μήτηρ αὐτῇ, τῇ τρίτῃ συμπαθῶς ἡμέρᾳ φλεγομένη τῇ φύσει τὰς πλευρὰς αὐτῆς ἀναπτύσσει ποδῶν τοῖς ὄνυξιν μέχρι ῥοῆς αἱμάτων, καὶ στάζει ἐπ' αὐτὰ τῶν νεοσσῶν ἤδη τεθνηκότων· ἐκ τοῦδε καὶ αὖθις πάλιν ζωοῦνται.

[b] Sic.

Περὶ Ἀετοῦ.

Καὶ τοῦτον φησὶν τὸν ἀετὸν ὅτι γηράσκων ἀμβλυωπεῖ· τί μηχανᾶται· ἔτι μικρὸν βλέπων ζητεῖ πήγην καθαρὰν, καὶ εὑρὼν ἀνήπταται εἰς τὸν αἴθερα τοῦ ἡλίου, καὶ καταφλέγει ἑαυτὸν τῷ καύσωνι· καὶ τὴν λίμην τῶν ὀφθαλμῶν ἀποξέσας, καταβὰς ἐπὶ τὴν πήγην, τρεῖς καταδεύεται καὶ ἀνακαινοῦται.

Περὶ Φοίνικος Ἰνδικοῦ Πετεινοῦ.

Λέλεχαν καὶ περὶ Φοίνικος Ἰνδικὸν πετηνὸν αὐτὸν λέγοντες· οὗτος εἰσέρχεται εἰς τὰ ξύλα τοῦ Λιβάνου ἐν τῷ πεντακοσιόστῳ ἔτη τῆς ζωῆς αὐτοῦ μέλλων τελευτᾶν· καὶ συνάγει ἀρώματα καὶ σημαίνει τῷ ἱερεῖ Ἡλιουπόλεως[c] τῷ Φαμενὸθ μηνὶ ἢ τῷ Φαρμουθῇ· καὶ ἐλθὼν ὁ ἱερεὺς ὁρᾷ τὸν βωμὸν[d], ὃν ἐξ ἀρωμάτων ἐσκεύασεν ὁ φοίνιξ, καὶ αἴρει αὐτά· αὐταυτῶν (sic) δὲ ἀμπελίνων ξύλων σχεδιάσας, πληροῖ τὸν βωμόν· εἶτα ἐλθὼν ὁ φοίνιξ εἰς Ἡλιούπολιν[e] ἀνέρχεται ἐπὶ τὸν βωμὸν, τῷ πρωῒ καὶ τὰς ἀκτίνας τοῦ ἡλίου κολποῦται ταῖς πτέρυξιν· καὶ ἑαυτὸν τῷ πυρὶ ἀνάψας, κατατεφροῦται· καὶ τῇ ἐπαύριον ἐρευνῶν ὁ ἱερεὺς τὸν βωμὸν εὑρίσκει ἐν τῇ σποδῷ σκώληκα[f]. τῇ δὲ δευτέρᾳ εὑρίσκει αὐτὸν νεοσσὸν πετηνοῦ· τῇ δὲ τρίτῃ τέλειον πετηνόν· καὶ οὕτως ἀνακαινισθεὶς πορεύεται εἰς τοὺς ἰδίους τόπους.

Περὶ Ἔποπος Πετηνοῦ.

Εἴρηκαν καὶ τοῦτον φυσιολογοῦντες τὸν ἔποπα· ἡνίκα ἔποψ καταγηράσκει οἱ νεοττοὶ αὐτοῦ ἐκτείλλουσιν (sic) τὰς πτέρυγας αὐτῶν τῶν γονέων καὶ νοσοποιοῦσιν αὐτοὺς καὶ νέοι γίνονται μονονουχὶ φθεγγόμενοι, ὡς ὑμεῖς ἡμᾶς νοσοποιήσαντες οὐ κεκμήκατε τρέφοντες, οὕτως ἡμεῖς ὑμᾶς ὠφείλοντες ἀμείψαμεν· ταῦτα καὶ πελαργοὺς δρᾶν ἔφασαν· ὅθεν ἀντιπελαργόματα τὰ εἰς γονεῖς ἀντίδοτα εἴρηνται.

[c] Cod. ἰλίου πόλεως. [d] Cod. βομὸν et sic ubique. [e] Cod. ἰλίου πόλιν. [f] σκόλικα Cod.

Περὶ Ὀνάγρου.

Πάλιν περὶ ὀνάγρου φασὶν, ἡνίκα ἀγελάρχης γένηται, ἐὰν γενήσουν (sic) αἱ νομάδες ἄρρενα· ὁ πατὴρ αὐτῶν ἑκάστου τὰ αἰδοῖα[g] τέμνει, ἵνα μὴ σπερματίζουσιν εἰκῇ ὄντες ἡμίονες.

Περὶ Ἐχίδνης.

Καὶ ταύτης τὰ κατ' αὐτὴν[h] φύσει τελούμενα ἔλεξαν· ὁ μὲν ἀρισφησὶν[i] πρόσωπον ἔχει ἀνδρὸς μέχρι τοῦ ὀμφαλοῦ· ἡ δὲ θηλεία[k] καὶ αὐτὴ γυναικὸς μέχρις ὀμφαλοῦ· καὶ τὴν κάτω οὐρὰς ἔχωσι κροκοδείλων[l]. κόλπον δὲ οὐκ ἔχει ἡ θηλεία καθάπερ τὰ ζῶα μῆτραν, ἀλλ' ὡς ῥαφίδος ὀπήν· ταύτην ὀχεύσας ὁ ἄρρην διὰ στόματος, τέμνει αὐτοῦ ἡ θηλεία ἐν τῇ συμπλοκῇ τὸν αὐχένα, καὶ οὕτως θνήσκει· αὐξάνοντα δὲ ἔνδον τὰ συλληφθέντα, ἐν τῇ ἐξόδῳ κατεσθίουσιν τῆς κυούσης γαστέρα, καὶ θνήσκει κ'αὐτὴ κακῶς τέξασα.

Περὶ Ὄφεως.

Τὸν ὄφιν δὲ φάσκουσιν ὧδε πῶς διηγούμενοι τέσσαρα ἐν τῇ φύσει αὐτοῦ ἰδιώματα[m] ὑπάρχειν· πρῶτον ὅτι πέρ φησιν γηράσκων, τοῦ βλέπειν ἀφῄρηται· ὅτ' ἂν δὲ νέος ὀφθῆναι θέλει· νηστεύει τεσσαράκοντα ἡμέρας καὶ νύκτας τοσαύτας, ἕως αὐτοῦ τὸ δέρρος ἐκ τήξεως χαυνωθῇ· τότε ζητήσας πέτρας ὀπὴν, ἢ ῥαγάδαν γῆς στενὴν, ὅπως δι' αὐτῆς εἰσδὺς βίᾳ θλίψει τὸ σῶμα· τότε τὴν λεβιρὴν (sic) παλαιὰν τοῦ σώματος ἀποδύεται, καὶ νέος δείκνυται. Δεύτερον αὖθις πιεῖν ὕδωρ ἰὼν, οὐ συνέλκει τὸν ἰὸν, ἀλλ' ἐῶν αὐτὸν ἐν τῷ φολεῷ, οὕτως τὸ ὕδωρ πίνῃ. Τρίτον ὅτ' ἂν ἴδῃ ἄνθρωπον γυμνὸν, φοβεῖται καὶ ἀποστρέφεται· ἐὰν δὲ ἠμφιεσμένον, ἅλλεται κατ' αὐτοῦ. Τέταρτον ὅτ' ἂν ἀποκτῆναι αὐτὸν θελήσαντα καθίδει ἄνδρα σπεύδοντα, κεφαλὴν μόνην φυλάττων τὸ λοιπὸν σῶμα προτείνει εἰς θάνατον.

[g] ἐδοῖα Cod. [h] τακαταυτὴν Cod. [i] Leg. Ἀριστοτέλης φησίν. [k] θηλία Cod. [l] κορκοδήλων Cod. [m] ἡδιόματα Cod.

Περὶ Ἀετοῦ.

Καὶ τοῦτον φησὶν τὸν ἀετὸν ὅτι γηράσκων ἀμβλυοπεῖ· τί μηχανᾶται· ἔτι μικρὸν βλέπων ζητεῖ πήγην καθαρὰν, καὶ εὑρὼν ἀνήπταται εἰς τὸν αἴθερα τοῦ ἡλίου, καὶ καταφλέγει ἑαυτὸν τῷ καύσωνι· καὶ τὴν λίμην τῶν ὀφθαλμῶν ἀποξέσας, καταβὰς ἐπὶ τὴν πήγην, τρεῖς καταδεύεται καὶ ἀνακαινοῦται.

Περὶ Φοίνικος Ἰνδικοῦ Πετεινοῦ.

Λέλεχαν καὶ περὶ Φοίνικος Ἰνδικὸν πετηνὸν αὐτὸν λέγοντες· οὗτος εἰσέρχεται εἰς τὰ ξύλα τοῦ Λιβάνου ἐν τῷ πεντακοσιόστῳ ἔτη τῆς ζωῆς αὐτοῦ μέλλων τελευτᾶν· καὶ συνάγει ἀρώματα καὶ σημαίνει τῷ ἱερεῖ Ἡλιουπόλεως[c] τῷ Φαμενὼθ μηνὶ ἢ τῷ Φαρμουθῇ· καὶ ἐλθὼν ὁ ἱερεὺς ὁρᾷ τὸν βωμὸν[d], ὃν ἐξ ἀρωμάτων ἐσκεύασεν ὁ φοίνιξ, καὶ αἴρει αὐτά· αὐταυτῶν (sic) δὲ ἀμπελίνων ξύλων σχεδιάσας, πληροῖ τὸν βωμόν· εἶτα ἐλθὼν ὁ φοίνιξ εἰς Ἡλιούπολιν[e] ἀνέρχεται ἐπὶ τὸν βωμὸν, τῷ πρωῒ καὶ τὰς ἀκτίνας τοῦ ἡλίου κολποῦται ταῖς πτέρυξιν· καὶ ἑαυτὸν τῷ πυρὶ ἀνάψας, κατατεφροῦται· καὶ τῇ ἐπαύριον ἐρευνῶν ὁ ἱερεὺς τὸν βωμὸν εὑρίσκει ἐν τῇ σποδῷ σκώληκα[f]. τῇ δὲ δευτέρᾳ εὑρίσκει αὐτὸν νεοσσὸν πετηνοῦ· τῇ δὲ τρίτῃ τέλειον πετηνόν· καὶ οὕτως ἀνακαινισθεὶς πορεύεται εἰς τοὺς ἰδίους τόπους.

Περὶ Ἔποπος Πετηνοῦ.

Εἴρηκαν καὶ τοῦτον φυσιολογοῦντες τὸν ἔποπα· ἡνίκα ἔποψ καταγηράσκει οἱ νεοττοὶ αὐτοῦ ἐκτείλλουσιν (sic) τὰς πτέρυγας αὐτῶν τῶν γονέων καὶ νοσοποιοῦσιν αὐτοὺς καὶ νέοι γίνονται μονονουχὶ φθεγγόμενοι, ὡς ὑμεῖς ἡμᾶς νοσοποιήσαντες οὐ κεκμήκατε τρέφοντες, οὕτως ἡμεῖς ὑμᾶς ὠφείλοντες ἀμείψαμεν· ταῦτα καὶ πελαργοὺς δρᾶν ἔφασαν· ὅθεν ἀντιπελαργόματα τὰ εἰς γονεῖς ἀντίδοτα εἴρηνται.

[c] Cod. ἰλίου πόλεως. [d] Cod. βομὸν et sic ubique. [e] Cod. ἰλίου πόλιν. [f] σκόλικα Cod.

Περὶ Ὀνάγρου.

Πάλιν περὶ ὀνάγρου φασὶν, ἡνίκα ἀγελάρχης γένηται, ἐὰν γενήσουν (sic) αἱ νομάδες ἄρρενα· ὁ πατὴρ αὐτῶν ἑκάστου τὰ αἰδοῖα[g] τέμνει, ἵνα μὴ σπερματίζουσιν εἰκῇ ὄντες ἡμίονες.

Περὶ Ἐχίδνης.

Καὶ ταύτης τὰ κατ' αὐτὴν[h] φύσει τελούμενα ἔλεξαν· ὁ μὲν ἀρισφησὶν[i] πρόσωπον ἔχει ἀνδρὸς μέχρι τοῦ ὀμφαλοῦ· ἡ δὲ θηλεία[k] καὶ αὐτὴ γυναικὸς μέχρις ὀμφαλοῦ· καὶ τὴν κάτω οὐρὰς ἔχωσι κροκοδείλων[l]· κόλπον δὲ οὐκ ἔχει ἡ θηλεία καθάπερ τὰ ζῶα μῆτραν, ἀλλ' ὡς ῥαφίδος ὀπήν· ταύτην ὀχεύσας ὁ ἄρρην διὰ στόματος, τέμνει αὐτοῦ ἡ θηλεία ἐν τῇ συμπλοκῇ τὸν αὐχένα, καὶ οὕτως θνήσκει· αὐξάνοντα δὲ ἔνδον τὰ συλληφθέντα, ἐν τῇ ἐξόδῳ κατεσθίουσιν τῆς κυούσης γαστέρα, καὶ θνήσκει κ'αὐτὴ κακῶς τέξασα.

Περὶ Ὄφεως.

Τὸν ὄφιν δὲ φάσκουσιν ὧδε πῶς διηγούμενοι τέσσαρα ἐν τῇ φύσει αὐτοῦ ἰδιώματα[m] ὑπάρχειν· πρῶτον ὅτι πέρ φησιν γηράσκων, τοῦ βλέπειν ἀφήρηται· ὅτ' ἂν δὲ νέος ὀφθῆναι θέλει· νηστεύει τεσσαράκοντα ἡμέρας καὶ νύκτας τοσαύτας, ἕως αὐτοῦ τὸ δέρρος ἐκ τήξεως χαννωθῇ· τότε ζητήσας πέτρας ὀπὴν, ἢ ῥαγάδαν γῆς στενὴν, ὅπως δι' αὐτῆς εἰσδὺς βίᾳ θλίψει τὸ σῶμα· τότε τὴν λεβιρὴν (sic) παλαιὰν τοῦ σώματος ἀποδύεται, καὶ νέος δείκνυται. Δεύτερον αὖθις πιεῖν ὕδωρ ἰὼν, οὐ συνέλκει τὸν ἰὸν, ἀλλ' ἐῶν αὐτὸν ἐν τῷ φολεῷ, οὕτως τὸ ὕδωρ πίνῃ. Τρίτον ὅτ' ἂν ἴδῃ ἄνθρωπον γυμνὸν, φοβεῖται καὶ ἀποστρέφεται· ἐὰν δὲ ἠμφιεσμένον, ἅλλεται κατ' αὐτοῦ. Τέταρτον ὅτ' ἂν ἀποκτῆναι αὐτὸν θελήσαντα καθίδει ἄνδρα σπεύδοντα, κεφαλὴν μόνην φυλάττων τὸ λοιπὸν σῶμα προτείνει εἰς θάνατον.

[g] ἐδοῖα Cod. [h] τακαταυτὴν Cod. [i] Leg. Ἀριστοτέλης φησίν. [k] θηλία Cod. [l] κορκοδήλων Cod. [m] ἠδιόματα Cod.

Περὶ Μύρμηκος.

Ξένον τι τὸν μύρμηκα εἰσάγουσιν φυσιολεκτοῦντες· τρεῖς καὶ τοῦτον φάσκοντες φυσικὰς ἐνεργείας ἔχειν· πρῶτον αὐτοῦ ὅτ' ἂν στυχιδὼν (l. στοιχηδὸν) περιπατῶσιν ἐν τῷ στόματι κόκκον ἕκαστος φέρων, συναντῶντες αὐτοῖς ἄλλοι κενοὶ οὐχ ἁρπάζουσιν[n], ἀλλ' ἀπέρχονται συλλέξαι καὶ αὐτοί. Δεύτερον ὅτ' ἂν ὑπὸ γῆν ταμιεύσει τὸν κόκκον· ἡμίτμητον[o] ἐργάζῃ, μήπως νοτισθῇ, καὶ χλοάσαν τὴν τροφὴν ἀπολέσῃ. Καὶ τρίτον σόφισμα μεῖζον. ἐν καιρῷ τοῦ θέρους διατρέχει· συλλέξαι θέλων τὴν τροφὴν αὐτοῦ καὶ μὴ εὑρὼν κατεργασμένον ἐνάλων κόκκον εἰσταλίηα[p] πρὶν θέρους τῶν καλάμων ἑστώτων ἐλθὼν, ἐξ ὀσμῆς διακρίνει τοὺς στελέχους τῶν κόκκων· ὡς ἐκ τοῦδε ἐάσας τὴν κριθὴν, ἀνελθὼν εἰς τὸν τῶν σίτων ἄσταχυν, ῥιπίσας κάτω, συλλὰ[q] τὴν τροφὴν εὐχερῶς.

Περὶ Σηρίνων[r] καὶ Ὀνοκενταύρων.

Τῶν δὲ Σηρίνων καὶ Ὀνοκενταύρων τὰ εἴδη ἔφη τις φυσιολογῶν τοιαῦτα εἶναι. Σηρίνες ζῶα θανάσιμα[s] ἐν τῇ θαλάσσῃ φαίνονται· μοῦσαι δὲ ταῖς φωναῖς μέχρις ὀμφαλοῦ ἀνθρωπόμορφα· ἀπ' ὀμφαλοῦ δὲ καὶ κάτω χηνὸς διάπλασις· ὡς αὔτως καὶ Ὀνοκένταυρος ἀπὸ τὸ στῆθος πρὸς τῇ κεφαλῇ ἄνθρωπος ὁρᾶται· τὸ δὲ λοιπὸν ὄνος.

Περὶ Ἐχίνου ἤτοι Χοιρογρυλλίου.

Λέλεχέν τις περὶ Χοιρογρυλλίου, ἤτοι ἐχίνου χερσέου, ὃς ἀνέρχεται ἐν τῇ ἀμπέλῳ, τοὺς πεπήρους ῥούγας[t] τῆς σταφυλῆς ἐκτείλλων, καὶ ἐν γῇ καταστροννύων· οὓς καὶ κατελθὼν σαυτὸν ὑπτίως ὑφαπλώσας τούτους τῷ νότῳ ἐμπείρας ταῖς ἀκάνθαις· ὄχεται εἰς τροφὴν τῶν ἐνγόνων.

Περὶ Ἀλώπεκος.

Ἀλώπεκος εὐμηχανίαν φυσιολογοῦντες ἔφησαν· ὅτι δολε-

[n] οὐκαρπάζουσιν Cod. [o] εἰμίτμητον Cod. [p] Leg. εἰς τὰ λήϊα. [q] Leg. συλᾷ. [r] Leg. Σειρήνων. [s] Cod. θανάσημα. [t] Cod. ῥόγας.

ρῶς μηχανουργῇ ἀπoροῦσα τροφίων· μὴ εὑροῦσα γὰρ θήραμα, ἐπὶ κοπρίων ὥσπερ τεθνηξομένη καταστρόσαν ἑαυτὴν ὑπτίως· καὶ συνέχει τῆς πνοῆς τὸ ἄσθμα, ὡς ὄγκον ποιήσασα τὸ σῶμα, ὡς ἂν λάθῃ τοὺς ἤβις. Ὅθεν τὰ σαρκοβόρα τῶν ὀρνίθων ταύτην οὕτως ἰδότες, ὡς νεκρὰν αὐτὴν ἀφόβως προσελθόντες, εὐχερῶς ἐζώγρησεν αὐτὰ αὐτῇ τροφὴν εὑροῦσα.

Περὶ Πάνθηρος.

Ζῶον πάνθηρον φυσιολογῶν καὶ τοῦτον ἔφη τις· πάντα μὲν τὰ ζῶα φιλοῦν αὐτὸν ἐχθραίνει μόνῳ τῷ δράκοντι· χροὰ δὲ παμποίκιλος πρᾶον ἥσυχον πλησθὲν βρώσεως· ὑπνοὶ μὲν τριήμερον. ἀνιστῶν τε τῇ τρίτῃ, ἣν ἔχει βοᾷ [u] φωνῇ· ὥστ' ἀκοῦσαι τὰ μακρὰν καὶ τὰ πλησίον ζῶα· ὀσμὴ δὲ φωνῆς αὐτοῦ εὐώδης ἀρωμάτων, ὥσπερ ὁ Σεξοσαρμος, ὁ καὶ ἐναχειρὶμ Ἀστυάγης, ὁ καὶ Βαλτάσαρ, ὅτι τὸν νόμον τὸν λεγόμενον Φαλκήδιον, Αὔγουστος Καίσαρ ἐξέθετο ἀπὸ Φαλκηδίου τοῦ δημάρχου τοῦτο καλέσας.

ΤΙΜΟΘΕΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ ΓΑΖΗΣ ΠΕΡΙ ΖΩΩΝ ΤΕΤΡΑΠΟΔΩΝ ΚΑΙ ΦΥΣΙΚΩΝ ΑΥΤΩΝ ΕΝΕΡΓΕΙΩΝ ΘΑΥΜΑΖΟΜΕΝΩΝ ΠΟΙΗΤΗΚΩΣ ΑΥΤΟΥ ΚΑΛΛΙΕΠΟΥΝΤΟΣ.

Περὶ Καμίλων.

Ὅτι κάμιλοι μέγαν φόρτον φέρειν ἠδύναντο, εἰ μὴ ἀνάγκη ἦν αὐταῖς βασταζούσαις ἀνίστασθαι.

Ὅτι ἐν μεσημβρίᾳ πλέον τῶν ἄλλων ζώων ὁδεύουσιν· καὶ πρὸς ἀστέρας ἐκ νυκτὶ τὰς ὁδοὺς γινώσκουσιν· ὅθεν ἐπ' αὐταῖς οἱ Ἰνδοὶ τὴν χρυσιτὴν κόνην τῶν Ἰνδῶν μυρμήκων κλέπτουσιν πρὸς ἀνατολὰς ὁδεύοντες.

[u] βοᾶ Cod.

Ὅτι τῶν μυρμήκων τὸ καῦμα ἐν τοῖς φολεοῖς διατριβόντων, κλέπτουσιν οἱ Ἰνδοὶ τὴν αὐτῶν χρυσὴν κόνην.

Ὅτι ζεύξαντες καμίλους τρεῖς, ὧν δύο ἄρρενας καὶ ἐν μέσῳ γεννήσασαν θηλίαν, καὶ φορτάσαντες φεύγουσι [x] τοὺς μύρμηκας· διὰ δὲ τὸ μὴ καταληφθῆναι, ἐλαύνουσιν· καὶ τῶν ἀρρένων ἕπεσθαι μὴ δυναμένων, ἡ θηλία μόνη ἀντέχει, κακείνους ἕλκει διὰ τὸ γέννημα αὐτῆς σπουδάζουσα [y].

Ὅτι δίκυρτοι εἰσὶν αἱ Βακτριαναὶ κάμιλοι.

Ὅτι εὐνουχίζουσι τοὺς ἄρρενας, ἵνα μὴ ἐν πολέμῳ ἀτακτοῦσιν.

Ὅτι ἓν μονὸν τίκτει ἡ κάμιλος· καὶ οὐδέποτε δίδυμα· ὅτι ὁ ἄρσην ἐν τῷ ὀχεύειν, ἐὰν ἴδῃ ἄνθρωπον, μαίνεται ἀνελεῖν· ἐὰν δὲ ὁ καμιλίτης ποιήσει αὐτὸν ἀγνοοῦντα συγγένεσθαι μητρὶ ἢ ἀδελφῇ, ἀναιρεῖται ὑπ᾽ αὐτοῦ.

Περὶ Κροκοδήλου.

Ὅτι οἱ κροκόδηλοι ἐν δύω μόνοις ποταμοῖς διατρίβουσιν· ἐν τῷ Νείλῳ καὶ ἐν τῷ Ὑδάσπῃ.

Ὅτι κροκόδηλος λέγεται λαβὼν τὸ ὄνομα ἀπὸ τοῦ χερσέου κροκοδήλου.

Ὅτι ἡνίκα δάκῃ ἀντιπεπηγότες ἀλλήλοις οἱ ὀδόντες, ἐὰν μὴ τὴν σάρκα συνεξέλωσιν, οὐκ ἀπαλάσσονται.

Ὅτι τοῦ ζώου τούτου μόνου ἡ ἄνω γενὺς [z] κινεῖται, ἡ κάτω δὲ οὐ.

Ὅτι σίδηρος οὐ διαπερᾶ αὐτοῦ τὸ δέρμα.

Ὅτι ἓν ὀστοῦν διήκει ἀπὸ τῆς αὐτοῦ κεφαλῆς ἑὼς οὐρᾶς, καὶ κάμψαι αὐτὸν οὐ δύναται.

Ὅτι ἀλειφόμενος ἀνὴρ λίπῃ κροκοδήλου πηδᾶ εἰς τὸν Νεῖλον, καὶ ἀγρεύει αὐτὸν, ἐν ποδὶ στρέφον ὕπτιον.

Ὅτι ἡ οὐρὰ αὐτοῦ μακρὰ καὶ ὀξεία, ἐν ᾗ πολλάκις τύπτων ἀναιρεῖ.

Ὅτι ταῦρον ἕλκει εἰς τὸν ποταμὸν καὶ κατεσθίει.

Ὅτι ἐὰν δάκει τινὰ, συνάγονται περὶ αὐτὸν τὸν δηχθέντα

[x] Cod. φεύουσι.

[y] Hæc habet Herodot. III. 56. quem bene explicat.

[z] Cod. γενίς.

ἔλουροι πάνυ πολλοὶ, ὥστε αὐτὸν προσουρῆσαι, καὶ τοῦτο ποιοῦντες ἔσθ᾽ ὅτε ἀναιροῦσιν αὐτόν.

Ὅτι τὸ ὠὸν αὐτοῦ ὡς χηνός ἐστιν, καὶ τίκτεται ἀπ᾽ αὐτοῦ κροκόδηλος σμικρὸς ὡς ὁ χερσέος, καὶ τῷ χρόνῳ γίνεται δεκάπηχυς, καὶ πλέον ὅσον γαρζεῖ (sic) αὔξει· τίκτει δὲ ὠὰ ξ΄, καὶ ὀδόντας ἔχει ξ΄, καὶ ζῇ ἔτη ξ΄· καὶ νεῦρα ἔχει ξ΄· καὶ μένει χωρὶς τροφῆς ἡμέρας ξ΄· καὶ συνουσιάζει ξ΄.

Ὅτι ἐάν τις ἀπὸ ἀριστερᾶς αὐτοῦ γνάθου ἀποσπάσει ὀδόντα τὸν πρῶτον ῥηγοπερέτιον (sic) εὐχερῶς παύει.

Ὅτι ὁ τρόχιλος τὸ ὄρνεον προσφιλής αὐτό ἐστιν κατεσθίον τασσαπίσας σάρκας[a] καὶ τὰς βδέλας ἐκ τῶν ὀδόντων.

Ὅτι ὁ τρόχιλος αὐτὸν καθεύδοντα φυλάττει· καὶ ἐὰν ἴδῃ ἀγρευτὰς ἐπερχομένους, ἢ γοῦν τὸν παρὰ τὸν Νεῖλον ἰχνεύμονα, καὶ ἔνυδρον, καὶ ὕλον καλούμενον, εὐθέως κράξας αὐτὸν ἀφυπνίζει, καὶ παρασκευάζει εἰς τὸν ποταμὸν ἀποφυγεῖν. παρὰ γὰρ τὰς ὄχθας φιλεῖ διατρίβειν καὶ καθεύδειν.

Ὅτι ὁ ἰχνεῦμον (sic) ὁ καιῦλος καὶ ἔνυδρος· λέγεται ὁ μὲν ὡς πηλῷ ἑαυτὸν χρήσας[b], ὅπως ὀλισθηρῶς εἰσπηδᾷ εἰς τὸ τοῦ κροκοδήλου στόμα· καὶ οὕτως τὸ ἧπαρ κατεσθίει, καὶ ἀναιρεῖ.

Ὅτι ὁ ἰχνεύμον χρήσας ἑαυτὸν πηλῷ, καὶ ξηράνας πρὸς ἥλιον[c], μάχεται τῇ ἀσπίδι, καὶ κταίνει· καὶ πολλάκις ὑπ᾽ αὐτῆς κρατούμενος, ἔχον αὐτὴν περιπεπλεγμένην, πηδᾷ εἰς τὸ πῦρ, καὶ συναπόλλυται.

Περὶ Ἱπποποτάμου.

Ὅτι ὁ ποτάμιος ἵππος, τῶν ἀμφιβίων ἐστὶν, καὶ τὴν βύρσαν ἔχει ἄτρωτον ὡς ἐπὶ τῶν ἐλεφάντων· ἐσθίει δὲ κροκοδήλους καὶ ἄλλα κήτη.

Ὅτι ὁ ποτάμιος ἵππος σημαίνει τὴν ἀνάβασιν τοῦ Νείλου· πατεῖ[d] γὰρ ἐν τῇ ἰλύι, ἕως ὅπου μέλλει ὕδωρ ἀναβαίνειν, ὃ ἀναβαίνει εἰς τὰ λιήα, καὶ μετρεῖ πρῶτον πόσον δύναται τόπον κατακῆραι· καὶ οὕτως ὑπαναχωρῶν βόσκεται·

[a] Leg. τὰς σαπήσασας σάρκας. [b] Leg. χρίσας. [c] Cod. προσήλιον. [d] πατή.

ἔσθ' ὅτε δὲ πίνων ἐξεμεῖ τὸ ὕδωρ κατὰ τόπους, καὶ πάλιν βλαστάνει.

Ὅτι μετὰ παρθένων γυναικῶν τιθασσεύεται σκύμνος ὤν.

Ὅτι ὁ ὀδοὺς αὐτοῦ ποιεῖ εἰς μαχικὴν διάθεσιν, καὶ τοῖς Αἰθίοψιν γίνεται φάρμακον ἀδηφαγίας· σιτοῦνται γὰρ ὠμὸν[e] ἰχθὺν, καὶ πίνουσιν ὕδωρ τεθολωμένον, καὶ πρὸς τὸ τελευτᾶν γίνονται, εἰ μὴ τὸν ὀδόντα περιδήσονται.

Ὅτι ἡ γαστὴρ αὐτοῦ ἀπελαύνει τὰ σελήνια καὶ δείματα.

Ὅτι τοσαῦτα θεραπεύει, ὅσα τοῦ κάστορος ὁ ὄρχις.

Περὶ Ῥινοκέρωτος.

Ὅτι ὁ ῥινόκερως κατὰ τὸ μέγεθος ἰσόρροπός ἐστιν τοῦ ἱπποποταμίου ἵππου. Οἰκεῖ δὲ παρὰ τῷ Νείλῳ ἐρχόμενος ἀπὸ τοῦ Ὠκεανοῦ· ἔχει δὲ κατὰ τῆς ῥινὸς κέρας ὡς ξίφος· ᾧ καὶ πέτραν διατρίσαι δύναται· καὶ τοῦτο πολλάκις ἐλέφαντα ἀναιρεῖ.

Ὅτι οἱ ῥινοκέρωτες πάντες ἄρσενες εἰσὶν, πόθεν δὲ γεννώμενοι, οὐδενὶ δῆλον.

Ὅτι παρὰ τοῖς Ἰνδοῖς βόες λέγονται· ἐρχόμενοι δὲ ἐπὶ τὸν Νεῖλον ῥινοκέρωτες.

Περὶ Ἱππάγρου.

Ὅτι ὁ ἵππαγρος τοσοῦτον αὐθάδης ἐστὶν, ὡς μηδέποτε ἡμερωθῆναι, μὴ δὲ δουλείαν φέρειν· εἰ δὲ τοῦτο ἀναγκασθείη παθεῖν, λιμῷ φθειρόμενος καὶ τὰ σιτία ἀποφυγὼν, ἀπόλλυται.

Περὶ Ὄνου.

Ὅτι ἐν τοῖς ψυχροῖς φθείρονται ταχέως οἱ ὄνοι.

Ὅτι παρὰ τοῖς Ὑπερβορέοις ὄνους θύουσιν Ἀπόλλωνι διὰ τὴν σπάνην τοῦ ζώου.

Ὅτι ἐν Αἰγύπτῳ τύφος λέγεται ὁ ὄνος.

Ὅτι πάλαι ἐξ ὀστέων ὄνων αὐλους ἐποίουν.

Ὅτι μίαν νόσον ἔχει τὴν μηλίδα.

Ὅτι ἐὰν ὀγκήσηται τοὺς κύ ας (sic) βλάπτει.

[e] Cod. ὁμόν.

Ὅτι τὸν ὄνον ὁ αἴγιθος ὄρνις μισεῖ· ἐὰν γὰρ ὀγκήσηται, πίπτει αὐτοῦ τὰ ὠὰ ἀπὸ τῆς καλιᾶς καὶ τὰ τέκνα.

Ὅτι ἐξ αὐτοῦ καὶ ἵππου γεννῶνται ἡμίονοι.

Ὅτι φθειρὰς οὐ ποιεῖ οὐδὲ κροτόνας, ὡς οἱ βόες· τὰ γὰρ ζωΰφια ταῦτα ἐξ ὑγρότητος καὶ σήψεως γίνονται.

Ὅτι εἰσὶν σύες μονόνυχες καὶ ὄνος Ἰνδὸς κερατώδης· καὶ τὸ κέρας αὐτοῦ ποιεῖ θεραπείαν, καὶ μόνον ἀποφέρεται τῷ βασιλεῖ.

Περὶ Σούβου.

Ὅτι ὁ σοῦβος, ὡς πρόβατόν ἐστι ξανθὸν καὶ λίον· φιλεῖται δὲ ὑπὸ τῶν ἰχθύων ἀμφίβιος ὤν· καὶ νηχόμενος αὐτοὺς κατεσθίει περὶ αὐτὸν συναγομένους· ἀγρεύεται δὲ καὶ αὐτὸς ὑπὸ τῶν ἁλιέων.

Περὶ Βουβάλου.

Ὅτι ὁ βούβαλος ἔχει τὸ μὲν ὅμοιον βοΐ, τὸ δὲ ἐλάφῳ ἐν τῇ Λιβύῃ.

Ὅτι οὐ κοιμᾶται ὁ βούβαλος.

Ὅτι ἔστιν ἕτερος βούβαλος ὑπὲρ τὰς Σάλπεις πλησίον Ῥίνου ποταμοῦ· οὗτος δέ ἐστιν λευκὸς καὶ φώνιος.

Ὅτι ἀγρευθεὶς καὶ ἀπολυόμενος ἐπὶ τὴν ἰδίαν ἔρχεται ὕλην· τοῦτο δὲ ἔχει καὶ ὁ ἄστακος ἐν θαλάσσῃ.

Περὶ Λύγκος.

Ὅτι δύο εἰσὶν γενεαὶ λύγκων· καὶ αἱ μὲν μεγάλαι ἐλάφους ἀγρεύουσιν, αἱ δὲ μικραὶ λαγωούς· καὶ αἱ μεγάλαι κροκοΐδὲς ἔχουσι τὸ δέρμα· αἱ δὲ μικραὶ πυρόν.

Ὅτι πήγνυνται τὰ οὖρα αὐτῶν ὡς γάλα· ἅπερ καλεῖται λυγγούρα.

Ὅτι φιλότεκνον πάνυ αὐτῶν τὸ γένος, καὶ φιλοῦνται ὑπὸ Ἀπόλλωνος, ὡς αἱ σφίγγες ὑπὸ τοῦ Διονύσου.

Περὶ Χαμαιλέοντος.

Ὅτι ὁ χαμαιλέων ἐστὶν ὁ λεγόμενος φυσίγναθος. ἔστι δὲ μεγέθους κροκοδήλου, κυρτὸς καὶ ὀξύλεπτος.

Cod. Bodl. fol. 6. 26. Chart. form. in 12°. sæc. xv.

Ἄνθη καὶ Διάλεκτοι κατὰ Λεσβώνακτα [h].

Οἱ Εὐβοεῖς τοῖς θηλυκοῖς ὀνόμασιν ἀρσενικὰ συνάπτουσιν ἐπίθετα· οἷον "ἁλὸς πολιοῖο." ὁμοίως καὶ τοῖς οὐδετέροις ὀνόμασιν ἀρσενικὰ καὶ θηλυκὰ ἐπίθετα, καὶ μετοχὰς ἀρσενικάς τε καὶ θηλυκάς· οἷον, κόριον καλίστη, μειράκιον λέγων.

Κορίνθιοι, τὸ ἵνα καὶ τί ἂν καὶ ὅπως ὁριστικοῖς συντάττουσιν.

Ἰβύκιόν ἐστι σχῆμα ἐναντίον τῷ Κορινθίῳ· ὑποτακτικὰ ἀνθ' ὁριστικῶν ἔχον.

Χαλκιδεῖς· τὰ ὁριστικὰ τῶν ῥημάτων εἰς μετοχὴν ἀναλύουσι, καὶ ὑπαρκτικὸν ῥῆμα λέγων εἰμί.

Ἀλκμανικὸν σχῆμα· τὶ μεταξὺ δυοῖν ἑνικῶν ὀνομάτων πληθυντικὸν ἔχον ῥῆμα· οἷον, Πλάτων ἐπορεύθησαν καὶ Ἀριστοτέλης.

Κλαζομενεῖς τὸ πορεύομαι εἰς ἀγῶνα, πορεύομαι σὺν ἀγῶνι [i] φασί.

Κολοφώνιόν [k] ἐστι τὸ ἔχον τὴν δοτικὴν ἀντὶ γενικῆς· οἷον, τὴν κεφαλὴν τῷ ἀνθρώπῳ.

Σικελικόν ἐστι τὸ ἔχον τὴν δοτικὴν ἀντὶ γενικῆς τῆς παρὰ προθέσεως προϋπακουομένης· οἷον, "Θέμιδι, δέξατο "δέπας" ἀντὶ τοῦ παρὰ Θέμιδος.

Νησιωτικόν ἐστι τὸ ἔχον τὴν γενικὴν ἀντὶ δοτικῆς· οἷον, "πλούσιος ἦν χρυσοῦ."

Τῶν ἀπὸ Ἀσιάτιδος Ἑλλήνων τὸ τὰ συντασσόμενα δοτικαῖς ῥήματα, συντάττειν αἰτιατικαῖς· καὶ τὸ τὰ συντασσόμενα γενικαῖς αἰτιατικαῖς συντάττειν.

Τρωϊκόν ἐστι τὸ τῇ αἰτιατικῇ χρῆσθαι ἀντὶ γενικῆς· ὁπότε τι δὲ καὶ τὰς αἰτιατικὰς εἰς κτητικὸν μεταλαμβάνουσιν.

Ἀττικῶν ἐστὶ τὸ ἀντὶ γενικῆς τῇ εὐθείᾳ χρῆσθαι· οἷον, δύο σκόπελοι, ὁ μὲν εἰς οὐρανὸν ἱκάνει· ἀντὶ τοῦ δύο σκοπέ-

[h] Cod. pot. λεσβωνάκτη. In multis discrepat Cod. Bodl. ab illis quæ vulgavit Valckenær. cum Ammonio. [i] Cod. συναγῶνι. [k] Cod. Κολοφώιον.

λων· καὶ τὸ ἀντὶ πλαγίων συντάξεως ὀρθαῖς χρῆσθαι· οἷον "Ἀλκιβιάδης ὀφθεὶς, ἀνέστεψαν Λακεδαιμόνιοι·" καὶ τὸ συντάσσειν τοῖς ὑποτακτικοῖς μορίοις εὐκτικὰ ῥήματα· καὶ τὸ γνώτωσαν γνώτων λέγειν· καὶ τὸ μέμφομαι, ὀνειδίζω, ἐνοχλῶ, λοιδοροῦμαι, δοτικὴν συντάττουσιν.

Σημειωτέον δὲ, ὡς τὸ σολοικίζειν ἐνιαχοῦ Ἀττικίζειν ἐστὶν, ἐξ ἀξιώματος τῶν Ἀττικῶν τοῦτο καινοτομούντων.

Χαλκιδεῖς οἱ ἐν Εὐβοίᾳ, τοῖς ῥήμασι τοῖς συντασσομένοις δοτικαῖς αἰτιατικὰς πρότερον ἐπιφέροντες τὰς δοτικὰς συνάπτουσιν· οἷον, Διονύσιος ὁ Χαλκιδεύς. "Μυρίνην τὴν "Ἀμαζόνιδα περιβλεψάμενος, ἔδωκεν αὐτῷ τὰς ἄλλας "Ἀμαζονίδας μετακαλέσασθαι."

Ἰώνων πολλοῖς ἐστι, τὸ πλαγιάζειν ἐπὶ ταῖς εὐθείαις, οἷον, ἐξερχομένου ἔδωκέ μοι ἀντὶ τοῦ ἐξερχόμενος.

Ἰώνων τῶν ἐπὶ Καρίας, τὸ τὰ χαρᾶς καὶ λύπης δηλωτικὰ ῥήματα, γενικῇ συντάττειν ἀντὶ δοτικῆς· οἷον, χαίρω τοῦ ἀνδρὸς, ἀντὶ τοῦ ἀνδρί· καὶ τὸ τῷ κυρίῳ καὶ τῷ προσηγορικῷ ὀνόματι ἄρθρα τιθέναι· οἷον, τὸν Πλάτωνα τὸν φιλόσοφον· τὸ τιθέναι τοῖς ῥήμασι περιτεύουσαν τὴν ἔχων μετοχήν· οἷον, σπεύδεις ἔχων.

Ἰωνικὸν καὶ Δώριον ἐστὶ, τὸ ἀντὶ προστατικῶν ἀπαρέμφατα ἔχειν· οἷον, δοῦναι τὸ βιβλίον, ἀντὶ τοῦ δός· καὶ ὑμεῖς ἄλλοθεν ἄλλος ἐρητεύειν, ἀντὶ τοῦ ἐρητέ.

Τῶν ἐν Πελοποννήσῳ Δωριέων τὸ τῇ δοτικῇ χρῆσθαι ἀντὶ αἰτιατικῆς, παρειλημμένης ἔξωθεν τῆς διὰ προθέσεως· οἷον, τῇ δικαιοσύνῃ νενικήκαμεν.

Δωριέων τῶν ἐπ' Ἰταλίας τὸ, κειμένων ὀνομάτων κυρίου τε καὶ προσηγορικοῦ, τῷ μὲν κυρίῳ προστιθέναι τὸ ἄρθρον· οἷον, τὸν Πλάτωνα φιλόσοφον.

Ἀττικὸν τὸ τῇ δοτικῇ πτώσει γενικὰς ἐπιφέρειν· οὐκ ἂν ἡμῶν συνέβη[1] τοῦτο παθεῖν ἀσεβῶν ὄντων.

Κυμαίων, τὸ τοῖς ἑνικοῖς ὀνόμασι πληθυντικὰς ἐπάγειν ἐπιφοράς· οἷον, ἡ πύλη ἐκλίσθησαν· συστηματικὰ γὰρ ὄντα πρὸς τὸ

[1] Cod. συνέβει.

νοούμενον ἔχει τὴν ἀναφορὰν, ὡς καὶ τὸ, ὡς ἔφασαν ἡ πληθύς.

Θηβαϊκὸν τὸ ἐναντίως ἔχων τούτῳ· πληθυντικοῖς γὰρ ἀρσενικοῖς καὶ θηλυκοῖς ὀνόμασιν ἐπιφέρουσι ῥήματα ἑνικὰ, ὡς τὸ "τοῦ δ' ἦν [m] τρεῖς κεφαλαί."

Τούτου τοῦ σχήματός ἐστι καὶ τὸ οὐδετέροις πληθυντικοῖς ὀνόμασιν ἑνικὰ ῥήματα ἐπάγειν, ὃ καὶ ἑτεράριθμον λέγεται· οἷον

καὶ δοῦρα σέσηπε νηῶν.

Ἀργολιστικὸν [n] ἐστὶν τὸ εὐθείᾳ χρῆσθαι ἀντὶ αἰτιατικῆς τῶν ἑνικῶν οἷον,

φημὶ γὰρ οὖν κατανεῦσαι ὑπερμενέα Κρονίωνα,
ἀστράπτων ἐπιδέξια ἐναίσιμα [o] σήματα φαίνων.

Πειρινθικὸν ἐστὶν τὸ τῇ αἰτιατικῇ ἐπιφέρειν εὐθεῖαν, οἷον, ἐπλέομεν δύο πόλεις ἐκαλῆντο Σηστὸς καὶ Ἄβυδος.

Τυρσηνικόν ἐστιν τὸ τὰς δεούσας προτάττειν πράξεις, ὑποτάττειν· οἷον, περιπατήσας ἀνέστη, ἀντὶ τοῦ ἀναστὰς περιεπάτησε.

Λεσβίων καὶ Θετταλῶν τὸ ἐπὶ τὸ αὐτὸ χρῆσθαι χρόνῳ ἀκαταλλήλῳ ἐνεστῶτι καὶ παρακειμένῳ· οἷον, ἡμεῖς μὲν πορευσόμεθα, οὗτοι δὲ καὶ καθήκασι.

Ῥοδιακόν ἐστι τὸ τὴν σύνταξιν τὴν ἐπάγουσαν αἰτιατικὴν πτῶσιν συντάσσειν δοτικὴν, οἷον, κάλεσον τῷ ἀνθρώπῳ, ἀντὶ τοῦ τὸν ἄνθρωπον.

Τῶν αὐτῶν καὶ τὸ χρῆσθαι τῇ δοτικῇ ἀντὶ εὐθείας· ἀντὶ τοῦ εἰπεῖν ὁ ἀνὴρ παρεγένετο, τῷ ἀνδρὶ παρεγένετο λέγουσιν.

Ἀσιανῶν τὸ τῇ αἰτιατικῇ ἀντὶ εὐθείας χρῆσθαι.

Post alia Grammaticalia parvi pretii seq. Michaëlis Syngeli tractatus de Syntaxi [p], cujus caput περὶ ὑποκοριστικῶν ὀνομάτων excerpere juvat, quia in multis discrepat ab illo quod vulgavit Bekker Anecd. Gr. in Schol. ad Dionys. Thrac. p. 855–57.

[m] Cod. τὸ ἐδ' ἦν. [n] Cod. Ἀργολογιστηκόν. [o] Cod. ἐπιδεξι αἰνέσιμα. [p] Parvum tantum fragm. Opusculi dedit Bachmannus Anecd. Gr. T. II. p. 484. e Cod. Paris.

Τὰ δὲ ὑποκοριστικὰ ἀπόλυτον ἔχουσι τὸ σχῆμα, καὶ τὸ σημαινόμενον μείωσιν ἀσυγκρίτως δηλοῦντα τοῦ πρωτοτύπου· οὐ γὰρ πρός τι ὡς τὰ συγκριτικὰ καὶ ὑπερθετικὰ λέγεται· παράγονται δὲ ἀπὸ κυρίων τε καὶ προσηγορικῶν. ἀπὸ μὲν κυρίων ὡς ἀπὸ τοῦ Ζηνόδωρος, Ζηνᾶς· Μητρόδωρος, Μητρᾶς· Μηνόδωρος, Μηνᾶς· ἀπὸ δὲ προσηγορικῶν ἀπὸ τοῦ ἄνθρωπος, ἀνθρωπίσκος· λίθος, λίθαξ· πάρθενος, παρθενίσκος. γίνεται δὲ τὰ ὑποκοριστικὰ ἢ διὰ γελοῖον, ὥς τε παρ' Ἐπιχάρμῳ Πριαμιλλύδριον [q]· ἢ δι' ἀναγκαιότατα, (sic) ὡς ἐὰν δ' αἰτῇ τις σμικρύνῃ, ἵνα μὴ μεγάλην ποιήσῃ τὴν χάριν· ᾧ κέχρηνται οἱ κωμικοὶ, ὡς ἔχει τὸ παρὰ Μενάνδρῳ λεβήτιον· ἢ διὰ τὸ πρέπον, ὡς παρὰ Ἀλκμᾶνι ἔχοντι τὰς παρθένους ὑποκοριστικαῖς χρωμένας λέξεσι· πρέπει γὰρ τοῦτο παρθένοις. σύνταξιν δὲ τὴν αὐτὴν τοῖς κυρίοις τε καὶ προσηγορικοῖς ἔχουσι πρὸς τὰ ἐπίθετα, ὁμοιογενῶς τε καὶ ὁμοιοπτώτως συντασσόμενα.

Post hunc tractatum seq. varii epimerismi vocum ex Hesiodo ut videtur depromptarum.

Ἡσίοδος γίνεται ἐκ τοῦ ησις, ἧσις ἡ εὐφροσύνη καὶ τοῦ εἴδω τὸ γινώσκω γίνεται ἡσιεῖδος, καὶ ἐκβολῇ τοῦ ι καὶ τροπῇ τοῦ ε εἰς ο Ἡσίοδος. ἴτην παρὰ Ἡσιόδῳ κανόνισον καὶ τὸ ἑτέρηφι.

Tum Διάφοροι Κάνονες καὶ κανονίσματα ἐκλεγέντες ἀπὸ τοῦ Χοιροβοσκοῦ.

Λέγει ὁ κάνων· τὸ δὲ α εἰς η τρέπεται· οἷον, ἀκούω, ἤκουον· τὸ δὲ ἄω, ὃ σημαίνει τὸ πνέω, καὶ τὸ ἀΐω τὸ ἀκούω, οὐκ ἔτρεψαν τὸ α εἰς η, ἵνα μὴ συνεμπέσωσιν ἑτέρῳ σημαινομένῳ ἀΐω· εἰ ἔτρεψε τὸ αι εἰς η, εἶχε συνεμπεσεῖν τὸ ἤϊε, τῷ σημαίνοντι τὸ ἐπορεύετο· τὸ δὲ ἄω, εἰ ἔτρεψε τὸ α εἰς η, εἶχε συνεμπεσεῖν τὸ ἦεν, τῷ σημαίνοντι τὸ ὑπῆρχεν, κ. τ. λ.

Δέδοικα· δείδω τὸ φοβοῦμαι· δείσω, δέδοικα· καὶ ὁ μέσος παρακείμενος δέδοιδα· καὶ διὰ τὴν ἐπαλληλίαν τῶν

[q] Hoc diminutivum exhibet Theognostus sed tacito Auct. nomine. Bekker. Anecd. t. ii. p. 1413.

δασέων ἐτράπη τὸ τελευταῖον δ εἰς κ, καὶ ἐγένετο δέδοικα· ἐτράπη δὲ τελευταῖον καὶ μὴ τὸ πρῶτον ἢ τὸ δεύτερον, ὅτι εἰ ἔτρεψε τὸ πρῶτον δ πάντως ὅτι καὶ τὸ δεύτερον εἶχε τρέψαι· καὶ εἰ ἔτρεψε τὸ δεύτερον, πάντως καὶ τὸ τρίτον· καὶ γὰρ οἱ ἀναδιπλασιασμοὶ ἢ διὰ τοῦ αὐτοῦ συμφώνου γίνεται, ἢ διὰ τοῦ ἀντιστίχου τοῦ ψιλοῦ· οἷον, τέτυφα, κεχειροτόνηκα, τούτου χάριν ἵνα μὴ τράπωσι τὰ β′ δ δ, καὶ ἐκ τούτου παραφθαρῇ ἡ λέξις, οὔτε τὸ πρῶτον οὔτε τὸ δεύτερον, ἀλλὰ τὸ τελευταῖον ἐτράπη· ὁ δὲ Ἀλέξανδρος ὁ Κοτιαεὺς θαυμασίως αὐτὸ σχηματίζει[r]· λέγει γὰρ, ὅτι πολλὰ ῥήματα ἀπὸ μέλλοντος κατάγονται εἰς ἐνεστῶτα, καὶ τρέπουσι τὸ σ εἰς τὸ χ, ἢ εἰς τὸ κ· οἷον, σμῶ, σμήσω, σμήχω· ἐξ οὗ καὶ σμήξω· ὀλῶ, ὀλέσω, ὀλέκω· οὕτως οὖν ἐκ τοῦ δείσω μέλλοντος ἐγένετο ὁ ἐνεστὼς δείκω, κατὰ τροπὴν τοῦ σ εἰς κ· καὶ ἐκ τούτου ἀκολούθως ὁ μέσος παρακείμενος δέδοικα.

Ἐδήδοκα· ἀπὸ τοῦ ἐδῶ, ἐδοῖς· ὁ μέλλων ἐδώσω, ὁ παρακείμενος ἤδωκα, καὶ Ἀττικῶς ἐδήδοκα. τὴν τρίτην συστέλλει.

Ὀρώρει· ὄρρω, ὁ μέλλων ὀρῶ· ὁ παρακείμενος ὦρκα· ὁ μέσος ὦρα, καὶ Ἀττικῶς ὤρωρα· ὁ μέσος ὑπερσυντελικὸς ὠρώρειν, ὠρώρεις, ὠρώρει· Ἰωνικῶς δὲ τὸ μικρόν.

Ἔπεφνον· παρὰ τὸ φῶ, ὃ σημαίνει τὸ φονεύω, γίνεται παράγωγον φένω, καὶ ὁ δεύτερος ἀόριστος ἔφενον, καὶ ἐν συγκοπῇ καὶ μετὰ τῆς ἐπὶ προθέσεως ἔπεφνον.

Νέαται· ἐκ τοῦ νῶ τὸ οἰκῶ· ὁ μέλλων νήσω, νένηκα· ὁ παθητικὸς νένημαι, νένησαι, νένηται καὶ νενήαται Ἰωνικῶς, καὶ ἀφαιρέσει τοῦ ἀναδιπλασιασμοῦ νέαται.

Λάζετο· λήβω τὸ λαμβάνω, ὁ δεύτερος ἀόριστος ἔλαβον· καὶ ἐξ αὐτοῦ λαβάζω· καὶ κατὰ συγκοπὴν λάζω· λάζομαι· ἐλαζόμην, ἐλάζου, ἐλάζετο.

[r] Cf. Etym. M. p. 253, 14.

EXCERPTA VARIA.

Codd. Barocc. 57. f. 202. b. et Canonic. Gr. 41. f. 92.[a]

Ἀρχὴ σὺν Θεῷ τῶν Συντάξεων[b] πῶς δεῖ ὀφείλειν συντάσσειν τὰς ῥηματικὰς λέξεις ἐν ταῖς τοῦ ὀνόματος πτώσεσι.

Ἀρχὴ τοῦ Α.

Ἀγορανομῶ: *γενικῇ. ἀγορανομῶν Ῥωμαίων ἐτελεύτησε Δέκιος.*

Ἀγωνίζονται: *γενικῇ. ἕως ἂν τῶν μαρτύρων[c] ἀγωνίσωνται.*

Ἀγάλλομαι: *δοτικῇ. τῇ χαμευνίᾳ ἠγάλλετο, ἀντὶ τοῦ ἐτέρπετο.*

Ἀγαπῶ τὸ ἀρκῶ: *δοτικῇ. οὐκ ἀγαπῶν τοῖς ὑπάρχουσιν αὐτῷ.*

Ἀγαπῶ τὸ φιλῶ: *αἰτιατικῇ. ἀγαπᾷς με πλέον[d] τούτων;*

Ἀγορεύω: *δοτικῇ. ἀπαγορεύων[e] μυροφόροις χαρὰν ὁ σωτήρ.*

Ἀγλαΐζομαι: *δοτικῇ. τοῖς ἐμοῖς λόγοις ἀγλαϊζόμενος[f].*

Ἀγείρω τὸ συναθροίζω[g]: *αἰτιατικῇ. στρατὸν πολὺν συναγείρας.*

Ἄγω τὸ φέρω[h]: *αἰτιατικῇ. ὁ μὲν τὸν λαὸν ἦγε, ὁ δὲ τὸν ἄγοντα.*

[a] Ambo Chart. form. in 4°. Barocc. XIII. fors. sæc. et integer, Canonic. XIV. sæc. et mutilus. [b] Omnia hæc verba in Suida comparent secundum literarum seriem, sed quod singulare est, sine exemplis in omnibus Codd. [c] *μάρως* Bar. [d] *πλέον* Barocc. etiam 1[a]. man. sed corr. rec. *πλεῖον*. [e] *ὑπαγορεύων* Canon. [f] *ἀπαγλαΐζόμενος* Canon. [g] *τὸ συναθροίζω* om. Bar. [h] *τὸ φέρω* om. Can.

ἉΓΝΊΖΟΜΑΙ[i]: *αἰτιατικῇ. πᾶν μέλος ἁγνισθῶμεν.*

ἉΓΙΆΖΩ: *αἰτιατικῇ. πρόσεισιν εἰς ἁγιασμὸν*[k] *τυχὸν μὲν καὶ τὸν βαπτιστήν.*

ἈΓΝΟΩ͂: *αἰτιατικῇ. ἀγνοῶν αὐτὸς τἀμαυτοῦ ῥήματα.*

Ἄ͂ΓΧΩ: *αἰτιατικῇ. οὕτως ἦγχε τοὺς ἀντιλέγοντας.*

Ἄ͂ΙΔΩ: *δοτικῇ. ᾄδειν δὲ τῷ Κυρίῳ ᾆσμα καινὸν κελευόμεθα.*

ΑἸΔΟΥ͂ΜΑΙ: *αἰτιατικῇ. οὐκ αἰδῇ τὸ τοῦ Ἰησοῦ φιλάνθρωπον;*

ἈΔΙΚΩ͂: *αἰτιατικῇ. οὓς λίαν ἀδικοίην μὴ πάντα τρόπον.*

ἈΘΕΤΩ͂: *γενικῇ. κατάρχων μὲν καὶ ἀθετῶν τοῦ τολμήματος.*

Ὡς ἐπὶ πλεῖστον δὲ *αἰτιατικῇ. ἀθετήσας τίς νόμον Μωσέως χωρίς.*

ἈΘΑΝΑΤΊΖΩ: *αἰτιατικῇ. ἵνα καὶ τὴν εἰκόνα σώσῃ, καὶ τὴν σάρκα ἀθανατίσῃ.*

ἈΚΟΎΩ: *γενικῇ. τοιγαροῦν ἀκούσατε θείας φωνῆς.* Ἐστὶν οὖν καὶ *αἰτιατικῇ. πᾶς ἀκούων μου τοὺς λόγους τούτους.*

ἈΚΡΟΩ͂ΜΑΙ: *γενικῇ. ὁ δὲ τῶν τοῦ βασιλέως νόμων ἀκροώμενος.*

ἈΚΟΛΟΥΘΩ͂: *δοτικῇ. ἀκολουθήσωμεν τῷ ἀγαθῷ δεσπότῃ.*

ἈΚΟΝΤΊΖΩ: *αἰτιατικῇ. γυναῖκες ἀκοντίσθητε φωνὴν ἀγαλλιάσεως*[l].

ἈΚΡΙΒΩ͂: *αἰτιατικῇ. ἠκρίβωσε χρόνον Ἡρώδης ἀστέρος.*

ἈΚΡΟΤΗΡΙΆΖΩ: *αἰτιατικῇ. ἠκροτηρίασεν αὐτοῦ χεῖρας καὶ πόδας.*

ἈΚΉΚΟΑ: *αἰτιατικῇ. ἀκήκοεν ὁ προφήτης τὴν ἔλευσίν σου Κύριε.*

ἈΛΓΩ͂: *γενικῇ. ἀλγῶ σου τῶν ἀπειλῶν δέσποτα*[m].

ἈΛΟΓΩ͂: *γενικῇ. καὶ πατέρων τῶν νόμων ἠλόγησας*[n].

ἈΛΑΘΆΖΩ: *δοτικῇ. ἀλαλάξωμεν τῷ Θεῷ τῷ σωτῆρι ἡμῶν.*

[i] *ἁγνίζω* Can. [k] *ἴσον ἁγιάσων* Canon. [l] Om. Bar.
[m] Om. Canon. [n] Om. Bar.

Ἀλγύνω: δοτικῇ. ἤλγησαν ἐχθροὶ ἀλγύνοντες[o].

Ἀλείφω: αἰτιατικῇ. ἄλειψόν σου τὴν κεφαλήν.

Ἀλλοτριῶ: αἰτιατικῇ. τὴν πίστιν ἀλλοτριῶν.

Ἀλλοτριοῦμαι δὲ γενικῇ ὁ δὲ ἠλλοτρίωται τῶν ὑπαρχόντων.

Ἀμελῶ: αἰτιατικῇ. οὐκοῦν ἀμελητέον τῶν πρὸ ἐμπεσόντων[p].

Ἀμοιρῶ: γενικῇ. ὁ δὲ οὐκ ἀμοιρῶν θείας χαρίτος.

Ἀμφισβητῶ[q]: γενικῇ. ἀμφισβητούντων τῶν χρημάτων.

Ἀμνημονῶ: γενικῇ. διατί[r] ἀμνημονήσας τῶν παραινέσεων.

Ἀμιλλῶμαι: δοτικῇ. τούτων Ἀθανάσιος, τοῖς μὲν ἡμιλλήθη[s].

Ἀμπέχομαι: δοτικῇ. ἠμπέχετο δὲ οὔλῃ[t] χλαμύδι. Ἔστι δὲ καὶ αἰτιατικῇ. μόνην ἀμπεχόμενος ὡς θώρακα[u].

Ἀμύνω τὸ βοηθῶ: δεῦτε φίλοι καὶ μ᾽οἴῳ ἀμύνατε.

Ἀμύνομαι[x] δὲ τὸ τιμωρῶ: αἰτιατικῇ. καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Ἅμα: δοτικῇ. ὁ δὲ ἅγιος Εὐστράτιος ἅμα τῷ Ὀρέστῃ[y] ἔψαλλεν.

Ἀμείβω: αἰτιατικῇ. οὐδὲ γὰρ ἂν καλῶς ἀμειβοίμεν τοὺς ἡμετέρους εὐεργέτας[z].

Ἀμέλγω: αἰτιατικῇ. ὁ πρότερον τὰς ἐλάφους ἀμέλγων[a].

Ἀμφιέννυμι[b]: αἰτιατικῇ. εἰ δὲ τὸν χόρτον τοῦ ἀγροῦ ὁ Θεὸς οὕτω ἀμφιέννυσιν[c].

Ἀμβλύνω: αἰτιατικῇ· τὸ κέντρον τῆς ἁμαρτίας ἤμβλυνας.

Ἀναχωρῶ: γενικῇ. φιλεῖ γὰρ οὔτε ὄψις[d] ἀναχωρεῖν τῶν τερπνῶν.

[o] Om. Bar. [p] ἐμπεσ. om. Can. [q] Om. Bar. [r] διατί om. Can. [s] Bar. ἡμελλήθη. Can. ἡμι. [t] Can. om. οὔλῃ. [u] Om. hæc. Bar. [x] ἀμύνω Can. [y] ὀρέστῳ Bar. [z] ἡμετ. εὐεργ. om. Can. [a] πρότερον μὲν ἐλαφ. ἀλμέγων Bar. [b] Om. Bar. [c] ἀμφιε. Can. [d] οὐ φιλεῖ γὰρ ἡ ὄψις.

’Αναγορεύω[s]: αἰτιατικῇ. ἐπὶ τέλει τῶν ἀγώνων ἀναγορεύει τὸν ἀθλητήν.

’Αναλαμβάνω[t]: αἰτιατικῇ. εἰ γὰρ τὰς ἁμαρτίας ἡμῶν ἀνέλαβε καὶ *

’Αναλῶ: [u]αἰτιατικῇ. ἀναλώσωμεν τὰ πρόσκαιρα χρήματα.

’Ανασώζω[v]: αἰτιατικῇ. ἵνα τὸ ἐμπεπτωκὸς κτῆνος ἀνασώσῃ.

’Αναμένω: αἰτιατικῇ. καὶ οὐδὲ τοὺς ἄγοντας ἀναμείνωσιν[x].

’Αναψύχω[y]: αἰτιατικῇ. οὓς ἄγγελος ἀνέψυχεν.

’Ανορθῶ[z]: αἰτιατικῇ. ἀνορθοῖ Κύριος τοὺς κατεῤῥαγμένους.

’Αναλίσκω: αἰτιατικῇ. μὴ ἀνάλισκε τὸν πλοῦτον εἰς οὐδὲν χρήσιμον[a].

’Ανευφημῶ: αἰτιατικῇ. Πέτρον καὶ Παῦλον συμφώνως[b] ἀνευφημήσωμεν.

’Αντλῶ: αἰτιατικῇ. ἀντλήσωμεν ὕδωρ μετ’ εὐφροσύνης.

’Ανατρέπω: αἰτιατικῇ. ἥτις πάντα ἀνέτρεψεν[c].

’Ανδραποδίζω: αἰτιατικῇ. ῥᾳδίως τοὺς πάντας ἀνδραποδίζοντες.

’Αναβιβάζω: αἰτιατικῇ. ἀνεβίβασεν αὐτοὺς ἐπὶ τῶν μεταφρένων.

’Αναμένω: αἰτιατικῇ. μὴ ἀνάμεινε τὴν σιτοδείαν.

’Αναθεματίζω: αἰτιατικῇ. ἀναθεματίζω τὸ δόγμα ’Αρείου.

’Αναλήψομαι: αἰτιατικῇ. ὀρφανὸν καὶ χήραν ἀναλήψεται.

’Αναχαιτίζω: αἰτιατικῇ. ἀναχαίτισον τὸν ἵππον[d].

[s] Hanc. v. om. Bar. [t] Om. Bar. [u] Canon. ἀναλώσωμεν τὸν πλοῦτον τοῖς πένησιν. [v] Hac. v. car. Bar. [x] ἀναμείνωμεν Bar. [y] Non hab. Bar. exemplum. [z] Om. hanc voc. Bar. sed hab. exempl. sub pr. voc. [a] εἰς μάτην. Bar. [b] συμφώνους ἀνευφημ * * Bar. [c] Hanc v. et tres seq. om. Can. [d] Om. Can.

Ἀνακαινίζω: *αἰτιατικῇ. καὶ ἀνακαινιεῖς*[e] *τὸ πρόσωπον τῆς γῆς.*

Ἀναβάλλομαι: *αἰτιατικῇ. ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον.*

Ἀπελαύνομαι: *γενικῇ. τὸ δὲ καὶ ὕδατος ἀπελαύνεσθαι*[f].

Ἀποβαίνω: *γενικῇ. ἀποβάντες τοίνυν τοῦ πλοίου.*

Ἀπογίνωσκω: *γενικῇ. σὺ δὲ μὴ ἀπογνοῦς σεαυτοῦ*[g].

Ἀπολαύω: *γενικῇ. εἴ τις ἀπολαῦσαι τῶν οὐρανίων ἱμείρεται*[h].

Ἀπορῶ: *γενικῇ. καὶ αὐτῶν σχεδιῶν*[i] *ἀποροῦντες τῶν ἀναγκαίων*[k].

Ἀπανίσταμαι: *γενικῇ. ἀπανίσταται τῆς πατρίδος*[l].

Ἀπέσχομαι: *γενικῇ. εἰ γὰρ ὁ Ἀδαμ ἀπέσχετο τοῦ ξύλου.*

Ἅπτομαι: *γενικῇ. ὁ ἀπτόμενος τῶν ὀρέων καί* *

Ἀποστατῶ: *γενικῇ. ἀποστατήσας τῆς ἐν ὕψει διαγωγῆς.*

Ἀπολείπομαι: *γενικῇ. κο ἐκείνου πάντες ἐπίσης ἀπολει*[i]

Ἀποχωρῶ: *γενικῇ. καὶ ἡμῶν ἀποχωρήσει*[m] *ὁ ἐκείνων ὄλεθρος.*

Ἀπανίσταμαι: *γενικῇ. ἡ φιλεργὸς μέλισσα τῶν σύμβλων ἀπανίσταται*[n].

Ἀπέχω: *γενικῇ. ὡς ἴσον ἀπέχειν εὐτελείας.*

Ἅπτομαι: *γενικῇ. ὁ ἁπτόμενος τῶν ὀρέων καὶ καπνίζονται*[o].

Ἀποστατῶ: *γενικῇ. ἀποστάτησας τῆς ἐν ὕψει διαγωγῆς*[p].

[e] *ἀνακαινιοῖς* Can. [f] Om. Can. [g] Exempl. om. Can. [h] Exempl. hab. Can. sed. v. om. [i] *σχεδῶν* Can. mox *ἀπορούντων.* [k] *τῶν ἀνα.* Can. [l] Hanc et quatuor seq. voc. om. Can. [m] *ἀποχωρίσει* Can. [n] Hanc v. et seq. om. Can. [o] Om. Bar. [p] Om. Bar.

'Αποστεροῦμαι: γενικῇ. εἰ μὴ φέροιμεν τῶν ἁγίων λειψάνων ἀποστερούμενοι.

'Απάρχομαι: γενικῇ. τὴν δὲ τῇ ἀναστάσει ἧς[p] αὐτὸς ἀπήρξατο.

'Αποτυγχάνω: γενικῇ. [q]οἱ δὲ τὸν ἀέρα πλεῖστον παίοντες τῶν ἄλλων[r].

'Απέρρηγμαι: γενικῇ. ταῦτα γὰρ οὐδέποτε ἀλλήλων ἀπέρρηκται[s].

'Αποπειρῶμαι: γενικῇ. ὁ δὲ τῆς τούτου γνώμης ἀπεπείρατο.

'Απελήλαμαι: γενικῇ. οὐκ ἀπεληλάμεθα ἐκκλησιῶν.

'Αποσπῶμαι: γενικῇ. ποικίλων βρωμάτων ἀποσπώμενοι.

'Απερρίφην: γενικῇ. ἀπερρίφειν (sic) τοῦ προσώπου σου[t]. 'Απερρίφη τοῦ προσώπου κυρίου ὁ ἀσεβής[u].

'Απαλλάττω: γενικῇ. ἀπήλλαξας ἡμᾶς πραγμάτων[v].

'Αποπηδῶ: γενικῇ. καὶ μὴ ἀποπηδῶν τῶν κειμένων νόμων. Ἔστι δὲ καὶ αἰτιατικῇ. ἀποπηδῶν τὸν σοφὸν λόγον μὴ δυνάμενον.

'Απῳκισμαι: γενικῇ. ἀπῴκιστο δημοσίας ὀχληρὸν τὸ χωρίον.

'Αποικίζομαι: γενικῇ. δι' ὃν νῦν ὑμῶν ἀποικίζομαι.

'Απόζω: γενικῇ. εἰ γὰρ ἔλθῃς εἰς τὴν αὔριον οἴνου ἀπόζων.

'Απόσχου: γενικῇ. ἥρπασας τὰ ὀθνεῖα, ἀπόσχου τῶν οἰκείων.

'Αποστῆναι: γενικῇ. τίς με ἔπεισεν ἡδέος ἀποστῆναι βίου.

'Αποδημῶ: γενικῇ. πολὺν χρόνον ἀποδημεῖν τῶν οἰκείων.

p ἧς om. Bar. mox ἀπηρρ. q οἱ κοπιῶντες τῶν ἄθλων ἀποτυγχάνουσιν. Can. r Sic Bar. s Hanc et 4 seq. vv. om. Can. t Sic Can. u Sic Bar. v Hanc et 6 seq. vv. om. Bar.

Ἀποδέω: γενικῇ. οὐδὲν ἀποδεῖ τοῦ νῆσος εἶναι[w].

Ἄπαγε: γενικῇ. ἄπαγε τῶν ὕθλων[x]· ἄπαγε τῶν μωρολογιῶν.

Ἀποπάλλω: γενικῇ. καὶ πλέον λαπαδίων τῶν λόφων ἀποπάλλοντας.

Ἀπογεύομαι[y]: γενικῇ. ἠνάγκασεν αὐτοὺς ἀπογεύεσθαι[z] ὑείων κρεῶν[a].

Ἀποτρέχω: γενικῇ. τί μακρὰν τῆς ἀληθινῆς ὁδοῦ ἀποτρέχεις;

Ἀπατθαδίζω: (sic) γενικῇ. καὶ ὁ μὲν τοῦ σώματος ἀπαυθαδιάζει[b].

Ἀποτύχω: γενικῇ. ἀποτυχεῖν δοκεῖ τῶν πραγμάτων.

Ἀπέγνων: γενικῇ. εἰ καὶ μὴ παντάπασιν αὐτῶν ἀπέγνων.

Ἀπολιμπάνομαι: γενικῇ. γραφεῖς τε καὶ πλάσται τῆς ἀξίας ἀπολιμπάνονται.

Ἀπολείπω δὲ αἰτιατικῇ. ἐξ ἀνδρὸς οὐ πρὸ πολλοῦ τὸν βίον ἀπολιπόντος.

Ἀπέχομαι: γενικῇ. καὶ τίς μοι χρεία σιτίων ἀπέχεσθαι;

Ἀπέχω τὸ λαμβάνω, αἰτιατικῇ. ἀπέχω τὰ τροφεῖα ὦ παῖδες.

Ἀπελαύνομαι: γενικῇ. ἀπελαύνονται οἰκιῶν, πόλεων.

Ἀπελαύνω δὲ αἰτιατικῇ. ὅσοι τὸ ἀκάθαρτον πνεῦμα τῆς ψυχῆς ἀπελάσαντες.

Ἀποκρίνομαι: δοτικῇ. ἐρωτῶ[c] σε· σὺ δέ μοι ἀποκρίθητι.

Ἀπειλῶ: δοτικῇ. οὐδ᾽ ἂν ἄλλος ἡμῖν ἀπειλῇ Ἀντίοχος.

Ἀπιστῶ: δοτικῇ. ἀπιστεῖς τῇ θεότητι. τοῦτο[d] οὐδὲ οἱ δαίμονες[e].

[w] Om. Bar. [x] ἄθλων Bar. mox μωριῶν. [y] Ἀπαγορεύομαι Bar. [z] ἀπαγορεύεσθαι Bar. [a] κρεῶν om. Can. [b] Hanc et 9 seq. vv. om. Bar. [c] ἐρωτήσω Bar. [d] τούτῳ Bar. [e] οἱ δ. om. Can.

Ἀποτάσσομαι: δοτικῇ. ἀποτάσσομαι τῷ Σατανᾷ καὶ συντάσσομαι[f].

Ἀπολογοῦμαι: δοτικῇ. πῶς ἀπολογήσομαι τῷ ἀθανάτῳ[g];

Ἀπειθῶ[h]: δοτικῇ. καὶ οἱ πρὸς τὸ ἀπειθεῖν τῷ Θεῷ.

Ἀπόχρη: δοτικῇ. οὐ τοίνυν ἀπόχρη αὐτῷ[i].

Ἀπαξιῶ: αἰτιατικῇ. καὶ σταυρὸν οὐκ ἀπαξιοῦντα.

Ἀπορρίπτω: αἰτιατικῇ. καὶ τὸν παλαιὸν ἄνθρωπον ἀπορρίψαντες[k].

Ἀπέχομαι: αἰτιατικῇ. ἀπέχομαι τὴν τοιαύτην ὕψωσιν.

Ἀπολύω: αἰτιατικῇ ἵνα μὴ νήστεις ὑμᾶς ἀπολύσωμεν.

Ἀπαριθμῶ: αἰτιατικῇ. καὶ μακρὰν ἂν εἴην τὰς τοιαύτας ἀπαριθμεῖν φωνάς.

Ἀποκτείνω: αἰτιατικῇ. πᾶς ὁ ἀποκτείνας Καΐν.

Ἀποκλείω: αἰτιατικῇ. ἀπεκλείσαμεν τοὺς οἰκτιρμοὺς τοῦ Θεοῦ[l].

Ἀποκρούομαι: αἰτιατικῇ. καὶ ἀντιθέταις παλαίοις[m] τὸ πολὺ ἀποκρούονται[n].

Ἀποσείομαι: αἰτιατικῇ. ἐπειδὴ γὰρ πᾶσαν προσβολὴν γενναίως ἀποσεισάμενοι.

Ἀποπτύω: αἰτιατικῇ. καὶ τὴν καλῶς ἔχουσαν εὐλάβειαν ἀποπτύσαντες.

Ἀπατῶ: αἰτιατικῇ. δέδοικα μήπως[o] ὡς ὄφις ἠπάτησεν Εὔαν.

Ἀποβάλλω: αἰτιατικῇ. ἵν' ὃ μὴ φυλάξαντες ἀποβάλλωμεν[p].

Ἀποδοκιμάζω: αἰτιατικῇ. τὸ μὲν σφοδρὸν ἀποδοκιμασθῆναι τῆς ἰατρ *

Ἀποκηρύττω: αἰτιατικῇ. οὓς λόγῳ μὲν ἀπεκήρυξεν.

f καὶ συντ. om. Bar. g Exempl. om. Bar. h Voc. om. Bar. hab. exempl. i Om. Bar. k Hanc et seq. 3 vv. om. Bar. l τοῦ Κυρίου Bar. m Cod. παλαις. n Om. Bar. et 3. seq. o μή με, ἀπατὴς ὡς ὄφις τ. Ε. p Om. Bar. et 7. seq.

Ἀποτίθημι: αἰτιατικῇ. σὺ δὲ ἀποθήσῃ καὶ τὰ δικαίως κτηθέντα.

Ἀποκείρω: αἰτιατικῇ. καὶ τὴν δόξαν τῆς ἐκκλησίας ἀποκείραντες.

Ἀπαιτοῦμαι: αἰτιατικῇ. καὶ τὰ χειρόγραφα τῆς ἀσεβείας ἀπαιτούμενοι.

Ἀποτέμνομαι: αἰτιατικῇ. ὅσην αἱ ὑπερβολαὶ τῶν ὀρῶν ἀποτέμνονται.

Ἀποσκευάζομαι: αἰτιατικῇ. ἐπεὶ δὲ ἀπεσκευασάμεθα τὸ ἀλλότριον.

Ἀποκλαίομαι: αἰτιατικῇ. ὄντως[q] ὑμᾶς ἀπεκλαυσάμην.

Ἀποπέμπω: αἰτιατικῇ. καὶ τοὺς βαρεῖς λύκους ἀποπεμπόμενος[r].

Ἀποκλύζωμαι: αἰτιατικῇ. ἂν τοῖς ποτίμοις τῶν λόγων τοὺς ἁλμύρους ἀποκλύ *

Ἀπογράφω: αἰτιατικῇ. σὺ δὲ ἀπόγραφε δικαίως ἡμᾶς[s].

Ἀπολέγομαι: αἰτιατικῇ. ἔπασχε τὸ Ἰωνᾶ ἀπελέγετο τὴν ψυχήν[t].

Ἀπαγορεύω: αἰτιατικῇ. ἀπαγορεύει Σίμων Πέτρος ὅπερ πείσῃ[u] τάχος.

Ἀπελπίζω: αἰτιατικῇ. μὴ ἀπελπίσωμεν ἑαυτοὺς ἀδελφοί[x].

Ἀποδιδράσκω: αἰτιατικῇ. ἀποδιδράσκουσα τὸ φευκτόν[y].

Ἀποστρακίζω: αἰτιατικῇ. ἄξιον ἀποστρακίζεσθαι τὸν παράνομον.

Ἀποστρέφομαι: αἰτιατικῇ. τὸν θέλοντα ἀπὸ σοῦ δανείσασθαι μὴ ἀποστρέφου.

Ἀποτείνω: αἰτιατικῇ. μακρὸν ἂν πρὸς αὐτὸν ἀπέτεινε λόγον.

Ἄρχω: γενικῇ. καὶ ἄρχετε τῶν ἰχθύων τῆς θαλάσσης,

q οὕτως Bar. r Om. Bar. et seq. s Om. Bar. t Om. Bar. u πείσῃ om. Bar. x ἀδ. om. Can. y Om. Bar. et 3 seq.

καὶ αἰτιατικῇ[z] *ἐγενόμεθα ὡς τὸ ἀπ' ἀρχῆς ὅτε οὐκ ἦρξεν ἡμᾶς. ἐστὶν οὖν καὶ δοτικῇ, ὡς τὸ, ἀρχ' Ἀργείοισι*[a].

Ἀρκῶ: *δοτικῇ. εἰ ἀρκεῖ σοι πρὸς δόξαν. καὶ ἀρκεῖσθε τοῖς ὀψωνίοις ὑμῶν.*

Ἀρέσκω: *δοτικῇ. μὴ δὲ τοῖς πολλοῖς ἀρέσκων.*

Ἀριθμῶ: *αἰτιατικῇ. σὺ μὲν ἀριθμοῖς τὰς μυριάδας.*

Αἴρω: *αἰτιατικῇ. ἵνα κούφως τὸν σταυρὸν αἴρῃς.*

Αἱρετίζω: *αἰτιατικῇ. τὴν Πυθαγόρειον περιοπὴν αἱρετίσας*[b].

Ἀρχιτεκτονῶ: *αἰτιατικῇ. ἀρχιτεκτονεῖ τὴν ἐκκλησίαν.*

Ἁρπάζω: *αἰτιατικῇ. μή ποτε ἁρπάσῃ ὡς λέων τὴν ψυχήν μου.*

Ἀρνοῦμαι: *αἰτιατικῇ. ἡμεῖς δὲ καὶ τὸ συγγενὲς ἀρνησόμεθα.*

Αἰσθάνομαι: *γενικῇ. ἡ δὲ γυνὴ ὡς ᾔσθετο τοῦ κακοῦ.*

Αἴσθομαι: *γενικῇ. αἰσθόμενος τῆς τῶν Ἀγαρηνῶν ἐφόδου*[c].

Ἀστοχῶ: *γενικῇ. μὴ ἀστοχήσω δυσωπῶν τῆς αἰτήσεως.*

Ἀστράπτω: *δοτικῇ. ἀστράπτων τοῖς ὅπλοις.*

Ἀσκῶ: *αἰτιατικῇ. τὸν Θουκυδίδου ἤσκει χαρακτῆρα*[d].

Ἀσπάζω: *αἰτιατικῇ. ἄσπασαι τὴν Μαριάμ.*

Ἀσεβῶ: *αἰτιατικῇ. μὴ ἀσεβεῖν τὸν Θεόν.*

Ἀτενίζω: *αἰτιατικῇ*[e]. *ᾧ οὐ τολμᾷ ἀγγέλων ἀτενίσαι τὰ τάγματα*[f].

Ἀτεκνῶ: *αἰτιατικῇ. ἔξωθεν ἀτεκνώσει αὐτοὺς μάχαιρα*[g].

Ἀτιμάζω: *αἰτιατικῇ. ὁ ἀτιμάζων τὸν*[h] *πένητα παροξύνει*[i] *τὸν ποιητήν*[k].

Αἰτιῶμαι: *αἰτιατικῇ. εἰ μὴ καὶ τὸν ἰατρὸν αἰτιῷτό τις.*

[z] Hæc et quod seq. exempl. om. Bar. [a] Bar. add. Ἀγάμεμνον. [b] Om. Bar. et seq. [c] Om. Bar. et seq. [d] χάρτην Bar. [e] δοτικῇ Can. [f] πλήθη Bar. [g] Om. Bar. [h] τὸν om. Bar. [i] παροργίζει Bar. [k] τὸν ποιη. Can.

Αἰτῶ: αἰτιατικῇ. αἰτεῖτε πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ.

Αὐταρκῶ: αἰτιατικῇ. αὐτάρκησεν αὐτὸν ἐν τῇ ἐρήμῳ.

Αὐγάζω: αἰτιατικῇ. κόσμον ὅλον αὐγάζουσαν τοῖς[l].

Ἀφίσταμαι: γενικῇ. ἀφίσταται τῶν δαιμόνων[m].

Ἀφέμενον: γενικῇ. χρὴ τοίνυν ἀφέμενον τῶν ἀμφισβητήσεων.

Ἀφροντιστῶ: γενικῇ. καὶ ἡ γυνὴ ἠφρόντισε δουλείας.

Ἀφηνιάζω: γενικῇ. ἀφηνιάσαι τῶν αὐτοῦ λόγων.

Ἀφίπταμαι: γενικῇ. ἀφίπταται δὲ τῆς καλιᾶς.

Ἀφηγοῦμαι: γενικῇ. ἀφηγήσατο τοῦ λαοῦ.

Ἀφαιροῦμαι: γενικῇ. ἀφηρέθην τοῦ θείου χαρίσματος.

Ἀφειδῶ: γενικῇ. ἀφείδησας τοῦ σώματος.

Ἀφίημι: γενικῇ. εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν.

Ἀφίεμαι: γενικῇ. ἀφίεταί τις τῶν χειρῶν τοῦ Θεοῦ[n].

Ἀφίημι, ἔστι καὶ αἰτιατικῇ. ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας ἀφίενται[o].

Ἀφαρπάζω: αἰτιατικῇ. ἀφαρπάσας τὸν προφήτην.

Ἀφηρημένος: ἀφηρημένος ὑπ' ἀλαζονίας τὴν αἴσθησιν.

Ἀφέλω καὶ Ἀφελῶ[p]: αἰτιατικῇ. ἀφεῖλεν ὁ Θεὸς πᾶν δάκρυον.

Ἀφίσταμαι: γενικῇ· ἀφίσταται τῶν γηϊνῶν.

Ἄχρι: γενικῇ. ἄχρι ἧς ἡμέρας ἐντειλάμενος.

Ἀρχὴ τοῦ Βῆτα.

Βασιλεύω τὸ δεσπόζω: γενικῇ. τὸ δὲ βασιλέα ποιῶ, αἰτιατικῇ.

Βασκαίνω: δοτικῇ. ταῖς εἰς καλὸν ὁμονοίαις βασκαίνοντες.

[l] Male hoc ex. sub v. αἰτῶ habet Bar. omissis quæ intercedunt. [m] Om. Bar. et 4 seq. [n] Om. Bar. sed subj. προστατικῶς δὲ καὶ αἰτιατικῇ. [o] ἀφ. om. Can. [p] Ἀφελῶ simpl. Bar.

Βαβαί: γενικῇ. βαβαὶ τοῦ θαύματος. βαβαὶ τῶν σῶν μυστηρίων [q].

Βαπτίζω: αἰτιατικῇ. βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα [r].

Βασανίζω: αἰτιατικῇ. οἰκείῳ συνειδότι [s] τὸ κακὸν βασανίζοντες.

Βάλλω: αἰτιατικῇ. τοὺς δὲ πόῤῥω [t] βάλλον τοξεύμασι.

Βαρύνω: αἰτιατικῇ. ἢ τοὺς μισθοὺς βαρύνων [u] ταῖς ὑποχωρήσεσι.

Βαστάζω: αἰτιατικῇ. βαστάζων τὸν σταυρὸν αὐτοῦ [x].

Βδελύσσομαι: αἰτιατικῇ. μὴ βδελυξώμεθα [y] τὸν ὁμόδουλον [z].

Βεβαιῶ: αἰτιατικῇ· καὶ βεβαιῶν τὸν λόγον τῆς ἀληθείας.

Βλέπω: αἰτιατικῇ· βλέπων ὁ λῃστὴς τὸν ἀρχηγὸν τῆς ζωῆς.

Βοῶ καὶ Βοηθῶ: δοτικῇ. ἐβόησέ σοι. ἐβοήθησέ σοι.

Βρύω τὸ πηγάζω: αἰτιατικῇ. βρύουσι τὴν χάριν.

Βυθίζω: αἰτιατικῇ. βυθίζει λεγεῶνας δαιμόνων.

Βρωμῶ: αἰτιατικῇ. βρωμῶ ὡς τὸ πτῶμα.

Ἀρχὴ τοῦ Γάμμα [a].

Γαυριῶ: δοτικῇ. οἱ τῷ πλήθει γαυριόντες.

Γαργαλίζω: δοτικῇ. μὴ μύχοις ὄψοις γαργαλιζόμενοι.

Γεύομαι: γενικῇ· οὐδὲν ἡδύτης τοῦ φωτὸς γευσαμένου.

Γέμω: γενικῇ· ὁ δὲ προυκάθητο γέμων θυμοῦ.

Γεμίζω: αἰτιατικῇ. γεμίσατε τὰς ὑδρίας ὕδατος.

Γεωργῶ: αἰτιατικῇ. οἱ γεωργοῦντες τὸ χώρισμα.

Γελῶ: αἰτιατικῇ. μὴ γελάσῃς τὸ πτῶμα τοῦ πέλας.

Γεννῶ: αἰτιατικῇ. γεννῶσι τὴν πεντηκοστήν.

[q] Sec. ex om. Can. [r] εἰς τὸ ὄν. om. Can. [s] οἰκ. συν. om. Bar. [t] πόρρωθεν βαλλῶν (sic) Bar. [u] οἱ τ. μ. βαρύνοντες Bar. [x] τοῦ Χριστοῦ. [y] βδελυξόμεθα Bar. [z] Seq. deinceps magna lacuna in Cod. Can. usque ad lit. Υ. [a] Γάμα Cod.

Γήμω: *αἰτιατικῇ. γυναῖκα ἔγημαι*[b].

Γίνομαι: *δοτικῇ. γίνομαί σοι* Μωσῆς *νέος.*

Γινώσκω: *αἰτιατικῇ. γινώσκω ἄνερα κατακοιρανέοντα.*

Γνωρίζω: *αἰτιατικῇ. γνώρισόν με* Κύριε, *ὁδὸν ἐν ᾗ πορεύσομαι.*

Γονυπετῶ: *δοτικῇ. προσῆλθε τῷ* Ἰησοῦ *γονυπετῶν αὐτῷ καὶ λέγων.*

Γράφω, τὸ ἐπιστέλλω: *δοτικῇ.* Γράφω *δὲ τὸ κατηγορῶ γενικῇ.* Γράφω *δὲ τὸ ἐκτύπωμα αἰτιατικῇ.*

Γυμνάζω: *αἰτιατικῇ. τὸν πόθον ἡμῶν γυμνάζοντες.*

Γυμνῶ: *αἰτιατικῇ. γυμνώσαντες αὐτὸν ἐξήγαγον ἔξω.*

Ἀρχὴ τοῦ Δέλτα.

Δανείζω: *δοτικῇ. ἐλεῶν πτωχὸν δανείζει* Θεῷ.

Δακρύω: *αἰτιατικῇ. ἐδάκρυσεν ὁ* Κύριος *τὸν* Λάζαρον.

Δεσπόζω: *γενικῇ. ὅτι αὐτὸς δεσπόζει τῶν ἐθνῶν.*

Δέομαι: *γενικῇ. ἐπειδὴ μείζονος ἐδεῖτο τοῦ βοηθήματος.*

Δεικνύω: *δοτικῇ. γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν.*

Δείκνυμι: *δοτικῇ. ἔτι καθ' ὑπερβολὴν ὁδὸν ὑμῖν δείκνυμι.*

Δεῖ: *δοτικῇ. οὐδὲν δεῖ σοι τῶν ἀμα * ω * ἅπτεσθαι.*

Δέχομαι: *αἰτιατικῇ. δέχομαι τὴν* Παύλου *φωνήν.*

Δημηγορῶ: *δοτικῇ. μετὰ τὴν στρατιὰν, τῇ πόλει δημηγορῶν.*

Δηλῶ: *δοτικῇ. οὐκ ἐδήλωσάς μοι ὃν συναποστελεῖς.*

Δημιουργῶ: *αἰτιατικῇ. δημιουργήσας τὸν μέγα*[c] *ὀφθαλμὸν τῆς ἡμέρας.*

Διαπίπτω: *γενικῇ. τοῦ παραδείσου διέπεσον.*

Διψῶ: *γενικῇ. διψᾷ τοῦ διψᾶσθαι.*

Δίδωμι: *δοτικῇ. δίδωμι ὑμῖν τὴν ἐξουσίαν.*

Διαπιστῶ: *δοτικῇ. εἴτις ἐμοὶ διαπιστεῖ.*

Διαγγέλλω[d]: *δοτικῇ. διάγγελε τὸ μυστήριον τοῖς ἀνθρώποις.*

[b] Sic. [c] Sic. [d] Cod. διαγγέλω.

Διαμαρτύρομαι: δοτικῇ. διεμαρτύρατό μοι· ἐγὼ δὲ κατεγέλουν[e].

Διορίζω: δοτικῇ. ὁ Κύριος ἡμῖν διορίσατο.

Διαλλάττω[f]: γενικῇ. ὕπαγε διαλλάγηθι τοῦ ἀδελφοῦ σου.

Διηγοῦμαι: δοτικῇ. διηγήσαντό μοι παράνομοι ἀδολεσχίαν.

Διαφεύγω: αἰτιατικῇ. ἅπαν βλαβερὸν διαφύγωμεν.

Διασκεδάζω: αἰτιατικῇ. Κύριος διασκεδάζει βουλὰς ἐθνῶν.

Διαπτύω: αἰτιατικῇ. μὴ διαπτύσῃς ἐξορκισμοῦ θεραπείαν.

Διδάσκω: αἰτιατικῇ. καὶ σὺ πρὸ τῆς γενιάδος διδάσκῃς.

Διαβάλλω: αἰτιατικῇ. διέβαλλεν αὐτὸν πρὸς τὸν ἄρχοντα.

Διαλύω: αἰτιατικῇ. πνεῦμα μὲν ἐστὶν, ἀλλὰ διαλύον ὄρη.

Διασπείρω: αἰτιατικῇ. μὴ διασπείρωμεν τὰ πρόβατα.

Διασείω: αἰτιατικῇ. διέσεισε τὴν ἐκκλησίαν ἐπὶ πολύ.

Διαπλέω: αἰτιατικῇ. διέπλει τὴν τοῦ βίου θάλασσαν.

Διχοτομῶ: αἰτιατικῇ. διχοτομοῦσα τὸν πιστὸν ἀπὸ τοῦ ἀπίστου.

Διανύω: αἰτιατικῇ. οὕτω τῆς ὁδοῦ τὸ ἑξῆς νεαροὶ διανύσωμεν.

Διαγράφω: αἰτιατικῇ. διάγραψόν μου τὴν διάνοιαν.

Δικαιῶ: αἰτιατικῇ. οὐαὶ οἱ δικαιοῦντες τὸν ἀσεβῆ.

Δοκῶ: δοτικῇ. τί ὑμῖν δοκεῖ περὶ τοῦ Χριστοῦ;

Δουλεύω: δοτικῇ. δουλεύσατε τῷ Κυρίῳ ἐν φόβῳ.

Δοκιμάζω: αἰτιατικῇ. δοκιμαζέτω ἕκαστος ἑαυτόν.

Δοξάζω: αἰτιατικῇ. δοξάζω τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ τὴν δύναμιν.

Δορυφορῶ: δοτικῇ. δορυφορούμενον τάξεσιν.

[e] κατὰ γέλουν Cod. [f] διαλλάτω Cod.

Δράξομαι: γενικῇ. δράξασθε παιδίας, μήποτε ὀργισθῇ Κύριος.

Δυσκολαίνω: αἰτιατικῇ. τὸν μὲν ἀποδέχεται, τὸν δὲ δυσκολαίνει.

Δυσωπῶ: αἰτιατικῇ. δυσώπησον τὸν ἐλεήμονα Θεόν.

Δωροῦμαι: δοτικῇ. δωρούμενος ἡμῖν τὸ μέγα ἔλεος.

'Αρχὴ τοῦ Ε.

'Εγγίζω: δοτικῇ. ἐγγίσατε ὄρεσιν αἰωνίοις.

'Εγχείρω: δοτικῇ. ἔμελλε τοῖς παρὰ Νεοπτολέμου ἐγχείρεσθαι λόγοις.

'Επίσης: δοτικῇ. ἐπίσης ἡλίῳ γέγονεν ἡ φαῦσις αὐτοῦ.

'Εάλω: γενικῇ. φόνου ἑάλω.

'Εγκαλῶ: δοτικῇ. ὑμῖν ἐγκαλέσωμεν τὰ δέοντα.

'Εγκαλοῦμαι: αἰτιατικῇ. τὰς αἰτίας σχεδὸν ἐγκαλούμεθα.

'Εγκωμιάζω: αἰτιατικῇ. πολλοὶ μὲν ἐγκωμιάζοντες τὸν δίκαιον.

'Εκπίπτω: γενικῇ. ἐξεβλήθη τοῦ παραδείσου ὁ 'Αδάμ. ἔστι καὶ αἰτιατικῇ· ἐξέβαλλον αὐτὸν ἔξω.

'Εκτείνω: αἰτιατικῇ. ὁ ἐκτείνων τὸν οὐρανὸν ὡς δέρριν.

'Εκφεύγω: αἰτιατικῇ. ἂν τὸν γεωργῶν πόνον ἐκφεύγων.

'Εκκαίω: αἰτιατικῇ. ἔκκαυσον τὴν ὀργήν σου.

'Εκτραγῳδῶ: αἰτιατικῇ. ἔλεγξον σοφὸν καὶ ἀγαπήσει σε.

'Ελευθερῶ: αἰτιατικῇ. ἐλευθέρωσον ἡμᾶς.

'Ελεῶ: αἰτιατικῇ. ἐλέησον ἡμᾶς Κύριε.

'Ελπίζω: αἰτιατικῇ. ὁ ἐλπίζων ἐπί σε, οὐκ ἀπόλλυται[g].

'Εμβλέπω: δοτικῇ. ὁ ἐμβλέψας τῇ γυναικὶ πρός τό.

'Εμβοῶ: δοτικῇ. τρανῶς ὁ κήρυξ ἐκβοᾶται τῇ κτίσει.

'Εντρυφῶ: γενικῇ. οἱ τῶν σῶν χαρισμάτων ἀεὶ ἐντρυ *

'Ενθυμοῦμαι: γενικῇ. μήπω τῶν κακῶν βίων ἐνθυμη *

'Εντέλλομαι[h]: δοτικῇ. ταῦτα ἐντέλομαι ὑμῖν ἵνα ἁ *

g 'Απόλυται Cod. h ἐντέλομαι Cod.

Ἑνοῦμαι: *δοτικῇ. Θεὸς θεοῖς ἑνούμενος τὲ καὶ γνωριζόμενος.*

Εὐθύνω: *γενικῇ. εὐθύνω τῆς ἐμφορίας τὸ χάρισμα.*

Ἐννοῶ: *αἰτιατικῇ. ἐννοῶ τὴν ἡμέραν ἐκείνην καὶ τὴν ὥραν.*

Ἐνδύομαι: *αἰτιατικῇ. οἱ ἱερεῖς ἐνδύσασθε δικαιοσύνην.*

Ἐνωτίζω: *αἰτιατικῇ. ἐνώτισαι ὁ* Θεὸς *τὴν προσευχήν μου.*

Ἐξουσιάζω: *γενικῇ. ὁ ζώντων καὶ νεκρῶν ἐξουσιάζων* Θεός.

Ἐξίσταμαι: *γενικῇ. οὔτε τοῦ πατρὸς ἐκστάντος τῆς β * * γεννησίας.*

Ἐξηγοῦμαι: *δοτικῇ. ἃ δε ἑκατέροις ἐξηγῆσθον.*

Ἐξουδενῶ: *αἰτιατικῇ. ἐξουδένωσας πάντας τοὺς ἀποστατοῦντας.*

Ἑορτάζω: *αἰτιατικῇ. πεντηκοστὴν ἑορτάσωμεν.*

Ἐπιθυμῶ: *γενικῇ. τῶν ἀτόπων ἐπιθυμοῦντες.*

Ἐπιβαίνω: *γενικῇ. ἐπέβη τῶν διδασκαλικῶν θρόνων.*

Ἐπιβλέπω: *αἰτιατικῇ. ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με.*

Ἔτυχον: *γενικῇ. ἔτυχον τῶν οὐρανίων γερῶν οἱ ἅγιοι.*

Ἑτοιμάζω: *αἰτιατικῇ. ἑτοίμασον τὴν ψυχήν σου εἰς θάνατον.*

Ἐτάζω: *αἰτιατικῇ. ἐτάζων καρδίας καὶ νεφρούς.*

Εὐχαριστῶ: *δοτικῇ. εὐχαριστήσωμεν τῷ* Κυρίῳ.

Εὔχομαι: *δοτικῇ. ὁ* Κύριος *εὐχόμενος τοῖς θεοῖς.*

Εὐλογῶ: *αἰτιατικῇ. εὐλογήσω τὸν* Κύριον *ἐν παντὶ καιρῷ.*

Εὑρίσκω: *αἰτιατικῇ. εὑρίσκει Φίλιππος τὸν* Ναθαναήλ.

Εὐφραίνω: *αἰτιατικῇ. εὐφράνθην τὴν καρδίαν.*

Εὐφραίνομαι[i]: *γενικῇ. εὐφραίνεται τῶν ἀγαθῶν.*

Εὐεργετῶ: *αἰτιατικῇ. εὐηργέτην τεκοῦσα τὸν τῶν καλῶν αἴτιον.*

[i] Cod. *εὐφραίνωμαι.*

Ἐχθραίνω: δοτικῇ. τοὺς ἐχθραίνοντάς μοι ματαίως.

Ἔχω: αἰτιατικῇ. ἔχεται τῶν ἐγκαινίων οὗς.

Ἀρχὴ τοῦ Ζ.

Ζέω: δοτικῇ. τῷ Πνεύματι ζέοντες· τῷ Κυρίῳ δουλεύοντες.

Ζημιῶ: αἰτιατικῇ. ὅπως μὴ τὰ μέγιστα ζημιωθείς.

Ζηλῶ: αἰτιατικῇ. ζήλωσε Πέτρον καὶ Παῦλον. καὶ δοτικῇ. ἐζήλωκα τῷ Κυρίῳ.

Ζῶ: δοτικῇ. ταχέως πέμψον μοι πρὸς Θεὸν ᾧ ζῷ.

Ζωγρῶ: αἰτιατικῇ. εἶπου ζωγρήσειε τὸ γλυκύτατον.

Ζωοποιῶ: αἰτιατικῇ. καὶ ζωοποιοῦντα νεκρούς.

Ζωννύω: αἰτιατικῇ. ζῶσαι ὥσπερ ἀνὴρ τὴν ὀσφύν σου.

Ζωογονῶ: αἰτιατικῇ. ζωογονῶν τὸν κύκλον τῶν ἀρετῶν.

Ζωγραφῶ: αἰτιατικῇ. Χριστοῦ τὴν ἀνάστασιν ἐζωγράφης.

Ἀρχὴ τοῦ Η.

Ἡγοῦ: γενικῇ. πρόελθε καὶ καθηγοῦ τοῦ σοῦ τεμένου.

Ἥδομαι: δοτικῇ. ὃς ἥδεται τοῦ ψάλλειν.

Αἰδοῦμαι: αἰτιατικῇ. τὴν σὴν σταύρωσιν ὁ ἥλιος ᾐδέσθη.

Ἥκω: αἰτιατικῇ. ἥκω δῶρον φέρων σοι, ὃ εἶδον φίλε.

Ἥλω: ταύτης ὁ μέγας ἧλω Κυπριανός.

Ἡμερῶ: αἰτιατικῇ. ἂν τοῦτο ποιήσῃς, ἡμερώσῃς οὐρανόν τε καὶ γῆν.

Ἡρετίσατο: αἰτιατικῇ. ἡρετίσατο αὐτὴν, εἰς κατοικίαν ἑαυτοῦ.

Ἥττημαι: γενικῇ. ὡς οὐδενὸς ἡττῶντο ογ ͑ γενναῖον. καὶ δοτικῇ. ἥττημαι πάθεσι.

Ἥψατο: γενικῇ. ἥψατό μου τις. καὶ ἴψατο δὲ ἔβλαψεν, αἰτιατικῇ. ἴψατο αὐτὸν καὶ γράφε᾽.

'Αρχὴ τοῦ Θ.

Θαρρῶ: δοτικῇ. εἰ παρὰ τοὺς λόγους μ"γαόδρα τοῖς λόγοις θαρρεῖτε.

Θάλλω: δοτικῇ. τοῖς ἀγαθοῖς τῆς γῆς θάλλοντες.

Θαυμάζω: αἰτιατικῇ. μὴ θαυμάσῃς μηδὲν, ὃ μὴ παραμένει.

Θάλπω: αἰτιατικῇ. ἐθαλπέ τις ἐν κόλποις ὄφιν.

Θάπτω: αἰτιατικῇ. Ἱερουσαλὴμ θάψον τοὺς ἑαυτῆς νέους.

Θεολογῶ: αἰτιατικῇ. θεολογεῖν τὸν Πατέρα καὶ τὸν Υἱόν.

Θέω: τὸ τρέχω αἰτιατικῇ. πάντες Λεωφαλον ἔθεον.

Θερίζω: αἰτιατικῇ. τοσοῦτον θερίσαντες ὅσον ἐσπείραμεν.

Θεραπεύω: αἰτιατικῇ. ἐπιθεὶς τὰς χεῖρας ἐθεράπευσεν αὐτούς.

Θησαυρίζω: αἰτιατικῇ. μὴ θησαυρίσητε θησαυροὺς ἐπὶ τῆς γῆς.

Θήγω, τὸ ἀκονῶ: αἰτιατικῇ. καὶ θήγω τὸ προσεγγίζω γενικῇ.

Θρηνῶ: αἰτιατικῇ. ἐν σταδίῳ τὸν[k] ἐχθρὸν ἐθριαμβεύσατε.

Θρησκεύω: δοτικῇ. οὕτω ἐδω * ων· θρησκεύει Θεῷ.

Θύω: δοτικῇ. θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως. καὶ αἰτιατικῇ. θύσατε θυσίαν δικαιοσύνης.

Θωπεύω: αἰτιατικῇ. πολλὰ οὖν τοῦτον θωπεύσας.

'Αρχὴ τοῦ Ι.

Ἰατρεύω: αἰτιατικῇ. ἡμᾶς αὐτοὺς ἰατρεύσωμεν.

Ἱδρεύω: αἰτιατικῇ. καὶ ἄγαλμα ἱδρυσάμενος.

Ἱερουργῶ: αἰτιατικῇ. ἱερουργήσας ὡς ἄνθρωπος ἑαυτόν.

Ἱκετεύω: αἰτιατικῇ. σὲ ἱκετεύομεν, πρέσβευε δή.

[k] τῶν Cod.

Ἱλάσθητι: δοτικῇ. ἱλάσθητί μοι σωτὴρ, πολλαὶ γὰρ αἱ.

Ἴσχω: αἰτιατικῇ. ἴσχει τὸν θρῆνον ὁ ἐλέφας.

Ἰσχύω: αἰτιατικῇ. καὶ ταῦτα ἴσχυσεν ἡ κακία.

Ἵστημι: αἰτιατικῇ. ὅσον ἐπ' αὐτῷ τὴν νόσον ἔστησεν.

Ἰῶ: αἰτιατικῇ. ἴασαί με Κύριε τὸν ἁμαρτωλόν.

Ἀρχὴ τοῦ Κ.

Καταδικάζω: γενικῇ. αἱ γυναῖκες κατεδίκασαν αὐτόν· καὶ αἰτιατικῇ. σταυρωθῆναί σε κατεδίκασαν.

Καταλαλῶ: γενικῇ. καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κα*

Καρτερῶ: αἰτιατικῇ. καρτερῶν τοὺς βασάνους.

Καταμαρτυρῶ: γενικῇ. οὐκ ἀκούεις πόσα σου καταμαρτύρουσιν.

Καταφρονῶ: γενικῇ. Ἰησοῦς καθαίρεται, καὶ σὺ καταφρονεῖς.

Κατατρυφῶ: γενικῇ. κατατρύφησον τοῦ Κυρίου καὶ δώησοι.

Κατατολμῶ: γενικῇ. ἁμαρτημάτων κατατολμῶ.

Καταβοῶ: γενικῇ. τῆς ζημίας κατεβόων ὡς τυραννίδος.

Καθυλακτῶ: γενικῇ. μὴ καθυλακτεῖν τῶν πέλας.

Καταπτύω: γενικῇ. ἰνδάλματος χρυσοῦ κατέπτυσαν.

Καταληρῶ: γενικῇ. καταληρῶν τῆς ἀθεότητός σου.

Κατισχύω: γενικῇ. κατισχύει τῶν ἐχθρῶν.

Κατηγορῶ: γενικῇ. κατηγορῶν τῆς γραφῆς.

Καλλωπίζομαι: δοτικῇ. τοῖς πράγμασι καλλωπιζόμενος.

Καρποφορῶ: δοτικῇ. ἐκ τῶν ἐνόντων καρποφόρει Θεῷ.

Κατακολουθῶ: δοτικῇ. τῷ τοῦ Χριστοῦ κατηκολούθησαν αἵματι.

Κατασείω: αἰτιατικῇ. μηχανήμασι κατάσειται τὸ ὁμοούσιον.

Καθαίρω: αἰτιατικῇ. καὶ δογμάτων ἀπαιδευσίαν ἐκάθηρεν.

Κατασκηνῶ: αἰτιατικῇ. εἰς τόπον χλοῆς κατασκηνούμενοι.

Καινοτομῶ: αἰτιατικῇ. τοὺς καινοτομοῦντας φύσιν Θεοῦ.

Καταβάλλω: αἰτιατικῇ. τοὺς προφήτας καταβαλῶ τῆς αἰσχύνης.

Καπηλεύω: αἰτιατικῇ. καπηλεύων ὁ δεινὸς Ἰούδας τὸν φιλόθεον.

Καταρτίζω: αἰτιατικῇ. καταρτίσαι μοι τὸν λόγον.

Καθυβρίζω: αἰτιατικῇ. μὴ καθύβρισαι τὸν ἄνδρα.

Κατακρίνω: αἰτιατικῇ. τοὺς πρεσβύτας τῆς αἰσχύνης κατάκρινον.

Καταμανθάνω: αἰτιατικῇ. καταμαθόντες τὸ ἀπατηλόν.

Κηρύττω: αἰτιατικῇ. δημοσίᾳ τοῦτο ἐκήρυττεν.

Κοινωνῶ: γενικῇ. κοινώνησον αἵματος.

Κράζω: δοτικῇ. κράζω σοι Χριστὲ Σωτὴρ, ὡς ὁ ἄσωτος υἱός.

Κρίνω: αἰτιατικῇ. κρῖνον Κύριε δίκαια.

Κτείνω: αἰτιατικῇ. ἀπέκτενον πάντας τοὺς ἁμαρτωλούς.

Κωλύω: αἰτιατικῇ. τὴν κωλύουσαν ῥομφαίαν.

Ἀρχὴ τοῦ Λ.

Λάχω: αἰτιατικῇ. διέπων τὴν λαχοῦσαν αὐτοῦ ἐκκλησίαν.

Λατρεύω: δοτικῇ. λατρεύων αὐτῷ ἐν ὁσιότητι καὶ δίκαι.

Λαλῶ: δοτικῇ. λάλησον τοῖς υἱοῖς Ἰσραήλ.

Λαμπρύνομαι: δοτικῇ. λαμπρυνθῶμεν τῇ πανηγύρει.

Λειτουργῶ: δοτικῇ. ὃς λειτουργῆσαι μεν τῇ πόλει.

Λείβω: αἰτιατικῇ. ἐπὶ δ' αἴθοπα οἶνον λεῖβε.

Λήγω: γενικῇ. λῆγ' ἔριδος, λῆγε θυμοῦ.

Λίγω, τὸ τμνῶ: αἰτιατικῇ. λίγω τὴν χάριν τοῦ ἐμοῦ διδασκάλου.

Λικμῶ: αἰτιατικῇ. οὐ τὸν Ἰσραὴλ ἐλίκμησεν.

Λύω: αἰτιατικῇ. λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου.

Λογογραφῶ: αἰτιατικῇ. λογογραφεῖ τὴν πολιτείαν.

Λύομαι: γενικῇ. Λύω: αἰτιατικῇ. λύε πάντα σύνδεσμον ἀδικίας.

Λυμαίνω: αἰτιατικῇ. ἐλυμήνατο ἡμᾶς ἐκ δρυμοῦ.

Λυπῶ: αἰτιατικῇ. μὴ λύπη μάτην τὸν πλησίον.

'Αρχὴ τοῦ Μ.

Μακαρίζω: αἰτιατικῇ. μακαρίζωμέν σε πᾶσαι.

Μαρτυρῶ: δοτικῇ. μαρτυρήσωμεν τῇ ἀληθείᾳ.

Μέχρι: γενικῇ. ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν.

Μεταλαμβάνω: γενικῇ. μεταλαμβάνει κρατῆρος.

Μεθύω: αἰτιατικῇ. μεθύσω τὰ βέλη μου ἀφ' αἵματος.

Μεγαλύνω: αἰτιατικῇ. μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον.

Μετρῶ: δοτικῇ[m]. μικροῖς μέτροις μετροῦντες.

Μερίζω: αἰτιατικῇ. διεμέριζεν ἔθνη ὁ ὕψιστος.

Μηνίω, τὸ ὀργίζομαι: δοτικῇ. Μηνύω τὸ διαγγέλλω: γενικῇ.

Μίγνυμι: δοτικῇ. μίγνυται τῷ ὁμοίῳ τὸ ὅμοιον.

Μισῶ: αἰτιατικῇ. μισῶ καὶ τὴν δι' ἀέρος συνήθειαν.

Μνημονεύω: γενικῇ. μνημονεύετε τοῦ λόγου[n]

Μύω, τὸ καμμύω[o]: αἰτιατικῇ. Μείω τὸ μανθάνω: γενικῇ.

Μυσταγωγῶ: αἰτιατικῇ. μυσταγωγοῦσα φίλους.

'Αρχὴ τοῦ Ν.

Ναυμαχῶ: δοτικῇ. Κερκυραίοις τε καὶ Πελοπίδαις ἅμα ναυμαχήσομαι.

Ναυαγῶ: αἰτιατικῇ. καὶ ἵνα μὴ ναυαγήσω[p] τὴν ἐλπίδα.

Νεμεσῶ: δοτικῇ. Διῒ δὲ κρατερῶς ἐνέμεσα.

[m] Cod. αἰτιατικῇ corr. rec. m. [n] Add. rec. οὓ ἐγὼ εἶπον ὑμῖν. [o] Cod. καμίω. [p] ναβαγήσω Cod.

ΝΈΜΩ: δοτικῇ. νέμουσι τοῖς ἀνθρώποις τὰ ἀγαθά.

ΝΑΥΑΡΧΩ͂: δοτικῇ. ναυαρχῶν Ῥωμαίοις.

ΝΕΚΡΩ͂: αἰτιατικῇ. νεκρώσας τὰ μέλη τὰ ἐπὶ τῆς γῆς.

ΝΊΠΤΩ: αἰτιατικῇ. νίψας τοὺς πόδας τῶν μαθητῶν.

ΝΟΜΟΘΕΤΩ͂: δοτικῇ. μὴ νομοθετεῖτε τοῖς νομοθέταις. Ἔστιν οὖν καὶ αἰτιατικῇ. νομοθέτησόν με Κύριε τὴν ὁδόν.

ΝΟΜΊΖΩ: αἰτιατικῇ. νομίσας τοῦτον ἄνθρωπον εἶναι.

ΝΥΜΦΑΓΩΓΩ͂: δοτικῇ. οἵτινες κηδεμόνι ἀλλῷ νυμφαγωγοῦσι.

Ἀρχὴ τοῦ Ξ.

ΞΑΊΝΩ: αἰτιατικῇ. οὐ ξανῶ σάρκας ὄνυξι.

ΞΈΩ: αἰτιατικῇ. κἂν τὸν ἰχῶρα ξέῃ.

ΞΗΡΑΊΝΩ: αἰτιατικῇ. ἐξήρανε τὴν χεῖραν[q] φειδωλίᾳ.

ΞΥΡΩ͂ΜΑΙ: αἰτιατικῇ. ξυρᾶται τὴν κόμην τῆς κεφαλῆς.

Ἀρχὴ τοῦ Ο.

ὉΔΟΠΟΙΩ͂: δοτικῇ. ὁδοποιήσατε τῷ λαῷ μου. μ

ὈΔΎΡΟΜΑΙ: αἰτιατικῇ. ὀδύρομαι τὴν ἡμετέραν συ.

ὉΔΗΓΩ͂: αἰτιατικῇ. ὁ ὁδηγήσας τὸν Ἰσραὴλ ἐν ἐρήμῳ.

ΟἿΔΑ: αἰτιατικῇ. τίς οἶδε τὸν τηλικοῦτον.

ΟἸΚΤΕΊΡΩ: αἰτιατικῇ. ὁ Θεὸς οἰκτειρῆσαι ἡμᾶς καὶ εὐ *

ΟἸΚΟΝΟΜΩ͂: αἰτιατικῇ. οἰκονομήσει τοὺς λόγους.

ὈΛΙΓΩΡΩ͂: γενικῇ. μὴ ὀλιγώρει παιδίας Κύριε μὴ δὲ *

ὉΜΟΛΟΓΩ͂: αἰτιατικῇ. ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν· ἔστιν οὖν καὶ δοτικήν· ὁμολογῶ τῷ πλάσαντί με Θεῷ.

ὊΜΝΥΜΙ: δοτικῇ. ὄμνυσί σοι τ' ἀληθὲς ἀδελφέ.

ὉΜΙΛΩ͂: δοτικῇ. κακοῖς ὁμιλῶν ἀνόητος ἔσῃ.

ὉΜΑΛΊΖΩ: αἰτιατικῇ. ὁμαλίσας τὸ πρόσωπον τῆς γῆς.

ὈΝΕΙΔΊΖΩ: δοτικῇ. ὁ Σολομῶν ὀνειδίζει ἡμῖν ἐν λόγοις.

ὈΝΊΝΗΜΙ: αἰτιατικῇ. καὶ ὀνίνησι τὸν ἄρωστον.

ὈΝΩ͂ ΤῸ ὈΦΕΛΩ͂: αἰτιατικῇ. ὀνῶ τὸ μέμφομαι, καὶ αὐτὸ αἰτιατικῇ.

q Sic Cod.

'Οργίζομαι: δοτικῇ. τίσιν ὀργισθῇ πλέον;

'Ραβδίζω[r]: αἰτιατικῇ. ῥαβδίζοντες τυβοὺς[s] ἐνλι[t].

'Ραίνω: αἰτιατικῇ. ῥανάτωσαι ὕδωρ νεφέλαι. [u]ῥάνον ἐφ' ἡμᾶς ὕδωρ καθαρόν.

'Ρήσσω: αἰτιατικῇ. τότε ὁ ἀρχιερεὺς κατέρρηξε τὰ ἱμάτια.

'Ρύομαι: αἰτιατικῇ. ὅς καὶ σωσά * * * ἐρρύσατο.

'Ρυθμίζω: αἰτιατικῇ. ὁ λόγος ῥυθμίζει τὸν ἐνάρεστον ἄνθρωπον.

'Ρυφῶ: αἰτιατικῇ. ῥυφῶ πτισάνης χιλὸν ἀναγκαῖον.

'Ρύπτω: αἰτιατικῇ. ῥύψωμεν τὰ ῥύπη τῶν καρδιῶν ἡμῶν.

'Αρχὴ τοῦ C.

Σαίνω: αἰτιατικῇ. τῶν σαινόντων τὴν αἴσθησιν.

Σαρῶ: αἰτιατικῇ. καὶ τὴν οἰκείαν ἐσάρωσεν.

Σαγηνεύω: αἰτιατικῇ. τὴν οἰκουμένην ὅλην σαγήνευσας.

Σκορπίζω: αἰτιατικῇ. διεσκορπίσθη τὰ ὀστᾶ αὐτῶν.

Σκοπῶ: αἰτιατικῇ. σκόπει τὸν 'Ενὼχ ποίας εἴληφε χάριτος.

Σοφίζω: αἰτιατικῇ. ὁ σοφίσας τοὺς ἁλιεῖς ὑπὲρ ῥήτορας.

Στέργω: δοτικῇ. στέργειν φοβῷ θειῷ.

Συνιέναι: γενικῇ. συνιέντα τοῦ μυστηρίου.

Συγχωρῶ: αἰτιατικῇ. σοὶ μὲν συγχωρηθῆναι τὰς ἁμαρτίας.

Συνηγορῶ: δοτικῇ. συντάσσομαι τῷ Χριστῷ.

Συνεορτάζω: δοτικῇ. συνεορτάσωμεν ταῖς * * * ταξεσιν.

Συνεργῶ: δοτικῇ. οἱ ἄγγελοι συνεργοῦσιν ἡμῖν.

[r] Deficit unum aut alterum folium. [s] Hujus voc. pœne evanidæ sunt literæ. [t] ἐν λν. add. rec. man. [u] ῥάνον ἐφ' ἡμ. κ. τ. λ. add. rec. m.

Συντρέχω: δοτικῇ. ἀλλήλοις συντρέχοντες.

Συγγράφω: αἰτιατικῇ. συγγράφων τοὺς λόγους καὶ τὴν ἀλη *

Συντρίβω: αἰτιατικῇ. σύντριψον τὸν βραχίονα.

Συνετίζω: αἰτιατικῇ. συνετιῶ σε, καὶ συμβιβῶ σε.

Συνάγω: αἰτιατικῇ. συνάγων ἑαυτούς.

Συνάπτω: αἰτιατικῇ. οὐαὶ οἱ συνάπτοντες οἰκίαν.

Σχόντες: δοτικῇ. σχόντες Ῥηγίνῳ[x] καὶ Μεσήνῃ.

Σχῶμεν: αἰτιατικῇ. ἄνω σχῶμεν τὰς καρδίας.

Σωφρονῶ: δοτικῇ. αὐτῇ[y] αὐτοῦ σωφρονοῦσα καλῶς.

Σώζω: αἰτιατικῇ. ἔσωσας ἡμᾶς ἐκ τῶν ἀνομιῶν ἡμῶν.

Ἀρχὴ τοῦ Τ.

Ταμιεύω: αἰτιατικῇ. ψυχῆς κάθαρσιν ταμιεύεσθαι.

Ταπεινῶ: αἰτιατικῇ. ἐταπείνωσας ἑαυτον.

Τέμνω: αἰτιατικῇ. τέμνει γλυκείαν αὔλακα.

Τήκω: αἰτιατικῇ. τήκει μὲν τὴν σάρκα [ἵνα μαθήσῃ σοφίαν[z].]

Τηρῶ: αἰτιατικῇ. αὐτός σου τηρήσει κεφαλήν.

Τιμῶ: αἰτιατικῇ. τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα.

Τρυφῶ: αἰτιατικῇ. ὅσοι τρυφᾶτε τὰ τοιαῦτα.

Τρέφω: αἰτιατικῇ. ἔθρεψε λαὸν πεινῶντα.

Τρώγω: αἰτιατικῇ. ὁ τρώγων μου τὴν σάρκα.

Τύχω: γενικῇ. ὃς πατρικῆς εὐχῆς ἔτυχε.

Τυπῶ: αἰτιατικῇ. τυπῶν τὸν λόγον τῆς εὐσεβείας.

Τύπτω: αἰτιατικῇ. τύψατε αὐτὸν ἀφειδῶς.

Ἀρχὴ τοῦ Υ.

Ὑβρίζω: αἰτιατικῇ. οἱ τοὺς φωστῆρας ὑβρίζοντες.

Ὑγιαίνω: αἰτιατικῇ. ἀλλὰ τὴν διάνοιαν ὑγιαίνουσιν.

Ὑπερφρονῶ: γενικῇ. ὁ Ἀβραὰμ λαφύρων ὑπερφρόνει.

Ὑπερτερῶ: γενικῇ. ὑπερτεροῦντες Τρώων.

[x] Sic. [y] Sic Cod. [z] Hæc add. rec. m.

Ὑπερορῶ: γενικῇ. ὑπερορῶν μὲν τοῦ σώματος.

Ὑπερασπίζω: γενικῇ. ὑπερασπιῶ τῆς πόλεως ταύτης.

Ὑπερμαχῶ: γενικῇ. τὸ δ' ἀληθὲς τῆς σοφίας ὑπερμαχῶ.

Ὑπερπλέω: γενικῇ. τῶν ἐρωτικῶν ἰυγγῶν ὑπερέπλεε.

Ὑποδεικνύω: δοτικῇ. μαθηταῖς ὑποδεικνύων.

Ὑπουργῶ: δοτικῇ. οἱ ἵπποι τοῖς στρατιώταις ὑπουργοῦντες.

Ὑποτάσσομαι: δοτικῇ. οἱ δὲ βάρβαροι τῷ βασιλεῖ ὑποτασ *

Ὑπακούω: δοτικῇ. ὑπήκουσεν αὐτῷ ὁ τὴν *

Ὑπαγορεύω: δοτικῇ. ὑπαγορεύων μυροφόροις χ[α]ραν *

Ὑποχωρῶ [a]: δοτικῇ. ὑποχωρεῖ[b] μοι τὰ Χερουβίμ.

Ὑπομένω: αἰτιατικῇ. ὑπομένων ὑπέμεινα τὸν Κύριον.

Ὑπερθαυμάζω: αἰτιατικῇ. οὐρανῶν αἱ δυνάμεις ὑπερεθαύμασαν τὸν Χριστόν.

Ὑπνῶ: αἰτιατικῇ. ὕπνωσαν ὕπνον αὐτῶν καὶ οὐ *

Ὑποδέχομαι: αἰτιατικῇ. καὶ νηφούσῃ τῇ διανοίᾳ τὸν λόγον ὑπόδεξαι.

Ὑπερφιλῶ: αἰτιατικῇ. ὑπερφιλεῖ τὸν ἀδελφόν.

Ὕει τὸ βρέχει: αἰτιατικῇ. ὑπ' ου *

Ὑψῶ: αἰτιατικῇ. ὃ μάλιστα τὸν ἀγωνιστὴν ὕψωσαν.

Hactenus Cod. Barocc. quæ seq. hab. Cod. Canon.

Ὑπολαμβάνω: αἰτιατικῇ. εἰ μή τις τοῦτο ὑπολάβοι ἐμὴν σοφίαν.

Ὑπερορίζω: αἰτιατικῇ. ὑπερορίζει τοῦτον τῆς πόλεως.

Ὑπερίπτομαι: αἰτιατικῇ. πολλοὶ ὄρνιθες τῶν ἐδωδίμων ἡμᾶς ὑπερίπτανται.

Ὑπερεκπίπτω: αἰτιατικῇ. πᾶσαν ὑπερεκπίπτον ἔννοιαν καὶ χρόνον.

Ὑπερδοξάζω: αἰτιατικῇ. καὶ τὴν ἀνάστασιν αὐτοῦ ὑπερδοξάσωμεν.

[a] Ὑποχορῶ Cod. [b] ὑποχορεῖ Cod.

ὙΠΟΜΈΝΩ: αἰτιατικῇ. ὑπομένων ὑπέμεινα τὸν Κύριον.

ὙΠΟΧΑΛΩ͂: αἰτιατικῇ. ὁ δὲ ὑποχαλάσας τὸν νοῦν.

ὙΠΟΣΠΩ͂: αἰτιατικῇ. δόλῳ τὸν φρουράρχην ὑποσπάσαντες.

ὙΠΕΡΑΚΟΝΤΊΖΩ: αἰτιατικῇ. καὶ πάντας ἐν τῇ γῇ ὑπερηκόντισε.

ὙΠΕΡΘΑΥΜΆΖΩ: αἰτιατικῇ. τὸν ἄνδρα τῆς ἀνδρείας ὑπερθαύμασας.

ὙΠΕΡΦΈΡΩ: αἰτιατικῇ. οἱ ἱέρακες ὀλίγον τὴν ἀκμὴν ὑπερφέρουσιν.

ὙΠΕΡΚΑΊΩ: αἰτιατικῇ. ἐκείνου δὲ τὸ φίλτρον ὑπερεκαίοντο.

ὙΠΟΔΈΧΟΜΑΙ: αἰτιατικῇ. καὶ νηφούσῃ τῇ διανοίᾳ τὸν λόγον ὑποδέξω.

ὙΠΕΡΒΑΊΝΩ: αἰτιατικῇ. ὑπερέβην τὰς δυνάμεις.

ὙΠΟΜΙΜΝΉΣΚΟΜΑΙ: γενικῇ. τί ἐστιν ἄνθρωπος ὅτι μιμνήσκῃ αὐτοῦ;

ὙΠΟΚΡΊΝΟΜΑΙ: αἰτιατικῇ. ὑποκρινόμενος τὴν ἀλήθειαν.

ὙΠΕΡΦΙΛΩ͂: αἰτιατικῇ. σφόδρα δὲ τοῦτον ὑπερεφίλει.

ὙΠΕΡΟΡΩ͂: αἰτιατικῇ. ὑπερορῶ ὡς βλάπτοντας.

ὙΠΕΡΉΝΕΓΚΕΝ: αἰτιατικῇ. ὑπερήνεγκε νόμον.

ὙΣΤΕΡΊΖΩ: γενικῇ. ὑστερίζει τῶν Φασαύλου λόγων.

ὙΦΊΣΤΑΤΑΙ: αἰτιατικῇ. οὐχ ὑφίσταται τὴν τιμωρίαν.

ὝΩ τὸ βρέχω: αἰτιατικῇ. ἀπ' οὐρανοῦ τροφὴν ὕοντος.

ὝΨΩ: αἰτιατικῇ. καὶ τὸν ἀγωνιστὴν ὕψωσε· καί *

'Αρχὴ τοῦ Φ [e].

ΦΑΝΕΡΩ͂: αἰτιατικῇ. φανερῶν ἑαυτὸν ὁ Ἰησοῦς τοῖς μα *

ΦΆΓΩ: αἰτιατικῇ. καὶ γῆν φάγῃ πάσας τὰς ἡμέ *

ΦΕΊΔΟΜΑΙ: γενικῇ. φείδομαι τοῦ πνεύματος εἰς πρόνοιαν.

ΦΕΎΓΩ: αἰτιατικῇ. φεῦγε ἐμπρισμὸν ὦ ψυχή.

ΦΈΡΩ: αἰτιατικῇ. φέροντες τὰ παρόντα γενναίως.

[e] E Cod. Bar.

Φθονῶ: δοτικῇ. μὴ φθονήσῃς τῷ κατορθοῦντι ἀρετήν.

Φιλοσοφῶ: αἰτιατικῇ. οὐ συγχωρεῖται φιλοσοφῆσαι τὴν *

Φοβοῦμαι: αἰτιατικῇ. τίς δὲ οὐ φοβεῖται τὴν ἐξουσίαν.

Φορῶ: αἰτιατικῇ. σάρκα φορεῖ διὰ τὴν σάρκα.

Φρίττω: αἰτιατικῇ. οὐ φρίττεις τὴν ὄψιν τοῦ βασιλέως;

Φυλάσσω: αἰτιατικῇ. φυλάσσει Κύριος πάντα τὰ ὀστᾶ αὐτῶν.

Φωτίζω: αἰτιατικῇ. φώτισον ἡμᾶς τοῖς προστάγμασιν. ὁμοίως καὶ γενικῇ. φωτίζω σου διὰ τῆς μαθήσεως τὸν νοῦν.

Φωνῶ: αἰτιατικῇ. ἀπελθοῦσα φώνησόν σου τὸν ἄνδρα.

Hactenus Cod. Bar. admodum dissimilis est Cod. Canon.

Φαίνομαι: δοτικῇ. φάνηθί μοι βοηθὸς *

Φάσκω: δοτικῇ.

Φανερῶ: αἰτιατικῇ. φανερῶν ἑαυτὸν τοῖς μαθηταῖς.

Φάγω: αἰτιατικῇ. ἀνενδυάστως φάγε τὸ σῶμα.

Φαιδρύνω: αἰτιατικῇ. ὁ φαιδρύνας τοὺς ἁγίους σου ὑπὲρ χρυσόν.

Φείδομαι: γενικῇ. φείδομαι τοῦ πνεύματος.

Φύγω: αἰτιατικῇ. φύγωμεν τὰς εὐχροίας.

Φευκτέον: αἰτιατικῇ. οὐ φευκτέον τὸν ποιητικὸν λόγον.

Φημίζω: αἰτιατικῇ. οἱ δὲ ἐφήμισαν τὸν λόγον.

Φθονῶ σοι τοῦδε: γενικῇ. καὶ δοτικῇ. φθονήσας πάλαι μοι ὁ ἐχθρός.

Φθείρω: αἰτιατικῇ. φθείρουσιν ἤθη χρηστά.

Φθάνω: αἰτιατικῇ. φθάνει τὴν πεῖραν τὸ δέος.

Φιλοτιμοῦμαι: δοτικῇ. Ἀρείῳ φιλοτιμούμενος.

Φεύγω, εἰ μὲν σημαίνει τὸ κατηγορῶ γενικῇ· εἰ δὲ τὸ ἀποδιδράσκω, αἰτιατικῇ.

Φιλονεικῶ: δοτικῇ. φιλονεικῶ τῷ ἔξωθεν θορύβῳ.

Φιλοπονῶ: αἰτιατικῇ. μόνον τὴν κάθαρσιν φιλοπόνει.

ΦΙΛΟΣΟΦΩ͂: *αἰτιατικῇ. φιλοσοφῆσαι τὴν ἑαυτοῦ κλοπήν.*

ΦΙΛΩ͂: *αἰτιατικῇ. σὺ οἶδας ὅτι φιλῶ σε.*

ΦΙΜΩ͂: *αἰτιατικῇ. οὐ φιμώσεις βοῦν ἀλοῶντα.*

ΦΟΒΩ͂: *αἰτιατικῇ. καὶ φοβῶν διὰ τοῦ* Ἰσραὴλ *τοὺς ἑαυτοῖς θαρροῦντας.*

ΦΟΡΩ͂: *αἰτιατικῇ. καὶ σάρκα φορεῖ διὰ τὴν σάρκα.*

ΦΡΟΝΤΊΖΩ: *γενικῇ. οὐδέποτε βουκολίων φροντίζει.*

ΦΡΟΝΩ͂ *τὸ καυχῶμαι*: *δοτικῇ.*

ΦΡΥΚΤΩΡΩ͂: *δοτικῇ. ἥλιος φρυκτωρεῖ πάσῃ τῇ οἰκουμένῃ.*

ΦΡΊΤΤΩ: *αἰτιατικῇ. οὐ φρίττει τὴν ὄψιν.*

ΦΎΩ: *αἰτιατικῇ. οὐ φύει καρπὸν, οὐ σώματα, ἀλλὰ ψυχὰς τρέφων.*

ΦΩΤΊΖΩ: *αἰτιατικῇ. φώτισον ἡμᾶς.*

ΦΩΝΩ͂: *αἰτιατικῇ. φώνησόν σου τὸν ἄνδρα.* Καταφωνῶ *καὶ* Περιφωνῶ: *αἰτιατικῇ. καταφωνεῖ τὰ ἄλση.*

Ἀρχὴ τοῦ Χ.

ΧΑΊΡΩ: *αἰτιατικῇ. καὶ ἐχάρισαν χάραν μεγάλην.*

ΧΑΡΊΖΩ: *δοτικῇ. χαριζόμενον ἡμῖν καὶ τὴν ανά* *

ΧΑΛΙΝΩ͂: *αἰτιατικῇ. θυμὸν χαλινοῦ, καὶ μέγας ἔσῃ σοφός.*

ΧΡΉΖΩ: *γενικῇ. ἔκυρσαν χρήζοντες εὐνῆς.*

ΧΈΩ: *αἰτιατικῇ. χέασα παμμιγῆ βολήν.*

ΧΕΙΡΑΓΩΓΩ͂: *αἰτιατικῇ. χειραγωγῶν ἡμᾶς εἰς τὴν ἐκεῖθεν μακαριότητα.*

ΧΕΙΡΟΤΟΝΩ͂: *αἰτιατικῇ. χειροτονεῖς θεολόγους.*

ΧΟΡΤΆΖΩ: *γενικῇ. ἐχορτάσθησαν τῆς διδαχῆς* Παύλου.

ΧΟΡΗΓΩ͂: *δοτικῇ. ἐμοὶ χολᾶτε ὅτι ἄνθρωπον ἐποίησα ὑγιῆ.*

ΧΡΩ͂ΜΑΙ: *δοτικῇ. ἐχρήσατο ὁ* Κύριος *τῷ πήλῳ καὶ ἔ* *

ΧΡΊΣΜΑΙ: *αἰτιατικῇ. καὶ τὰ πρῶτα μῦρα χρισμένοι.*

ΧΩΡΊΖΟΜΑΙ: *γενικῇ. τῶν πατρικῶν σου κόλπων μὴ* *

Huc usque Cod. Barocc. quæ seq. ded. e Cod. Canon.

Χαίρω : δοτικῇ. εὐνίσαις [a] χαίροντες.

ΧΑΡΊΖΟΜΑΙ : δοτικῇ. μικρὰ τῷ κόσμῳ καὶ τῇ σκηνῇ χαριζόμενοι.

ΧΑΛΕΠΑΊΝΩ : δοτικῇ. τοῖς ῥηθεῖσι χαλεπῆναs.

ΧΑΛΙΝΩ̃ : αἰτιατικῇ. θυμὸν χαλίνου μὴ φρενῶν ἔξω πέσῃς.

ΧΈΩ : αἰτιατικῇ. τίς ὁ χέας [b] τὸν πολὺν τοῦτον ἀέρα;

ΧΕΙΡΟΥ̃ΜΑΙ : αἰτιατικῇ. καὶ χειρωσάμενοι πᾶν τὸ προστυχόν.

ΧΕΙΡΟΤΟΝΩ̃ : αἰτιατικῇ. χειροτονεῖ τοῦτον διάκονον.

ΧΕΙΡΑΓΩΓΩ̃ : αἰτιάτικῇ. χειραγωγῶν τὸν λαὸν πρὸς ἐπίγνωσιν.

ΧΛΕΤΆΖΩ : αἰτιατικῇ. χλευάζοντες μόνον τὸν Ἐπαμινώνδαν.

ΧΟΡΤΆΖΩ : γενικῇ. ἐχορτάσθησαν υἱῶν.

ΧΟΡΗΓΩ̃ : δοτικῇ. χορηγοῦντες ταῖς ἐνδεέσι τροφήν.

ΧΟΛΩ̃ : δοτικῇ. χολᾷ μοι ἄρα ὁ δεσπότης.

ΧΡΉΙΖΩ : γενικῇ. εἰ καὶ μείζονος χρῄζομεν βοηθείας.

ΧΡΗΜΑΤΊΖΩ τὸ χρησμὸν δίδωμι : δοτικῇ. ὁ πάλαι Μώσῃ χρηματίσας.

ΧΡΩ̃ΜΑΙ : δοτικῇ. οὐκ οἶδ' ὅπως χρήσομαι τῷ λόγῳ.

ΧΡΑΊΝΩ : αἰτιατικῇ. καὶ τὰς ἀναιμάκτους θυσίας χραίνοντες.

ΧΡΊΩ τὸ ἀλείφω : αἰτιατικῇ. καὶ τὰ πρῶτα μύρα χριόμενος.

ΧΡΕΊΩ τὸ μαντεύομαι αἰτιατικῇ.

ΧΩΡΊΖΟΜΑΙ : γενικῇ. τῶν πατρικῶν σου κόλπων μὴ χωρισθῇς.

ΧΩΝΕΤΩ : αἰτιατικῇ. ὅστις χρυσὸς ἀκίβδηλος οὐκ ἐχωνεύθησαν.

[a] Prima litera hujus vocis est dubiæ scripturæ. [b] Cod. ἐχέας.

'Αρχὴ τοῦ Ψ.

Ψαύω: γενικῇ. ψαύουσι τῶν ἀμυστῶν.

Ψάλλω: δοτικῇ. ψάλλετε τῷ Θεῷ ἡμῶν, ψάλλετε.

Ψαυσθῆναι: γενικῇ. ψαυσάμην τῆς ἐλπίδος.

Ψεύδομαι, αἰτιατικῇ. ἐπειδὴ ἐψεύσατο τὸν Θεόν.

Ψηλαφῶ: αἰτιατικῇ. ψηλαφήσαντες αὐτοῦ χεῖρας καὶ πο *

Ψιθυρίζω: αἰτιατικῇ. δόλον ἐψιθύρισεν ἐν τοῖς φσίν.

Ψυχαγωγῶ: αἰτιατικῇ. διὰ τὸ ψυγῆναι τὴν ἀγα *

Ψωμίζω: αἰτιατικῇ. * * * ἡμᾶς ἄρτον δακ * *

E Cod. Canon.

ψαύω: γενικῇ. ὁ μὲν ἁγίας καὶ θεοστιβοῦς γῆς ψαύειν μέλλων. ἔστιν οὖν καὶ αἰτιατικῇ. τὴν νευρὰν τοῦ τόξου ψαύων.

ψάλλω: δοτικῇ. ψάλλετε τῷ Θεῷ ἡμῶν ψάλλετε.

ψεύδομαι: αἰτιατικῇ. ἐπεὶ ἐψεύσαντο τὸν Θεὸν καὶ τὸ πνεῦμα τὸ ἅγιον. Καταψεύδομαι καὶ Διαψεύδομαι γενικῇ.

ψέγω: αἰτιατικῇ. καὶ ἔψεγε τοὺς λόγους αὐτοῦ.

ψηλαφῶ: αἰτιατικῇ. ψηλαφήσατέ με καὶ ἴδετε.

ψηφίζομαι: δοτικῇ. ἔστιν οὖν καὶ αἰτιατικῇ. αἴτησιν αὐτῶν ἐψηφίσαντο. ψηφίσω δὲ αἰτιατικῇ. ἀρχιερέα τοῦτον ψηφίσαντες.

ψηθυρίζω: αἰτιατικῇ.

ψυχαγωγῶ: αἰτιατικῇ. ψυχαγωγήσας λόγοις ἀγαθοῖς τὸν λαόν.

ψύχω: αἰτιατικῇ. τὰς ψυχήσας καρδίας.

ψωμίζω: αἰτιατικῇ. ἐὰν ψωμίσω τὰ ὑπάρχοντά μοι.

'Αρχὴ τοῦ Ω μεγάλου.

'Ωδίνω: αἰτιατικῇ. ὠδίνεις τὰς ἀντιθέσεις.

'Ωραΐζομαι: δοτικῇ. καὶ ποταμοῖς ὡραΐζεται.

'Ωθῶ: αἰτιατικῇ. ὁ δὲ ἀπωθεῖται αὐτόν.

Ὠφελῶ: αἰτιατικῇ. μεγάλως ὠφελεῖ τοὺς κεκοιμημένους ἡ γενομένη ὑπὲρ αὐτῶν εἰς ἐν πρὸς φορᾶ[c].

Ὠφελῶ, τὸ βοηθῶ. δοτικῇ. τοῖς δεομένοις ὠφελεῖν προθυμήθητι, ἀντὶ τοῦ βοηθεῖν. Sic Cod. Bar. aliter Cod. Canon.

Ὠδίνω: αἰτιατικῇ. ὠδίνεις τὰς ἀντιθέσεις.

Ὠθῶ: αἰτιατικῇ. ὠθοῦντες ἀλλήλους.

Ὠνοῦμαι: γενικῇ.

Ὡραΐζομαι: δοτικῇ. καὶ ποταμοῖς ὡραΐζεται.

Ὠτακουστέω: γενικῇ.

Ὠφελῶ: αἰτιατικῇ. τί ὠφέλησε τὸν Ἀδὰμ ὁ παράδεισος;

Ἀπειπὼν ἀντὶ τοῦ ἀπαρνησάμενος: αἰτιατικῇ.

Ἀπειπὼν ἀντὶ τοῦ ἀποκαμών: δοτικῇ.

Διελθεῖν καὶ Περιελθεῖν: αἰτιατικῇ.

Εὐθύνω: γενικῇ.

Ὑποδύομαι καὶ Ἐνδύομαι αἰτιατικῇ.

Κατέστε ἐπὶ τὸ μικρὸν, Ἐξέστη ἐπὶ τὸ μέγα.

Διαιτῶ τὸ κρίσιν ποιῶ, δοτικῇ.

Διαιτῶ δὲ τὸ τρέφω, αἰτιατικῇ.

[c] Sic.

EXCERPTA VARIA.

Exc. e Cod. Mus. Brit. Add. 5118.

HIC Codex Chart. form. in 4° minoris xv. sæc. videtur esse compilatio ex variis Grammaticis, qui in Dionysii Thracis Grammaticam commentati sunt; de hac re vero silet titulus ita inscriptus: *Παρεκβολαὶ σὺν Θεῷ διαφόρων Γραμματικῶν περὶ Γραμματικῆς μεθόδου ἀρχόμενοι ἀπὸ τοῦ περὶ Προσῳδίας.* Ad p. 65 vero discimus primam partem hujusce collectionis depromptam esse e scriptis Lucii Tarrhæi, qui ipse a commentatoribus in Dionysium Thracem laudatur[a]; ibi enim scriptum est in Cod. *ταῦτα Λούκιος ὁ Ταρραῖος παρατίθεται.* Patet autem hæc esse tantum excerpta ex opere insignis istius Grammatici, a seriore quodam epitomatore, Christiano homine, facta. Hæc vero Codicis pars præstantior est et sui generis; reliqua, etsi nullum nomen præ se ferant, magis congruunt cum Chœrobosci commentariis in Dionysium a Bekkero vulgatis; et præsertim cum eo Codice, quem ut Ottobonianum non semel inter var. lectt. laudat.

Τριχῶς λέγεται ἡ προσῳδία· λέγεται γὰρ προσῳδία καὶ ἡ παρὰ τοῖς μουσικοῖς· τουτέστι τὸ στόμα καὶ ἡ ἐκφώνησις τῶν αὐλῶν· λέγεται καὶ ἡ ἐν τῇ ἐκφωνήσει γενομένη, τουτέστι ἐν τῷ προπαροξύνεσθαι λέξιν ἢ ὀξύνεσθαι· λέγεται ὁ χαρακτὴρ τῶν τόνων· καὶ τῶν χρόνων καὶ τῶν πνευμάτων— κ. τ. λ.

Εἴδη δὲ προσωδίας τρία· τόνοι· χρόνοι· πνεύματα· καὶ

[a] Bekker. Anecd. Gr. p. 652.

τόνοι μὲν τρεῖς· ὀξὺς, βαρὺς, περισπώμενος. χρόνοι δύο· μακρὸς καὶ βραχύς. πνεύματα δύο· δασὺ καὶ ψιλόν.

P. 2. τὰ δὲ δασέα, ψιλουμένου φωνήεντος ἐπιφερομένου, ὡς ἰσχυρότερα οὐ τρέπονται· οἷον, ἀμφὶ ἀγαθὸν, ἀμφαγαθόν. χωρὶς εἰ μὴ κατὰ διάλεκτον τραπῇ, ὡς ἐπὶ τοῦ ἀμφέχεσθαι Αἰολικῶς ἀμπέχεσθαι. ἡ μέντοι ἀπόστροφος καὶ ἡ ὑφὲν καὶ ἡ ὑποδιαστολὴ οὐκ εἰσὶ κυρίως προσῳδίαι, ἐπειδὴ αἱ προσῳδίαι περὶ τὰ φωνήεντα καταγίνονται, καὶ ἐπάνω φωνηέντων τίθενται. μόνον δὲ τὸ ρ ἐκ τῶν συμφώνων δέχεται πνεῦμα. τὰ δὲ πάθη ἐπὶ συμφώνων τίθεται.

P. 3. Ὁ δὲ περὶ διαστολῆς καὶ στιγμῆς λόγος συναφής ἐστιν· ἀναπαύσεως μὲν γὰρ στιγμῆς ἴδιον· διαστολῆς δὲ διάκρισις. ἀμφότερα δὲ παρῆλθε πρὸς τὸ βέλτιον παρασκευάσασθαι τὴν ἀνάγνωσιν. ὧν ἡ μὲν ἀπόστροφος τίθεται ἐπάνω τῶν λέξεων· ὅταν συναλοιφῆς οὔσης ἐκβλήθῃ γράμμα ἢ γράμματα· καὶ τὰ δοκοῦντα συνηλεῖφθαι διαστέλλει· τὰ πεπονθότα κρίσιν ἐν συνθέσει φωνήεντα, καὶ πεπονθότα θλίψιν ἐν παραθέσει σύμφωνα διακρίνουσα, μὴ ἐπιφερομένου συμφώνου· χωρὶς εἰ μὴ κλίσις ἑτέρα τις εἴη· ὡς τὸ "οὔτι δέ "με κικλήσκουσι." ἢ πάθος ἀποκοπῆς· ὡς τὸ νὴ Δί'· καὶ ἐπὶ τῆς περὶ Πίνδαρος πέροδον ἔφη, ἀντὶ τοῦ περίοδον· καὶ περιέναι τετρασυλλάβως. καὶ οὐ τίθεμεν εἰς τὸ ρ ἀπόστροφον, ὥσπερ ἐκ τοῦ ἐναντίου διαιροῦμεν τὸ κατέχων κεφαλὴν, ἀντὶ τοῦ κάτω ἔχων· καὶ

τληπόλεμος ἐπεὶ οὖν τράφεν ἐνὶ μαγείρῳ.

P. 4. ἔτι καὶ τὰ παράλογα σημειοῦσθαι χρὴ, ὡς τὸ ἔμβαχυν, οὐχ ὡς δὶς παῖδες· ὅπερ ἐν διαιρέσει ἐστὶν ἀναλογώτερον· ὡς καὶ τὸ τρισάθλιος. οὐ μὴν τούτοις ὅμοιον τὸ δισθανέες· πλεονάζει γὰρ τὸ σ· καθὰ καὶ ἡ τρίσφυλος βοτάνη. ὑποτακτέον δὲ τῇ ὑφὲν καὶ τὰ ἐν συναλοιφῇ, ὅταν τὰ κεχωρισμένα κατὰ τὴν γραφὴν εἰς ἓν συνάγωμεν, καὶ τὰ ἐν δύο λέξεσι συνημμένα διανοίαν ἐπαγγελλομένοις· οἷον "τοξότα "λωβητὴρ," ἓν γὰρ νοεῖται διὰ τοῦ δύο, ἀντὶ τοῦ διὰ τόξων βλαπτόμενε, ὅθεν τὸν δειλὸν σημαίνει.

Τῶν δὲ διαστολῶν αἱ μὲν εἰσὶ κατὰ γράμμα· αἱ δὲ κατὰ συλλαβήν· αἱ δὲ κατὰ λέξιν· αἱ δὲ κατὰ διάνοιαν. κατὰ μὲν οὖν γράμμα·

> καὶ Χλῶριν εἶδον περικαλλέα, τὴν ποτὲ Νηλεὺς
> γῆμεν ἐὸν μετὰ κάλλος· Od. Λ. 280.

πότερον ἐὸν μετὰ κάλλος ἢ νέον· κατὰ συλλαβὴν δὲ, "ἐπεὶ κεκάμω πολεμίζων·" ἤτοι γὰρ ἐστὶ κεκάμω· ἢ ὅ κε σύνδεσμός ἐστι· κατὰ λέξιν, ὡς ὀνομάκλυτοι ὑφὲν, καὶ ὄνομα κλυτὸς ἐν διαστολῇ· κατὰ δὲ διάνοιαν, ὡς ἐν τῷ "ἐν λιμένι ὑπονηΐῳ·" ὁ γὰρ Ἀπίων, ὡς τοῦ ἐν Ἰθακῇ λιμένος ὑπονηΐου καλουμένου συνθέτως ἀνέγνω· ὁ δὲ Ἡλιόδωρος διαιρεῖ· ἵν' ᾖ, ὑπὸ τῷ Νηΐῳ[b].

Περὶ Γραμματικῆς.

Γράμμα σημαίνει δ'. τοὺς τῶν στοιχείων τύπους

> γράμματα δ' ἐν φλοιῷ γεγράψεται. Theocr. Id. XVIII. 47.

τὰ συγγράμματα·

> γράμματα μὲν τὸν παῖδα γέρων αἶνος ἐξεδίδαξεν.

τὰ τῶν σοφῶν μνημονεύματα. Πλάτων ἐν Φαίδρῳ· "οὐ δύναμαι κατὰ τὸ Δελφικὸν γράμμα ἐμαυτὸν γνῶναι." τό τε ἐπίγραμμα·

> ἀλλὰ τί τοῦτο αὐτόγραμμα βέβηκεν;

ἐπεὶ ποτὲ ποίημα·

> Ὁμήρειον δὲ καλεῦμαι
> γράμμα—

Καλλίμαχος. ἀπὸ οὖν τοῦ δηλοῦντος τὸ ποίημα γραμματικόν· μέμνηται τοῦ ὀνόματος Μένανδρος ἐν Πωλουμένοις, καὶ Πλάτων ἐν Φοίβῳ. φασὶ δὲ Ἀντόδωρον[c] τὸν Κυμαῖον πρῶτον ἐπιγεγραφέναι αὐτὸν γραμματικὸν, σύγγραμμά τι γράψαντα περὶ Ὁμήρου καὶ Ἡσιόδου.

Γράμμα δὲ σημαίνει καὶ τὴν ἐπιστολὴν καὶ τὸν σταθμὸν, ὃν τρόπον λέγωμεν τὴν ὀγκίαν γδ' γράμματα ἔχειν· καὶ τὸ ζωγράφημα, καὶ τὸ ψήφισμα παρὰ Δημοσθένει.

[b] Hæc dedit Bekker. Anecd. p. 1158. e Cod. Ottobon.
[c] αὐτόδωρον in marg.

Περὶ μερῶν τῆς Γραμματικῆς.

Μέρη δὲ αὐτῆς δ΄. ἀναγνωστικὸν, ἐξηγητικὸν, διορθωτικὸν, κριτικόν. Ὄργανα δ΄. γλωσσηματικὸν (Cod. γλωσσημαντικὸν, ἱστορικὸν, τεχνικὸν, μετρικόν.

—Διαφέρει δὲ γραμματικὴ γραμματιστικῆς. ἡ γὰρ γραμματικὴ νεωτέρα ἀπὸ Θεαγένους· τετέλεσται δὲ ἀπὸ τῶν Περιπατητικῶν Πραξιφάνους τε καὶ Ἀριστοτέλους. ἡ δὲ γραμματιστικὴ παλαιά· ἴσως δὲ σχεδὸν ἅμα τῇ φύσει προελθοῦσα. καὶ τῆς μὲν τὸ τέλος τὸ γράφειν, τῆς δὲ τὸ ἀναγινώσκειν.

Γραμματική ἐστιν ἐμπειρία—τῶν τεχνογράφων οἱ μὲν ἀπὸ λόγου ἤρξαντο, οἱ δὲ ἀπὸ ὅρου· ἔνιοι δὲ ἀπὸ λέξεως· ἄλλοι δὲ ἀπὸ συλλαβῆς· τινὲς δὲ ἀπὸ στοιχείου· εἰσὶ δὲ οἵτινες καὶ ἀπὸ φωνῆς ἀρξάμενοι, ὅπερ ἄμεινον· ἡ γὰρ ὕλη γραμματικῆς λέξις· αὕτη δὲ ἐκ συλλαβῆς, τὰ δὲ ἀπὸ στοιχείου· τὰ δὲ ἡ πρώτη καὶ ἀμερὴς τοῦ ἀνθρώπου φωνή. δῆλον ὡς ἀπὸ τοῦ ἀρχετύπου καὶ πρώτου δεῖ ἄρχεσθαι τῆς φωνῆς.

Ὁ δὲ νέων ἐκδιδοὺς τὸ πόνημα καὶ καταρχὰς διαλαβεῖν τὸν περὶ ἀναγνώσεως βουλόμενος λόγον, ὅς ἐστι πάντων τοῖς νέοις προυργιέστερος, ἐπίτηδες τὸν περὶ γραμματικῆς προέκρινε λόγον.

Γραμματική ἐστιν ἐμπειρία—διατί καλεῖ αὐτὴν ἐμπειρίαν; καὶ οἱ μέν φασιν καταχρηστικῶς εἰπεῖν αὐτὸν γνῶσις· οἱ δὲ ὅτι ἐπειδὴ ὁ σκοπὸς αὐτῷ πρὸς εἰσαγομένους γράφειν· δεῖ δὲ τὰς εἰσαγωγὰς ἀπέχεσθαι τῶν δυσχερῶν· εἰδὼς ὅτι καὶ ἡ ἐμπειρία πολλαχῶς λέγεται παρὰ τοῖς ἀρχαίοις· ἔστι γὰρ ἡ ἄλογος τριβὴ, καὶ ἡ λογικῶν γνῶσις, καὶ ἡ ἀκριβὴς μάθησις, ἁπλούστερον τὸν λόγον ἐποιήσατο σημαίνει ἐμπειρίαν τὴν γνῶσιν· ὡς ἤτε γραμματικὴ γνῶσίς ἐστι τινῶν, ὧν παρατίθησιν αὐτός.

P. 14. Τῶν παρὰ ποιηταῖς τε πολύπειρος ὁ γραμματικὸς ποιητῶν τε καὶ πεζελόγων· καθὸ πάσης τετριμμένης λέξεως ἐπιστήμων· οὐ καθ᾽ ὃ ζητημάτων Δημοσθενικῶν ἢ δογμάτων Πλατωνικῶν ἐπιστήμων· οὐ γὰρ ἀνάγκη ταῦτα

αὐτὸν εἰδέναι· συγγραφεῖς δὲ λέγουσι πάντας τοὺς πεζολόγους· τούτων δὲ οἱ μὲν ῥήτορες· οἱ δὲ συγγραφεῖς· οἱ δὲ ἱστορικοί. οὐκ ἔστι γὰρ μόνον παρὰ τοῖς ποιηταῖς καὶ συγγραφεῦσι χρειώδης ἡ γραμματική, ἀλλὰ καὶ παρὰ ῥήτορσι καὶ ἱστοριογράφοις.

Τέσσαρα γάρ εἰσι ταῦτα ἀλλήλοις ἀντιπαρακείμενα· ἐξ ἑκατέρας δὲ ἀντιθέσεως ἓν εἰπὼν καὶ τὸ ἕτερον παρεδήλωσεν· ἀντίκειται δὲ τῇ μὲν ποιητικῇ ἱστοριογραφική. ἡ μὲν γὰρ ποιητικὴ τέχνη, ἡ δὲ ἱστοριογράφη οὔ· ὡσαύτως ἡ ῥητορικὴ ἀντίκειται τῇ συγγραφικῇ. ἡ μὲν γὰρ ῥητορικὴ τέχνη· ἡ δὲ συγγραφικὴ οὔ· καὶ συγγραφεὺς μέν ἐστιν, ὁ τὰ ἐφ᾽ ἑαυτοῦ γενόμενα συγγραψάμενος· ἱστορικὸς δὲ ὁ τὰ πρὸ αὐτοῦ ἅπαντα γράφων· ῥήτωρ ὁ περὶ τὰ πολιτικὰ ἠσχολημένος.

Ποιητὴς δὲ κεκόσμηται τοῖς τέσσαρσι τούτοις. μέτρῳ· μύθῳ· ἱστορίᾳ, καὶ ποίᾳ λέξει· καὶ πᾶν ποίημα μὴ μετέχων τούτων, οὐκ ἔστι ποίημα, εἰ καὶ μέτρῳ κέχρηται. Ἔστι δὲ μέτρον μὲν ποιὰ καὶ πόση λέξεων ἀπηρτισμένων σύνθεσις κατά τε μέγεθος ἀπηρτισμένως, καὶ τάξιν συλλάβων ἐν ἰσότητι, ἢ ὁμοιότητι, ἢ οἰκειότητι· ἤτοι τῶν μερῶν πρὸς ἄλληλα· ἢ τοῦ ὅλου πρὸς ἕτερα. ποιὰ δὲ λέγεται ἡ ὀνοματοπεποιημένη· πλάσμα δὲ τὸ μὴ ἀληθῶς πεποιημένον, ἀλλ᾽ ὑπό τινος ἐσκευασμένον. ἱστορία δὲ πραγμάτων γεγονότων ἢ ὄντων ἐν δυνατῷ σαφὴς ἀπαγγελία. μῦθος δὲ ξένων πραγμάτων ἀπηρχαιωμένη διήγησις, ἢ ἀδυνάτων πραγμάτων παρεισαγωγή. πλάσμα τὸ δυνάμενον μὲν γενέσθαι, μὴ γενόμενον δέ. ἱκανὸς δὲ ὁ μῦθος σιωπῆσαι δι᾽ ἡδονῆς· ἡ γὰρ μετὰ συλλογισμῶν ἀκρόασις πολλάκις τὸν ἀκούοντα πρὸς ἀντίρησιν κινεῖ· ἡ δὲ ποιητικὴ ἔχει μὲν τὸ προσαγωγὸν ἐκ τῆς ἡδονῆς· δυσωπεῖ δὲ οὐκ ἐξ ἀγῶνος, ἀλλ᾽ ὥσπερ φυσικῶς ἐναντιουμένη. τοῦτον γοῦν τὸν τρόπον φαίνεται καὶ Ὅμηρος πεποιηκέναι. ἐν ὅσῳ γὰρ ἀοιδὸς παρῆν τῇ Κλητεμνήστρᾳ, ἀπῆγεν αὐτὴν τοῦ περὶ πορνείαν ἔχειν· καὶ τοῦτο ὁρῶντα Αἴγισθον πρότερον ἐκβάλλοντα τὸν ἀοιδὸν, οὕτως ἀναπεῖσαι. Ἔστι δὲ ποιητικὴ ἀπαγγελία πραγμάτων διὰ μέτρων καὶ

ῥυθμῶν μετά τινος κατασκευῆς τὸ μυθῶδες, μετὰ καὶ τοῦ ἀληθοῦς ἐνίοτε συμπεπλεγμένων, μετὰ καὶ ἱστορίας ἐν ποιᾷ λέξει περιέχουσα. ποιητὴς δὲ ὁ κατὰ μετουσίαν τῆς ποιητικῆς ὄνομα ἐσχηκὼς τεχνήτης. ποίησις δὲ κυρίως ἡ διαμετρεντελὴς ὑπόθεσις ἔχουσα ἀρχὰς, καὶ μέσα καὶ πέρατα. ποίημα δὲ μέρος ποιήσεως· ποιήματ πλάσματ ἁδρὸν, ἰσχνὸν, ἀνθηρὸν, τὸ καὶ μέσον. ἁδρὸν τὸ διηρημένον ὄγκῳ τῷ κατὰ φύσιν, οἷον τὸ

ἀμφὶ δ' ἄρ Αἴαντας δοιοὺς ἵσταντο φάλαγγες (Il. N. 126.)

ἰσχνὸν, τὸ συνεσταλμένον ὄγκῳ, τῷ κατὰ φύσιν, οἷον,

ὡς δ' ὅταν ὠδίνουσαν ἔχῃ βέλος. (Il. Λ. 269.)

ἀνθηρὸν, τὸ μέσον ἀμφοῖν, οἷον,

ὡς δ' ὅτε Πανδαρέως κούρη. (Od. T. 518.)

ἀνθηρὸν δὲ λέγεται, ὅτι ἁρμόζει μάλιστα πρὸς ἀπαγγελίαν λειμόνων καὶ ἀνθέων· ἀντίκειται δὲ τῷ μὲν ἁδρῷ τὸ σκληρὸν καὶ τὸ παχύ· τῷ δὲ ἰσχνῷ τὸ ξηρὸν καὶ τὸ βραχύ· τῷ δὲ ἀνθηρῷ τὸ ἀγλαυκὲς καὶ τὸ λογοειδές.

Ποιήσεως χαρακτῆρες γ΄· διηγηματικὸς, δραματικὸς, μικτός· διηγηματικὸς ἐστὶν ὁ κεχωρισμένος μὲν τῶν παρεισαγομένων προσώπων, ὑπαυτῶν δὲ τῶν ποιητικῶν λεγόμενος· δραματικὸς δὲ ὁ κεχωρισμένος τοῦ ποιητικοῦ προσώπου· ὑπὸ δὲ τῶν παρεισαγομένων προσώπων λεγόμενος· μικτὸς δὲ ὁ ἐξ ἀμφοῖν συγκείμενος.

Εἴδη τοῦ διηγηματικοῦ καὶ μικτοῦ δ΄, ἐπικὸν, ἐλεγειακὸν, ἰαμβικὸν, μελικόν.

Τοῦ δραματικοῦ εἴδη γ΄. τραγικὸν, κωμικὸν, σατυρικόν.

Σύνταγμά ἐστι λέξις διὰ μέτρων κολοβῶν ἐπὶ πολλὰ διατείνουσα· ἢ σύνταξις μέτρου κατὰ κολοβὸν ἀπηρτισμένον ἄνευ μέλους· ἢ μέτρον εἰς λόγους κολοβοὺς τετμημένον.

Ὕμνος ἐστὶ ποίημα περιέχων θεῶν ἐγκώμια καὶ ἡρώων μετ' εὐχαριστείας.

Ἐγκώμιόν ἐστι ποίημα ἢ σύγγραμμα περιέχον τῶν νενικηκότων ἐγκώμιον, ἐπ' αὐτῇ τῇ νικῇ καὶ δι' αὐτὴν γεγονός.

Παιάν ἐστι ποίημα πρὸς Ἀπόλλωνα καὶ Ἄρτεμιν ἔχον προσφώνησιν ἐπὶ παραιτήσει λοιμῶν ἢ στάσεων· ἢ τῶν παραπλησίον.

Σκολιὸν ἐστὶ ποίημα πρὸς συμποσίου συναγωγὴν εὐθέτως ἔχον ἱστορίαις καὶ παιδίαις οἰκείαις, πότῳ συμπεπλεγμέναις. καλεῖται δὲ ἐπίνοιον.

Προσόδιον ἐστὶ ποίημα ὑπὸ ἀρρένων, ἢ παρθένων χοροῦ ἐν τῇ προσόδῳ τῇ πρὸς τὸν θεὸν ᾀδόμενον. φέρεται δὲ ἐν τούτῳ τῷ γένει καὶ τὸ ἀποτρεπτικόν· ἐστὶ δὲ ποίημα σπαστικὸν κατὰ τὸν ἀπὸ τῶν θεῶν χωρισμὸν ᾀδόμενον.

Διθύραμβός ἐστι ποίημα πρὸς Διόνυσον ᾀδόμενον· ἢ πρὸς Ἀπόλλωνα περιπλοκαὶ ἱστοριῶν οἰκείως.

Σίλλος ἐστὶ ποίημα λοιδορίαν κατά τινος περιέχον.

Θρῆνος ἐστὶ ποίημα ὀδυρμὸν περίεχον καὶ ἐγκωμιαστικὸν τοῦ τετελευτηκότος.

Ὑπόρχημά ἐστι ποίημα πρὸς ὄρχησιν γεγραμμένον πρὸς τὸν αὐτὸν ῥυθμὸν, ὃ δὴ ὑπορχηματικὸν καλεῖται.

Ῥυθμός ἐστι σύστημα συγκείμενον ἐκ χρόνων οὐ πάντων συγκειμένων πρὸς ἀλλήλους· οὐ γὰρ πᾶσα χρόνων σύνθεσις ἔρρυθμος κίνησις χρόνων ἐν μεγέθει τακτῷ συλλαμβανομένη· ἢ ἀναλογία μεταξὺ δύο λόγων κειμένη τάξις, βραδέως τε καὶ τάχεως.

Πρόλογός ἐστι προαναφωνητικὸς τῶν διὰ τοῦ δράματος εἰσάγεσθαι μελλόντων. Ῥῆσις λόγος διεξοδικὸς, ὑπό τινος τῶν ὑποκριτῶν προσώπων λεγόμενος πρὸς τὸν ὄχλον.

Ἀμοιβὴ δὲ τῶν εἰσαγομένων προσώπων διάλογος.

Ἄγγελος ὁ τῶν πεπραγμένων ἔξω τῆς πόλεως ἢ τῆς οἰκίας ἀπαγγελίαν ποιούμενος.

Σκηνικὴ δὲ ᾠδὴ ἐξ ὑποκριτικοῦ προσώπου λεγομένη.

Κούρισμα δὲ ᾠδὴ πένθους μετέχουσα καὶ συμφορᾶς ἀποκεκαρμένων τὰς τρίχας.

Σάλπιγξ δὲ λόγος περιέχων τὰ πολεμικά.

Σκοπὸς δὲ ὁ τῆς ἀλλοδαπῆς χώρας ἐρχομένων τὴν ἀπαγγελίαν ποιούμενος πόρρωθεν.

Χόρος δὲ σύστημα πλειόνων, ἐμμελῶς τὰ προσκείμενα φθεγγομένου.

Τραγῳδία δὲ βίων καὶ λόγων ἡρωικῶν μίμησις ἔχουσα σεμνότητα μετ' ἐπιπλοκῆς τινός.

P. 21. Διάλεκτος δέ ἐστιν γλώττης ἰδίωμα, ὡς ἐπὶ τοῦ μείλιχος ὄνομα· μέλλιχος γὰρ φασὶν οἱ Αἰολεῖς· καὶ τὸ ἄμμες ψιλῶς προφερόμεθα ὡς Αἰολικόν.

Ἱστορία δὲ ἡ τῶν παλαιῶν χρῆσις. πολλάκις δὲ αὕτη ἐναντιοῦται διαλέκτῳ· τοῦ γὰρ χίλιοι πληθυντικοῦ ὀνόματος ἀπαιτοῦντος τὴν ει δίφθογγον, καθὼς ἡ διάλεκτος[c] χάνοι γάρ φασιν Αἰολεῖς· ἡ ἱστορία ἐναντιουμένη διὰ μονὸν τοῦ ι γράφεται.

Γραφὴ δὲ, ὡς ἐπὶ τοῦ δμῶας· ὅπου μὲν γὰρ θηλυκόν ἐστι, καὶ πρόσκειται τὸ ι καὶ ὀξύ· ὅπου δὲ ἀρσενικὸν, χωρὶς τοῦ ι καὶ βαρύνεται· μέτρον δὲ, ὡς ἐπὶ τοῦ εὐπλοκαμίδες[d] Ἀχαιαί· ἐκ γὰρ τοῦ μέτρου γινώσκομεν ὅτι κατὰ διάστασιν τοῦ γ'.

P. 34. Γλῶσσά ἐστι λέξις ξένη μεταφραζομένη εἰς τὴν ἡμετέραν διάλεκτον, ἡ λεγομένη μὲν προσεχῶς, μεταφραζομένη δὲ εἰς τὸ σύνηθες.

P. 38. Ἕκτον κρίσις ποιημάτων· πολλὰ γὰρ νοθευόμενά ἐστιν, ὡς ἡ Σοφοκλέους Ἀντιγόνη. λέγεται γὰρ εἶναι Ἀντιφῶντος (leg. Ἰοφῶντος) τοῦ Σοφοκλέους υἱοῦ. ὁμοίως τὰ Κυπριακὰ, καὶ ὁ Μαργίτης, Ἀράτου τὰ Θυτικὰ, καὶ τὰ περὶ Ὀρνέων, Ἡσιόδου Ἀσπίς.

P. 41. Ἰστέον δὲ ὅτι παρ' Αἰσχύλῳ τὴν προσῳδίαν εὑρίσκομεν κειμένην ἐπὶ τῆς προσφωνήσεως, οὐ τῆς μετ' ὀργάνου φωνῆς.

οὔτι μ' ἄπειρον τῆσδε τῆς προσῳδίας.

P. 43. Περὶ Κομῳδίας—Πρῶτος οὖν Σουσαρίων τις τῆς ἐμμέτρου κωμῳδίας ἀρχηγὸς ἐγένετο· οὗ τὰ μὲν δράματα οὐ φέρεται· δύο δὲ ἢ τρεῖς ἴαμβοι· εἰσὶ δὲ οὗτοι.

Ἀκούετε λεὼς Σουσαρίων τάδε λέγει,

[c] leg. χέλλιοι. [d] Sic.

υἱὸς Φιλίνου, Μεγαρόθεν Τριποδίσκιος·
κακὸν γυναῖκες· ἀλλ' ὅμως, ὦ δημόται,
οὐκ ἔστιν οἰκεῖν οἰκίας ἄνευ κακοῦ.

P. 45. Καὶ εὑρέθη ἡ μὲν τραγῳδία ὑπὸ Θεσπίδος τινὸς Ἀθηναίου· ἡ δὲ κωμῳδία ὑπὸ Ἐπιχάρμου ἐν Σικελίᾳ· καὶ ὁ ἴαμβος ὑπὸ Σουσαρίωνος· καὶ ὁ στίχος ὑπὸ Φημονόης ἱερείας τοῦ Ἀπόλλωνος.

P. 46. Ἐλεγεῖον δὲ ἐκλήθη ἀπὸ Ἐλέγου τοῦ υἱοῦ Κλειοῦς τῆς Μούσης. οὗτος γὰρ, ὡς ἔμελλον οἱ γάμοι γίνεσθαι, αἴφνης ἐξέπνευσε. καὶ λοιπὸν πᾶσι ἡ μουσικὴ ἡ προσελθοῦσα τῷ γάμῳ, ἀντὶ τοῦ ᾄδειν καὶ χαίρειν καὶ ὀρχεῖσθαι, πάντες ἐθρήνουν μετὰ μέλους, καὶ αὐληταὶ καὶ κιθαρισταὶ καὶ τραγῳδοὶ ἐκπλαγέντες ἐπὶ τῷ συμβεβηκότι τῷ Ἐλέγῳ. λιγυρῶς δὲ οὐ λέγω ἡδέως κατὰ τὸν Εὐριπίδην·

ἡδονὴ πανταχοῦ ἐστὶ, καὶ πάντα
δι' ἡδονῆς γίνεται—

ἀλλὰ λιγὺ τὸ ὀξύ.

Περὶ Ῥαψῳδίας—ῥαψῳδίαν δὲ εἶναι λέγουσιν τὴν ἐκ διαφόρων τόπων Ὁμηρικῶν ἐρραμένην ᾠδήν· οἷον, τίνας ἂν εἴποι λόγους ἡ Ἠχὼ τοῦ Πανὸς αὐτὴν καταδιώκοντος.

Ζεῦ πάτερ ἠδὲ θεοὶ αἰὲν ἐόντες,
δεῦρ' ἵνα ἔργα γελαστὰ καὶ οὐκ ἐπιεικτὰ εἴδητε·
ὅς μ' ἐθέλων ἐν φιλότητι μιγήμεναι οὐκ ἐθελούσῃ·
τοῦ κέρα ἐκ κεφαλῆς ἑκκαιδεκάδωρ[α] πεφύκει.
ἀλλὰ σύγ' ἱμερόεντα μετέρχεο ἔργα γάμοιο,
εὑρὼν ἢ ἔλαφον κεραὸν, ἢ ἄγριον αἶγα.

εἴρηνται δὲ τὰ τοιαῦτα κεντρῶνες· καὶ ὥσπερ κεντρῶν λέγεται περιβολαῖον τὸ ἐκ διαφόρων ῥακῶν συγκείμενον, οὕτω καὶ ἐκ διαφόρων ἐπῶν τὰ συγκείμενα νοήματα κεντρῶνες καλοῦνται.

P. 58. Περὶ Φωνῆς—Ἐπειδὴ δὲ ἐκ τῆς φωνῆς τὰ στοιχεῖα συνίστανται· στοιχεῖον γάρ ἐστι ἡ πρώτη καὶ ἀμερὴς τοῦ ἀνθρώπου φωνή· ἀναγκαῖον ἡμῖν περὶ φωνῆς πρῶτον διαλαβεῖν. Διογένης ὁ Βαβυλώνιος οὕτως ὁρίζεται. φωνὴ ἐστὶν

ἀὴρ πεπληγμένος, ἢ τὸ ἴδιον αἰσθητὸν ἀκοῆς. ἀλλ᾽ ἐπειδὴ ὁ ἀὴρ σῶμα ἐστὶν, ὁ δὲ Πλάτων τὴν φωνὴν οὐ δοξάζει· σῶμα δὲ λέγει τὸν ὅρον οὕτως. πληγὴ ἀέρος, ἢ τὸ ἴδιον αἰσθητὸν ἀκοῆς. Εἰσί τινες λόγοι δεικνύντες τὴν φωνὴν ἀσώματον. καὶ ἔχει οὕτως. τῶν πραγμάτων τὰ μὲν ἐν τῷ γίγνεσθαι ἔχει τὸ εἶναι· τὰ δὲ ἐν τῷ γεγονέναι· ἄρα οὖν ἡ φωνὴ ἐν τῷ γένεσθαι ἔχει τὴν ὕπαρξιν· καὶ μετὰ ταῦτα οὐχ ὑφίσταται, δῆλον ὅτι οὐκ ἔστι σῶμα. ὁ δὲ Ἐπίκουρος[e] καὶ ὁ Δημόκριτος, καὶ οἱ Στωϊκοὶ, σῶμα φασὶ τὴν φωνήν.

Πᾶν ὃ δύναται δρᾶσαι καὶ παθεῖν σῶμα ἐστὶν, ὥσπερ σίδηρος· πάσχει μὲν οὗτος ὑπὸ πυρὸς, δρᾷ δὲ εἰς ἀνθρώπους ἢ εἰς ξύλα· εἰ ἄρα καὶ ἡ φωνὴ καὶ δρᾷ καὶ πάσχει, σῶμα ἐστί· καὶ δρᾷ μὲν, ἡνίκα ἀκούοντες ἡμεῖς ἢ φωνῆς ἢ κιθάρας, πρὸς τέρψιν ἐρχόμεθα. πάσχει δὲ, ὡς ὅταν φωνούντων ἡμῶν ἄνεμος πνεύσει καὶ ποιήσει[f] ἧττον ἀκούεσθαι τὴν φωνήν. Ἔτι καὶ οὕτως ἀποδείκνυται σῶμα. πᾶν αἰσθητὸν, σῶμα ἐστὶν, οἷον, ξύλον, λίθος. ταῦτα γὰρ αἰσθητὰ εἰσὶν, ὑποπίπτουσιν δὲ τῇ ὁράσει· εἰ ἄρα καὶ ἡ φωνὴ αἰσθητὸν, ὑποπίπτει γὰρ τῇ ἀκοῇ, δῆλον ὅτι σῶμα ἐστίν. Ἔτι ἴδιον ἐστὶ σώματος τὸ ποτὲ μὲν αὐξάνεσθαι, ποτὲ δὲ λήγειν· οἷον, ὡς ἐπὶ τοῦ δένδρου· τοῦτο γὰρ αὔξεται καὶ λήγει τεμνόμενον. εἰ ἄρα οὖν καὶ ἡ φωνὴ καὶ αὔξεται καὶ λήγει, δῆλον ὅτι σῶμα ἐστί. καὶ αὔξεται μὲν ὡς ἐπὶ τῶν παίδων· ὧν ἡ φωνὴ βραχεῖα ἐστὶ μικρῶν ὄντων, αὐξηθέντων δὲ μεγάλη. λήγει δὲ ὅτε ἀσθενήσαντος τινὸς, ἀσθενοῦσα καὶ αὕτη, μειωθῇ.

Ἔτι πᾶν τὸ τυποῦν σῶμα ἐστὶν, ὡς ἐπὶ τοῦ λίθου. καὶ γὰρ ἁπτομένων ἡμῶν τούτου ἀντιτυπεία γίνεται· ἀντιτυπία δὲ λέγεται ἵνα εὑρεθῇ τὶ προσκροῦον. εἰ ἄρα καὶ ἡ φωνὴ ἀντιτυπεῖ προσκρούουσα ταῖς φωναῖς· καὶ γὰρ ἡ φωνὴ πρὸς οὖς οὖσα ταῖς ἀκοαῖς ἐξάκουστος γίνεται, δῆλον ὅτι σῶμα ἐστίν.

Φωνὴ δὲ λέγεται κυρίως ἐπὶ ἀνθρώπων, ὡς παρὰ τῷ ποιητῇ

[e] Cod. ἐπίκαρ. (superscr. ου ος) superscr. ου correctoris est. [f] Cod. ποιείσει.

οὐδ' εἴ μοι δέκα μὲν γλῶσσαι, δέκα δὲ στόματ' ἦεν
φωνὴ δ' ἄρρηκτος— (Il. B. 489.)

καταχρηστικῶς δὲ ἐφ' ἑτέρων.

ὡς δ' ὅτ' ἀριζήλη φωνὴ, ὅτε τ' ἴαχε σάλπιγξ. (Il. Σ. 219.)

Φώνη δὲ λέγεται οἱονεὶ φαονή τις οὖσα· τουτέστι λαμπρῶς δηλοῦσα τὰ νοήματα· ἢ φωτονόη τὶς οὖσα, παρὰ τὸ φωτίζειν τὸν νοῦν.

Ἰστέον δὲ ὅτι τὴν φωνὴν οὕτω τινὲς ὁρίζονται. φωνή ἐστι πνεῦμά τι, ἀπὸ συστήματος ἰδίου καὶ αἵματος ἀναφερόμενον, ἕως τῆς γλώττης· ὑφ' ἧς τυπτόμενον αὐτὸ διαρθροῦται, καὶ νοητὸν ταῖς πλησίον ἀκοαῖς παραδίδοται.

P. 60. Περὶ Στοιχείων.

Τῶν στοιχείων εὑρετὴν τινὲς Κάδμον φασίν· οἱ δὲ οὐχ εὑρετὴν, τῆς δὲ Φοινίκων εὑρέσεως πρὸς ἡμᾶς διάκονον[g] γενέσθαι· οἱ δὲ πρὸ Κάδμου Δαναὸν αὐτὰ φασὶ μετακομίσαι. ἔνιοι δὲ Μουσαῖον, τὸν Μητίονος καὶ Στερόπης κατ' Ὀρφέα γενόμενον, εὑρετὴν γεγονέναι. οἱ δὲ τὸν παρ' Αἰγυπτίοις Θὼθ εὑρηκέναι, ὃν λέγουσιν Ἑρμῆν. οἱ δὲ ἐν Κρήτῃ εὑρεθῆναι αὐτά. Αἰσχύλος δὲ Προμηθέα φησὶ εὑρηκέναι αὐτά. Στησίχορος δὲ καὶ Εὐριπίδης Παλαμήδην. Μνασέας[h] δὲ Ἑρμῆν· ἄλλοι δὲ ἄλλον· πιθανὸν δὲ κατὰ πάντα τόπον εὑρετὰς γεγενῆσθαι· διὸ καὶ ἄλλα παρ' ἄλλοις. διάφοροι γάρ εἰσι χαρακτῆρες τῶν στοιχείων. οἷς δὲ νυνὶ χρώμεθα, εἰσὶν Ἰωνικοὶ, εἰσενέγκαντος Ἀρχίνου παρ' Ἀθηναίοις ψήφισμα τοὺς γραμματιστὰς ἤγουν διδασκάλους παιδεύειν τὴν Ἰωνικὴν γραμματικὴν, ἤγουν τὰ γράμματα. διέταξε δὲ τὰ στοιχεῖα γράφεσθαι ὡς γράφομεν νῦν Προναπίδης ὁ Ἀθηναῖος. τῶν γὰρ ἀρχαίων, οἱ μὲν κιονηδὸν ἔγραφον, οἱ δὲ σπειρηδόν· ἔγραφον δὲ καὶ δεσχιδὸν[i] ἤγουν στιχηδόν· ᾗ γραφῇ νῦν ἡμεῖς χρώμεθα· παρὰ τὸ ἔχειν διεσχισμένους καὶ διακεχωρισμένους τοὺς στίχους ἀπ' ἀλλήλων. διὰ τοῦτο δὲ τοῖς Ἰωνικοῖς χρώμεθα διὰ τὸ κάλλος· εὐτρεπέστεροι γὰρ οὗτοι παρὰ τοὺς ἄλλους· καὶ ὅτι

[g] Male Bekker. Cod. διάσκορον p. 783, 3. [h] Cod. μνησέας.
[i] Sic.

πλεῖστα τῶν συγγραμμάτων τούτων γέγραπται· καὶ ὅτι πλεῖστα συγγραφεῖς καὶ ποιηταὶ ἀπὸ τῆς Ἰωνίας τούτοις τοῖς τύποις ἐχρήσαντο. Φασὶ δὲ ὅτι Πυθάγορας ἐπεμελήθη τοῦ κάλλους αὐτῶν ἐκ τῆς κατὰ γεωμετρίαν γραμμῆς ῥυθμίσας αὐτὰ γωνίαις καὶ περιφερείαις καὶ εὐθείαις. τὰ δὲ ὀνόματα τῶν στοιχείων ἄκλιτα εἰσὶν, ὥς φασι τινὲς ὅτι βαρβάρων ἐστὶν εὑρήματα. Ἀλλ' ἔστιν εἰπεῖν ὅτι πολλὰ τῶν βαρβάρων κλίνεται οἷον Δαρεῖος, Ξέρξης. δεύτερον δὲ, ὅτι ἄτοπόν ἐστι τὸν θεμέλιον τῆς Ἑλληνικῆς διαλέκτου βαρβάρων εὕρημα λέγειν. τρίτον εἰ διὰ τὸ βάρβαρα εἶναι οὐ κλίνεται, ὤφειλον τὰ ις μόνα μὴ κλίνεσθαι· τὰ δὲ ἄλλα, ἤτοι τὰ ὑπὸ τῶν Ἑλλήνων εὑρεθέντα κλίνεσθαι· φημὶ δὲ τὰ δύο μακρὰ, καὶ τὰ γ' διπλᾶ, καὶ τὰ γ' δασέα. κρεῖττον οὖν λέγειν, ὅτι ἐπειδὴ ἀρχαὶ εἰσίν· αἱ δὲ ἀρχαὶ θέλουσιν ἁπλαῖ εἶναι, ὥσπερ ἡ λευκότης αὐτὴ καθ' ἑαυτὴν νοουμένη, ἁπλῆ ἐστι· ἢ ὅτι οἱ θεμέλιοι ἀμεταθέτως θέλουσιν ἔχειν· ἢ διὰ τὸ ἀρτιμαθὲς τῶν παίδων οὐ κλίνεται· μήπως πολλὰ γενόμενα δυσκατάληπτα αὐτοῖς γένηται. παρὰ τῷ Δημοκρίτῳ κλίνεται· λέγει γὰρ δέλτατος καὶ θήτατος.

Φοινικικὰ δὲ τὰ γράμματα ἐλέγοντο, ἐπεὶ Φοίνικες εὗρον αὐτά· οἱ δὲ ὅτι ἐπεὶ διὰ μίλτου τὸ πρότερον ἐγράφετο, ὅ ἐστι χρῶμα φοινικοῦν· οἱ δὲ ὅτι ἐν πετάλοις φοινικείοις ἐγράφετο· ἢ ὅτι ἐν πυρῷ[1] κηρῷ ἐγράφετο. ἢ ὅτι φοινίσσεται ὑπ' αὐτῶν ὅ ἐστι λαμπρύνεται. ἢ ἀπὸ Φοινίκης τῆς Ἀκταίωνος. ἢ ὅτι ἀπὸ Φοινίκης ξύλον εἶχον ἀντὶ γραφείου. οἱ δὲ ἀπὸ Φοίνικος τοῦ Ἀχιλλέως τροφέως εὑρόντος αὐτά. οἱ δὲ ὅτι ἀπὸ Φοίνικος τοῦ Προνόπου καὶ Εὐρώπης εὑρόντος αὐτὰ ἐν Κρήτῃ, ὃν ἀπέκτεινε Ῥαδάμανθυς φθονήσας.

Εὗρε δὲ τὰ μὲν δύο μακρὰ Σιμωνίδης ὁ Κεῖος, καὶ τὸ ζ καὶ τὸ ψ. Παλαμήδης δὲ τὸ ξ καὶ τὰ δασέα. τινὲς δὲ φασὶν Ἐπίχαρμος ὁ Συρακούσιος. κρεῖττον δέ ἐστι λέγειν, ὡς ἅμα τὸ δημιουργῆσαι ὁ Θεὸς τὸν ἄνθρωπον, ἐχαρίσατο αὐτῷ τοιαύτην ἐπιτηδειότητα, ὥστε τεχνώσασθαι τὰ στοιχεῖα. δείκ-

[1] Sic.

νυται γὰρ καὶ πρὸ τῶν Ἰλιακῶν ὄντα· φησὶ γὰρ ὁ ποιητὴς,

γράψας ἐν πίνακι πυκτῷ (Il. Z. 169.)

ὁ δὲ Βελλεροφόντης πρὸ τῶν Τρωϊκῶν. ἀλλὰ καὶ ἐν Πυθίᾳ ἦν λέβης ἐπιγεγραμμένος

Ἀμφιτρύων μ' ἀνέθηκε λαβὼν ἀπὸ Τηλεβοάων.

καὶ ἐν Τάφῳ[1] τῇ νήσῳ·

Ὠκεανοῦ θυγάτηρ καὶ Τηθύος εἰμὶ Νυχεία
κρήνη· Τηλεβόαι γάρ με τόδ' ὠνόμασαν.
Νύμφαις μὲν προχέων λουτρὸν, θνητῷ δ' ὑγείην·
θῆκε δέ με Πτερέλας υἱὸς Ἐνυαλίου.

Μετὰ δὲ τὸν ἐπὶ Δευκαλίωνος κατακλυσμὸν, οὐδεὶς τῶν παραλειφθέντων Ἑλλήνων ἐφύλαξεν αὐτῶν τὴν μνήμην, πλὴν τῶν Πελασγῶν τῶν ἀφ' Ἑλλάδος εἰς βαρβάρους πλανηθέντων. οὓς καὶ ὁ ποιητὴς δίους καλεῖ, φάσκων

καὶ Λέλεγες καὶ Καύκωνες Δῖοί τε Πελασγοί·

παρ' ὧν μαθόντες πρῶτοι Φοίνικες εἰς Ἕλληνας ἤγαγον· γείτονές τε βαρβάροις ὄντες καὶ συνεχεῖς ἐμπορείας ποιούμενοι, ὅθεν καὶ Φοινικικὰ κτητικῶς ὀνομάζονται. οἱ δὲ φοινίκεια λέγουσιν αὐτὰ, οἱονεὶ φωνήκεια. ἐπεὶ φωνῆς ἐγγραμμάτου δυνάμει εἰκόνες εἰσί· μεταβολὴ δὲ γέγονε τοῦ ω εἰς τὴν οι δίφθογγον, κατὰ τὴν τῶν Βοιωτῶν διάλεκτον· ὥσπερ ἀγκόνη, ἀγκοίνη.

Στοιχεῖον δὲ λέγεται ἢ παρὰ τὸ στείχω τὸ πορεύομαι, τουτέστι κατὰ τάξιν πορευόμενα καὶ κείμενα· ἢ ἀπὸ τοῦ δι' αὐτῶν τοὺς ἀριθμοὺς τυποῦσθαι· στοῖχος γὰρ παρὰ τοῖς παλαιοῖς ὁ ἀριθμός· τοιγαροῦν οἱ Σικυώνιοι κατὰ φυλακὰς[m] ἑαυτοὺς ταξάντες καὶ ἀριθμήσαντες, Διὸς Στοιχαδέως ἱερὸν ἱδρύσαντο· ἄλλο[n] παρὰ τὸ στοιχηδὸν γράφεσθαι στιχεῖον καὶ στοιχεῖον. ἢ ἀπὸ Στοίχου τινὸς Ἀθηναίου εὑραμένου αὐτά· ἢ ἀπὸ τοῦ στίχος τοῦ σημαίνοντος τὴν τάξιν· στίχον γάρ τινα καὶ τάξιν ἔχουσι τὰ στοιχεῖα· καὶ γὰρ τούτων τὰ μέν ἐστι προτακτικὰ, τὰ δὲ ὑποτακτικά. ἢ παρὰ τὸ τοῖχος

[1] Male Bekker. Cod. Πάφῳ. An. p. 784. [m] leg φυλὰς. [n] leg. ἄλλοι.

γέγονε τοιχεῖον, καὶ πλεονασμῷ τοῦ σ στοιχεῖον. καὶ γὰρ ἐν τοίχοις πρότερον ἐγράφοντο. ἢ παρὰ τὸ στοιχῶ γέγονε στοιχεῖον. ὅτι γὰρ ἁρμονίᾳ ἕπεται ἀλλήλοις τὰ στοιχεῖα δῆλον. ἀφ' οὗ λέγομεν ψιλὰ καὶ ψιλῶν, καὶ μέσα μέσων ἡγεῖσθαι, καὶ δασέα δασέων, κατὰ σύλληψιν· οἷον, φθόνος, κτύπος, ἕβδομος. καὶ πάλιν φαμὲν τὸ γ τοῦ χ μὴ προηγεῖσθαι· μὴ δὲ ποτὲ ἄφωνον προηγεῖσθαι τοῦ σ κατὰ σύλληψιν. ἢ στοιχεῖα λέγονται ὁμοφώνως τοῖς κοσμικοῖς στοιχείοις. ὥσπερ γὰρ ἐκεῖνα συνελθόντα σῶμα ἀποτελεῖ· τὸν αὐτὸν τρόπον καὶ ταῦτα ἐπιπλεκόμενα ἀλλήλοις τὴν ἐγγράμματον φωνὴν τρόπῳ τινὶ οὖσαν σῶμα συνίστησι.

Γράμματα δὲ εἴρηται παρὰ τὸ γλάπτεσθαι, ὅ ἐστι κοιλαίνεσθαι· γέγονε γλάμμα, καὶ κατὰ μετάθεσιν τοῦ λ εἰς τὸ ρ γράμμα· ἢ παρ' ὅσον ἐκ τῶν παρὰ τοῖς γεωμέτροις[o] λεγομένων γραμμῶν ἐσχημάτισται. Διατί δὲ τὸ γράμμα οὐ δι' ἑνὸς μ γράφεται, ὡς τὸ βῆμα; ἐπειδὴ ταῦτα ἐκ τοῦ παθητικοῦ παρασχηματίζονται, οἷον πεποίημαι, ποίημα· εἰ οὖν τὸ γέγραμμαι διὰ δύο μμ γράφεται, εὐκόλως καὶ τὸ γράμμα. Στοιχεῖον δὲ ἐστὶ φωνὴ ἐγγράμματος ἀμερής· ἐγγράμματος μὲν, διὰ τὰς ἀγραμμάτους· ἀμερὴς δὲ, ἐπεὶ τὸ στοιχεῖον οὐ μερίζεται ὥσπερ ἡ συλλαβὴ εἰς στοιχεῖον. ἢ στοιχεῖον ἐστὶν ἡ πρώτη τοῦ ἀνθρώπου φωνὴ, γράμμα δὲ σημεῖον στοιχείου· ὃ σχήματι γραφῆς ποιῷ ἢ πόσῳ καταλαμβάνεται. ὡς ὅταν μὲν γράφωμεν π ρ ο ς· ταῦτα στοιχεῖα ἂν εἴποιμεν καὶ γράμματα. εἰ δὲ ρ π ε ο, γράμματα μὲν, οὐ στοιχεῖα δέ. παρέπεται τῷ στοιχείῳ ὄνομα, σχῆμα, θέσις, ἐκφώνησις, δύναμις. Ὄνομα μὲν, ὡς ὅταν εἴπωμεν αβ. σχῆμα δὲ, ὡς ὅταν εἴπωμεν ὅτι τὰ μὲν μιὰν γραμμὴν ἔχουσιν ὡς τὸ ι· τὰ δὲ δύο ὡς τὸ γ· τὰ δὲ τρεῖς ὡς τὸ δ. θέσις δὲ, ὡς ὅταν εἴπωμεν ὅτι τὰ μὲν προτάσσονται, τὰ δὲ ὑποτάσσονται. ἐκφώνησις δὲ, ὡς ὅταν εἴπωμεν α ε ι. δύναμις δὲ,

[o] Sic.

ὡς ὅταν εἴπωμεν ὅτι τὰ μὲν ψιλοῦνται, τὰ δὲ δασύνεται· καὶ τὰ μὲν ἐκτείνεται, τὰ δὲ συστέλλονται· καὶ τὰ μὲν ὀξύνεται, τὰ δὲ βαρύνεται.

Τὰς δὲ διαιρέσεις τῶν στοιχείων δεῖ ποιεῖσθαι περὶ ἕκαστον τῶν παρεπομένων αὐτοῖς· ὥσπερ γὰρ ἀνθρώπῳ παρέπεται τὰ τῆς ψυχῆς, τὰ τοῦ σώματος, τὰ τῶν ἐκτός· διαιροῦντες δὲ τὸ περὶ ψυχὴν φαμὲν, τῶν ἀνθρώπων οἱ μὲν ἔμφρονες, οἱ δὲ ἄφρονες· καὶ τὸ σῶμα, οἱ μὲν ὑγιεῖς, οἱ δὲ ἀσθενεῖς· καὶ τὰ ἐκτὸς οἱ μὲν πλούσιοι, οἱ δὲ πένητες· οὕτως καὶ τῶν στοιχείων δεῖ ποιεῖσθαι τὰς διαιρέσεις, περὶ ἕκαστον τῶν παρεπομένων. ὅταν τοίνυν πρώτην καὶ δευτέραν καὶ τρίτην διαίρεσιν ποιησώμεθα, τὴν μὲν πρώτην καλοῦμεν διαίρεσιν τὴν εἰς δύο τοῦ λόγου τομήν· τὴν δὲ δευτέραν ὑποδιαίρεσιν· τὴν δὲ τρίτην ἐπιδιαίρεσιν· οἷον, ὡς ὅταν εἴπωμεν, τῶν στοιχείων τὰ μὲν φωνήεντα, τὰ δὲ σύμφωνα· τὰ μὲν ἡμίφωνα, τὰ δὲ ἄφωνα· τῶν δὲ ἀφώνων, τὰ μὲν ψιλὰ, τὰ δὲ δασέα, τὰ δὲ μέσα. ἡμεῖς μὲν οὖν τὰ στοιχεῖα εἰς δύο διαιροῦμεν, εἰς φωνήεντα καὶ εἰς σύμφωνα· τινὲς εἰς τρία· εἰς φωνήεντα, εἰς ἄφωνα, καὶ εἰς ἡμίφωνα.

Διατί δὲ τὰ φωνήεντα πρωτεύουσι[p] τῶν συμφώνων; διὰ τὸ α, ὅπερ ὠνόμασται μὲν παρὰ τὸ ἄλφω, πρῶτον εὑρεθέν. προτέτακται δὲ τῶν ἄλλων ὡς ἀπὸ τοῦ αὐτοῦ στοιχείου ἀρξάμενον, καὶ εἰς τὸ αὐτὸ λῆξαν· ὅπερ τοῖς ἄλλοις οὐ παρέπεται. Ἐπειδὴ δὲ διάφοροι παρὰ τοῖς ἀρχαίοις χαρακτῆρες τῶν στοιχείων ἦσαν, ἀναγκαῖον ἐκθέσθαι αὐτοὺς σαφηνείας[q]. τούτων γὰρ ἐκτιθεμένων οὐ ταράξει ἡμᾶς ἀσυνήθεις ἡμῖν χαρακτῆρας δεικνύς.

Ταῦτα Λούκιος ὁ Ταρραῖος παρατίθεται[r].

P. 66. Τῶν ἀρχαίων οἱ μὲν βουστροφηδὸν ἔγραφον, οἱ δὲ κιονηδὸν, οἱ δὲ πλινθηδὸν, οἱ δὲ σπειρηδόν. κ. τ. λ. ut in Bekker. p. 1170.

Ἴστεον ὅτι πᾶν στοιχεῖον ἀφ' ἑαυτοῦ ἄρχεται· τὸ α ἀπὸ

p Cod. προτεύουσι. q Sic. r Hæc rubr. lit. scripta sunt p. 65. tum sequitur unius fere paginæ lacuna.

τοῦ α· τὸ β ἀπὸ τοῦ β· τὸ δὲ δίγαμμα οὐχ οὕτως ἔχει· οὐκ ἄρα ἔστι στοιχεῖον. ἄλλως τε πάντα τὰ στοιχεῖα κατὰ πᾶσαν ἐστὶν εὑρέσθαι διάλεκτον· τοῦτο δὲ οὐχ εὑρίσκεται, εἰ μὴ παρὰ μόνοις τοῖς Βοιωτοῖς καὶ Αἰολεῦσι καὶ Λάκωσιν· οὐκ ἄρα ἐστὶ στοιχεῖον.

Ἔτι δὲ τὰ στοιχεῖα ἢ φωνήεντα ἐστὶν ἢ σύμφωνα· τοῦτο δὲ οὐδὲν ἐκ τούτων δύναται εἶναι. σύμφωνον μὲν γὰρ οὐκ ἔστιν, ἐπειδὴ τὰ σύμφωνα εὑρίσκεται μετὰ ἑτέρου συμφώνου ἐν συλλήψει ἢ ἐν διαστάσει· οἷον, θνήσκω, ἕλκω· εἰ ἄρα οὖν τὸ Ϝοὺ σύνεστι συμφώνῳ, ἀλλ' ἀεὶ φωνήεντι, δηλονότι οὐκ ἔστι σύμφωνον. Ἀλλ' οὔτε φωνῆεν δύναται εἶναι. τοῖς γὰρ φωνήεσι παρέπεται δασεῖα καὶ ψιλή· τῷ δὲ Ϝουδέποτε δασεῖα, ἀλλὰ μόνως ψιλοῦται. οὐκ ἄρα ἐστὶ φωνῆεν. Ἄλλως τε τὰ προτακτικὰ φωνήεντα οὐχ ὑποτάσσονται φωνήεσιν. ἆρ' οὖν τὸ δίγαμμα, εἰ εἴπομεν φωνῆεν, εὑρεθήσεται ἐν τῷ Ϝάναξ καὶ Ϝελένη, τὸ α ε προτακτικὸν ὑποταττόμενα[s] φωνήεντα· ὅπέρ ἐστιν ἄτοπον· γ' γὰρ φωνήεντα ἐν μιᾷ λέξει παραλαμβάνεσθαι ἀδύνατον. εἰ ἄρα οὖν οὔτε σύμφωνον ἐστὶν, οὔτε φωνῆεν, δηλονότι οὐκ ἔστι στοιχεῖον.

Ἔτι πᾶς χαρακτὴρ στοιχείου ἀριθμὸν σημαίνει· οἷον, τὸ α σημαίνει τὸν ἑνὰ ἀριθμόν· τὸ β τὸν β'· εἰ ἄρα οὖν τὸ Ϝ οὐ σημαίνει ἀριθμὸν, οὐκ ἔστι στοιχεῖον.

Ἔπει δὲ καὶ τὸ ρ τινὲς λέγουσι φωνῆεν, εἴπωμεν πόθεν αὐτὸ λέγουσι. φωνῆεν φασὶ, ὅτι τοῖς φωνῆεσι παρέπεται τὸ δασὺ καὶ ψιλὸν, οὐ μὴν τοῖς συμφώνοις. εἰ ἄρα οὖν τὸ ρ καὶ δασύνεται καὶ ψιλοῦται· καὶ δασύνεται μὲν, ὡς ἐν τῷ ῥάπτω· ψιλοῦται δὲ, ὡς ἐν τῷ μέρος· δηλονότι φωνῆεν ἐστίν. Ἄλλως τε τὰ διὰ τοῦ α μακρὰ ἐκφερόμενα κατὰ τὸν μέλλοντα τῆς β' συζυγίας τῶν περισπωμένων, ὅτε μὴ Δωρικὰ ἐστὶ κατὰ τὸν ἐνεστῶτα, ἔχουσι πρὸ τοῦ ω φωνῆεν· οἷον, ἀνίω, ἀνιάσω· κοπιάσω. ἐπεὶ οὖν τὸ φρυάσω καὶ περάσω καὶ δράσω, οὐ Δωρικὰ ὄντα ἀλλὰ κοινὰ, τῷ α μακρῷ κέχρηνται, παραλήγεται δὲ τῷ ρ, δηλόνοτι φωνῆεν ἐστί. πρόσκειται,

[s] Sic.

ὅτε μὴ Δώρια, διὰ τὸ πεινάσω καὶ διψάσω· ταῦτα γὰρ μακρὸν ἔχουσι, καὶ ὅμως κατὰ τὸν ἐνεστῶτα οὐκ ἔχουσι πρὸ τοῦ ω φωνῆεν. οὐκ ἀντίκειται δὲ ἡμῖν, ἐπεὶ ἀπὸ τοῦ πεινήσω καὶ διψήσω κατὰ τροπὴν τοῦ η εἰς α μακρὸν γέγονε.

Fol. 70. Ζητητέον δὲ εἰ ἄρα τὸ παρὰ τοῖς Βοιωτοῖς προστιθέμενον νι δύναμιν ἔχει στοιχείου. Καὶ ἔστιν εἰπεῖν ὅτι οὐκ ἔχει δύναμιν στοιχείου, ἀλλὰ φθόγγος μόνον. ὅτι γὰρ οὐκ ἔχει δύναμιν στοιχείου δῆλον, εἴγε προσερχόμενον τῷ υι τὸν αὐτὸν χρόνον φυλάσσει. καὶ γὰρ ὥσπερ τὸ κύνες συνεσταλμένον ἔχει τὸ υι, οὕτω καὶ τὸ κούνες συνεσταλμένην ἔχει τὴν κου συλλαβήν.

P. 78. Φασὶ τινὲς ὅτι ἕως τῶν Τρωικῶν, οὐκ ἐγινώσκετο γράμματα. καὶ δῆλον ἐκ τοῦ μὴ σωθῆναι ποίημα τῶν κατὰ τοὺς Ὁμηρικοὺς χρόνους· καὶ ταῦτα αὐτοῦ τοῦ Ὁμήρου εἰσαγόντος ποιητὰς, τόν τε Φήμιον καὶ Δημόδοκον· ἱστορουμένου δὲ καὶ Ὀρφέως προγεγενῆσθαι καὶ Μουσαίου καὶ Λίνου. ἀλλ' ὅμως πλὴν ὀνόματος οὐδὲν πλέον εἰς τὰ μετὰ ταῦτα διασωθῆναι συμβέβηκε, ὡς πρὸς τῆς Ὁμήρου ποιήσεως, μηδὲν πρεσβύτερον τῆς Ἰλιάδος καὶ Ὀδυσσείας σώζεσθαι ποίημα.

Ἀλλ' ἐρεῖ τὶς, πῶς ἐπιγράμματα σώζεται νομιζόμενα πρεσβύτερα; τούτων δὲ τὰ μὲν ἐψευσμένα τοὺς χρόνους· τὰ δὲ ἐπὶ παλαιοῖς νεωτέροις ἐπιγραφὰς εἶναι. καὶ οἱ ἥρωες δὲ ἀγράμματοι τινὲς ἦσαν, καὶ σημείοις καὶ συμβόλοις πρὸς ἀλλήλους ἐν τῇ κατὰ τὸν βίον ἀναστροφῇ χρώμενοι. τὸ γοῦν

γράψας ἐν πίνακι πυκτῷ (Il. Z. 169.)

διαζωγράφησίν τινα καὶ διατύπωσιν φησὶ, ἣν ὁ γράφων ἐβούλετο ἐνδεῖξασθαι· ἀλλ' ἄτοπόν ἐστι τοὺς ἀρίστους τοῦ ἀνθρωπείου γένους ἀπαιδεύτους καὶ ἀγραμμάτους λέγειν· ἀλλὰ φαμὲν ὡς οὐκ ἔστιν ἀπαιδευσίας τεκμήριον τὸ ἀγράμματον. Ὁ γοῦν θεῖος Πλάτων ἐν τῷ Φαίδρῳ καὶ διαβάλλει τὴν εὕρεσιν τῶν γραμμάτων ὡς ἐπὶ λύμῃ παιδείας γεγονυῖαν. Ὅτι δὲ ποιητικοῦ τινὸς ἀνδρὸς καὶ μουσικοῦ ἢ τῶν

στοιχείων εὕρεσις σημεῖον τὸ πάλαι τοὺς αὐτοὺς γραμματικῆς καὶ μουσικῆς εἶναι διδασκάλους, ὡς Εὔπολις εἰσάγει ἐν Αἰξὶ καὶ Ἰσοκράτης[t] ἐν τῷ περὶ τῆς Ἀντιδόσεως.

Εὑρέθη δὲ τὰ πρῶτα ΙϚ· ἐκφωνήσεις γὰρ τούτων κδ΄. καὶ γὰρ εἰ μήπω εὕροντο οἱ χαρακτῆρες, αἱ ἐκφωνήσεις διὰ τῶν ΙϚ ἐπληροῦντο μετὰ τινὸς προσῳδίας. φασὶ γὰρ πρὶν εὑρεθῆναι τὰ δασέα τοῖς ἐναντίοις ἐχρῶντο· οἷον, εἰ ἠθέλησαν ποιῆσαι χ, ἐποίουν κ καὶ ⊢. εἰ δὲ θ, τ καὶ ⊢. εἰ δὲ φ π καὶ ⊢. ὡς νῦν οἱ Ῥωμαῖοι καὶ τὰ διπλᾶ δὲ ἐξ ὧν σύγκεινται. ἀντὶ δὲ τῶν μακρῶν· ἀντὶ τοῦ ω, ο καὶ —. ἀντὶ τοῦ η, ε καὶ —.

Στοιχεῖον δέ ἐστιν ἡ δύναμις καὶ ἐκφώνησις τοῦ γράμματος, γεγραμμένου γὰρ ο καὶ ω, τὸ μὲν συστέλλοντες ἐκφωνοῦμεν· τὸ δὲ ω ἐκτείνοντες, καὶ εἴτε προσπνέοντες ἤτοι δασύνοντες ἢ ψιλοῦντες. ὡς τύπους μὲν εἶναι γραμμάτων κδ΄· δυνάμεις δὲ καὶ[u] ἐκφωνήσεις πλείους. οἱ γὰρ παλαιοὶ ἄλλως ἐξεφώνουν τὸ α τὸ μακρὸν, καὶ ἄλλως τὸ βραχύ· καὶ ἄλλως τὸ δασὺ, καὶ ἄλλως τὸ ψιλὸν ————

Οἱ οὖν παλαιοὶ οὐχ ὁμοίως τὰ μακρὰ καὶ τὰ βραχέα ἐξεφώνουν. ἀλλ' ἐπὶ μὲν τῶν μακρῶν διπλασίονα ὥραν, ὡς ἄν τις εἴποι ἐποίουν· ἐπὶ δὲ τῶν βραχέων ἐλάττω· ὥς τε ἐκ νεαρᾶς ἡλικίας εἰδέναι ἑκάστης συλλαβῆς τὴν διαφοράν· καὶ ἄλλως τὰ δασέα ἐξεφώνουν καὶ ἄλλως τὰ ψιλά.

P. 83. Καὶ γὰρ ὁ Ζεὺς παρὰ τοῖς Λάκωσι Δεὺς λέγεται· καὶ παρὰ Βοιωτοῖς τὸ σφάζω διὰ δύο δδ σφάδδω, καὶ τὸ σαλπίζω σαλπίδδω· καὶ ἐν ταῖς τῶν ῥημάτων κλίσεσιν, ἀπὸ τοῦ φράζω ὁ β΄ ἀόριστος ἔφραδον· καὶ ἀνάπαλιν παρὰ τοῖς Αἰολεῦσιν ἀντὶ τοῦ δ, ζ παραλαμβάνεται, ὡς ὅταν τὸ διάβατον ἡ Σαπφὼ ζάβατον λέγει.

P. 88. Διατί δὲ κδ΄ ἔφη εἶναι τὰ γράμματα; εἰ γὰρ γράμματα εἰσὶν οἱ χαρακτῆρες καὶ οἱ ξυσμοί· γράμματα δὲ καὶ τὰ παρὰ Χαλδαίοις καὶ Αἰγυπτίοις καὶ ἑτέροις τὸ δίγαμμα καὶ τὸ κόππα καὶ τὸ καλούμενον παρακύϊσμα.

[t] Cod. ἰσωκράτης. [u] καὶ om. supplevi.

P. 91. Γράμματα δὲ λέγεται διὰ τὸ γραμμαῖς καὶ ξυσμαῖς τυποῦσθαι· ἔνθεν καὶ γράβδης ἡ διεσχισμένη λαμπὰς, καὶ γραῦς ἡ διεσχισμένη τὸ σῶμα διὰ τὸ γῆρας.

Φασὶ δὲ τὰ ἑπτὰ φωνήεντα κατὰ μίμησιν εἶναι τῶν ζ′ πλανήτων· καὶ τὸ μὲν α τῇ σελήνῃ ἀνακεῖσθαι· τὸ δὲ ε τῷ Ἑρμῇ· τὸ δὲ η τῇ Ἀφροδίτῃ· τὸ δὲ ι τῷ ἡλίῳ· τῷ δὲ Ἄρει τὸ ο· τὸ δὲ υ τῷ Διΐ· τὸ δὲ ω τῷ Κρόνῳ.

P. 107. Ἐπειδὴ ἐπλανήθησαν οἱ Αἰολεῖς κατὰ τὴν προφορὰν τὸ ζυγὸς σδυγὸς γράφοντες, καὶ τὸ ξίφος σκίφος, τὸ ψέλιον σπέλιον.

P. 125. Συμφώνησις ἐστὶν ὁπόταν δύο σύμφωνα μεταξὺ ἀλλήλων μὴ ἔχουσαι ἀντὶ μιᾶς παραλαμβάνονται· ὡς ἐν τῷ

ἢ οὐχ ἅλις ὅτε γυναῖκας ἀνάλκιδας· (Il. E. 349.)

ἢ βραχεῖαν καὶ μακράν· ὡς ἐν τῷ

πλέων ἐπὶ οἴνοπα πόντον· (Od. A. 183.)

καὶ ἐν τῷ

ὑμῖν μὲν θεοὶ δοῖεν

ἢ δύο βραχείας εἰς μίαν μακρὰν, ὡς ἐν τῷ

νέας μοι κατέαξε Ποσειδάων (Od. I. 283.)

ἢ δύο βραχείας εἰς μίαν μακρὰν, ὡς ἐν ἄλλοις μέτροις εὑρίσκεται καὶ παρὰ Πραξίλλῃ

ἀλλὰ τεὸν οὔποθε θυμὸν ἐνὶ στείθεσιν ἔπειθεον.

Περὶ Πατρωνυμικοῦ· οὐδέποτε γὰρ Ὅμηρος ἐκ πάππου ἀποτελεῖ πατρωνυμικὸν, εἰ μὴ ὁ πάππος Διὸς εἴη υἱὸς, ὡς ἐν τῷ Αἰακίδης.

Περὶ δὲ τοῦ εἰς αδιος λέγομεν ὅτι Αἰόλεων ἴδιός ἐστιν, ὁ δὲ πατρωνυμικὸς ὁ εἰς δης κοινός· ὁ δὲ εἰς ων Ἰώνων· εὔθετος δὲ ὁ αδιος Αἰολεῦσι καὶ πρὸς τόνον καὶ πρὸς χρόνον· καὶ γὰρ πρὸς τῷ συστέλλεσθαι καὶ προπαροξύνεσθαι, ὅπερ ἐκεῖνοι φιλοῦσιν. Ὑρράδιος δὲ ἐστὶν ὁ τοῦ Ὕρρα παῖς. Ὕρρας δὲ Μιτυληναίων τύραννος, οὗ υἱὸς Πιττακὸς εἷς τῶν ἑπτὰ φιλοσόφων. ὁ εἰς ας καὶ ὁ εἰς ης τυπὸς θηλυκὸς ἀπὸ τῶν εἰς δης γίνεται ἀρσενικῶν· τὰ γὰρ εἰς δης ἀποβάλλοντα τὴν δη ποιοῦσι τὸ θηλυκά· Τανταλίδης, Τανταλίς· Αἰνειάδης, Αἰνειάς· Βασιληΐδης, Βασιληΐς. τὸ δὲ Εὐξιαντὰς ἀπὸ τοῦ Εὐ-

ξάντιος· τὸ δὲ Εὐξαντίδος παρὰ Καλλιμάχῳ ὕφεσιν ἔχει τοῦ α. τὸ δὲ Ἑλικωνιὰς πλεονάζει· οὕτως μὲν Ἀπολλώνιος. ὁ δὲ Ἡρωδιανός φησιν μὴ δύνασθαι τοιοῦτον παρασχηματισμὸν εἶναι, διὰ τὴν κατάληξιν· διὰ τὸν χρόνον· διὰ τὴν γένεσιν.

P. 117. Ὅρα δὲ τὴν ἀσθενείαν, ὅτι τῶν συμφώνων, κἂν πολλὰ ὦσιν οὐκ ἀποτελεῖ συλλαβήν. τὰ μέντοι φωνήεντα καὶ ἓν μόνον ποιεῖ, οἷον κᾶρ βοῦς· ἔστι καὶ Κὰρ λέξις ἐθνικὴ, ἀφ' οὗ γενικὴ Καρὸς καὶ Κᾶρες. δεῖ οὖν λαμβάνειν τὴν κάρα ἀπὸ τοῦ Καρὸς, καὶ τὸ βοῦς οὐκ ἐπὶ τοῦ ζώου, ἀλλὰ συλλαβὴν ἀποκεκομμένην ἀπὸ τοῦ Βούσιρις. αἱ γὰρ συλλαβαὶ καθ' ἑαυτὰς οὐδὲν σημαίνουσι.

P. 133. Λόγος δὲ σημαίνει ια'· εἰσὶ ταῦτα. Λόγος ὁ ἐξ ἀναλωμάτων, ὅσπερ λέγεται καὶ τραπεζητικὸς, ὡς παρὰ Δημοσθένει. "τὸν μὲν χρημάτων λόγον παρὰ τοῦτον λαμβάνει "δὲ τῶν ἔργων παρὰ τοῦ στρατηγοῦ." ἀντὶ τοῦ τὰ λογάρια.

Ἔστι λόγος καὶ ὁ γεωμετρικὸς, ὡς ὅταν εἴπωμεν, ὃν ἔχει λόγον τὸ ἡμίπηχυ πρὸς πῆχυν, τοῦτον ἔχει λόγον καὶ τὸ δίπηχυ πρὸς τετράπηχυ.

Ἔστι λόγος καὶ ἡ φροντὶς, ὡς παρὰ Μενάνδρῳ,

οὔτε λόγον ὑμῶν οὔτ' ἐπιστροφὴν ἔχει.

Ἔστι λόγος λημμάτων καὶ ἐπιφορῶν, ὡς ὅταν εἴπωμεν, εἰ ἡμέρα ἐστὶ, φῶς ἐστὶ, τοῦτό ἐστι λῆμμα. καὶ γὰρ εἴληπται ὡς ὁμολογούμενον τὸ εἴγε ἡμέρα ἐστὶ φὼς ἄρα ἐστί· ἀλλὰ μὲν ἡμέρα ἐστὶ, φῶς ἄρα ἐστίν· αὕτη ἐπιφορὰ καλεῖται. τὸ γὰρ προειλημμένον ἐπενέχθη.

Ἔστι λόγος καὶ ἡ λογικὴ κατασκευὴ, ὡς ὅταν εἴπωμεν ὅτι οἱ ἄνθρωποι ἔχουσι λόγον, τουτέστι λογικὴν κατασκευήν.

Ἔστι λόγος καὶ ἡ δύναμις, ὡς ὅταν εἴπωμεν, ὅτι κατὰ φυσικὸν λόγον καὶ σπερματικὸν ὀδοντοφύουσι τὰ ζῶα καὶ γένη φέρουσι. τούτεστι κατὰ τὰς φυσικὰς καὶ σπερματικὰς δυνάμεις.

Ἔστι λόγος καὶ ἡ συμπαρεκτεινομένη φωνὴ τῷ διανοήματι, ὡς ἐπὶ τοῦ,

τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς.

Ἔστι λόγος καὶ τὸ σημαινόμενον τὸ αὐτοτελὲς, καθὸ τινὸς εἰπόντος ἀτελὲς, τελείωσον τὸν λόγον. Ἔστι λόγος καὶ ὁ ἔκτασιν ἔχων ποιοῦ ἀπαρτισμοῦ, καθὸ φαμὲν, καλός ἐστιν ὁ κατὰ Μειδίου[x] λόγος Δημοσθένους.

Ἔστι λόγος καὶ αὐτὸ τὸ βιβλίον, ὡς ὅταν εἴπωμεν, χρῆσόν μοι τὸν κατὰ Ἀνδροτίωνος λόγον, τουτέστι τὸ τεῦχος.

Ἔστι λόγος καὶ ἡ ὑπόθεσις, ὡς ἐπὶ τοῦ,

ἤδη δὲ λέξω τὸν λόγον τοῦ δράματος.

ταῦτα λέγουσιν εἶναι τὰ ια΄ τοῦ λόγου· ἔστι δὲ καὶ ἕτερα ταῦτα.

Ἔστι λόγος καὶ ὁ ὅρος, ὡς ὅταν εἴπωμεν, εἰπέ μοι τὸν λόγον τῆς φιλοσοφίας, ἤγουν τὸν ὅρον.

Ἔστι λόγος καὶ ὁ κάνων, ὡς ὅταν εἴπωμεν, εἰπέ μοι τὸν λόγον τοῦ Αἴας Αἴαντος, τουτέστι τὸν κανόνα.

Ἔστι λόγος καὶ ἡ ἀπολογία, ὡς ἐπὶ τοῦ

σκῆψις εὑρεθήσεται, λόγος τις.

Ἔστι λόγος καὶ τὸ ἐπίγραμμα, οἷον,

οὐχ ἕτερον λίθινα ψᾶφος ἔχει λόγον·

τουτέστι τὸ ἐπίγραμμα.

Ἔστι λόγος καὶ τὸ ἀπόφθεγμα· οἷον,

λόγος, μὲν ἐστὶν ἀρχαῖος ἀνθρώποις φανείς.

Ἔστι λόγος καὶ ἡ φωνὴ, οἷον

λόγος τίς ἔπνευσεν, ὡς τέθνηκα·

οὐ γάρ ἐστιν λόγος καὶ ἡ ἀντιλογία.

P. 150. Περὶ ὀνόματος.—Φασὶ δὲ ὅτι προτάττεται τὸ ὄνομα, ἐπειδὴ καὶ πᾶσαι αἱ λέξεις ἐπικοίνως τῇ προσηγορίᾳ ὄνομα καλοῦνται· καθὸ φαμὲν καλοῖς ὀνόμασι χρῆσθαι Πλάτωνα· εἰ γὰρ ὄνομά ἐστι τὸ ὀνοματικὸν καὶ σημαντικὸν, ἕκαστον δὲ τῶν μερῶν τοῦ λόγου σημαντικόν ἐστιν ἢ συστατικὸν, δῆλον ὅτι ἕκαστον ὄνομα ἂν κληθείη· οὕτως οὖν καὶ Διόδωρος ὁ ἐπικληθεὶς Κρόνος λέγεται τὸν οἰκετὴν αὐτοῦ καλεῖν.

P. 166. περιστεριδεὺς ὁ υἱὸς τῆς περιστερᾶς.

[x] Cod. μηδίας.

P. 167. Ἰστέον μέντοι ὅτι τὸ κτητικὸν ἐπὶ τῶν σωματικῶν μερῶν λαμβανόμενον καὶ τεθνηκότων θέλει λαμβάνεσθαι· οἷον, βοεῖα κεφαλὴ, ἡ τοῦ τεθνηκότος βοὸς, οὐ γὰρ ἂν ἐπὶ ζῶντος εἴποι τις τοῦτο· διὸ καὶ μέμφονται τὸν Ζηνόδοτον, ἐπειδὴ τὸ "ἀρνῶν ἐκ κεφαλαίων" κτητικὸν ἔλεγε· καὶ τὸν Καλλίμαχον "χείρη Πολυδυκείη," καὶ "σφυρὸν Ἰφίκλειον" ὅτι ἐπὶ ζώντων ἐχρήσατο κτητικῷ ἐπὶ σωματικοῦ μήρους· περὶ οὗ φαμὲν ὅτι περιφράσει ἐχρήσατο ὥσπερ τὸ "βίη Ἡρακληείη."

P. 177. Περὶ ὑποκοριστικοῦ.—Νενόηται δὲ ἢ διὰ παιδείαν, ἢ διὰ κολακείαν, ἢ διὰ τὸ πρέπον· ἢ διὰ τὸ πρέπον ὡς παραλκὰν (παρ' Ἀλκμᾶνι) εὕρομεν τὰς παρθένους ὑποκοριστικοῖς χρωμένας· πρέπον γὰρ τοῦτο παρθένοις· εἴρηται δὲ ὑποκοριστικὸν παρὰ τοὺς κόρους ἤγουν τοὺς μικροὺς νέους, ἢ τὰς κόρας· τούτοις γὰρ πολλάκις ὑποθωπεύοντες τοιούτοις κεχρήμεθα ὀνόμασιν ὡς παρὰ Μενάνδρῳ νιτάριον.

P. 179. Περὶ τῶν Παρωνύμων.—Τὸ Καρβὰν παρασύνθετον, Καριβοος, Καριβόαν καὶ Καρβάν· μόνον τὸ Εὔαν θηλυκὸν παρὰ Πινδάρῳ.

Τὸ ἐτὴρ παρὰ τὸ ἔτος· Σοφοκλῆς·

ἐτῆρας ἄμνους θεοῖς ἐρέξας ἐπακτίοις.

γράφεται δὲ καὶ εὐείρας.

P. 181. Ὁ μὲν διὰ τοῦ ωσιος Ῥηγίνων ἐστὶν, ἐπεὶ συνεχὴς παρ' αὐτοῖς ἀπὸ γενικῆς γίνεται· ἀνάκων, ἀνακώσιος· χαρίτων, χαριτώσιος.

Ὁ διὰ ωνιος Αἰολέων ἐστίν· πολὺς γάρ ἐστι παρ' αὐτοῖς. Ἀλώνιος· παντώνιος· ἑτερώνιος· τοιοῦτον τὸ "Ἑλικώνιον ἀμφιάνακτα" παρ' Ὁμήρῳ· οὕτως καὶ ἀνεμώλιος· ἀνέμω, ἀνεμώνιος· ἀλλαχοῦ μεταμώνιος· τοῦτο συγκέκοπται, τὸ πρότερον τέτραπται.

Ἴκτινος ὃς ἐτυμολογεῖται ἀπὸ τοῦ ἐκτείνειν ἑαυτὸν πανταχοῦ.

Σύνθετον πολλάκις καὶ ἀπὸ πλειόνων λέξεων γίνεται, ὡς τὸ χρυσεολευκόλιθος, εὐσυνήγορος· καὶ τὸ σαρκασμοπιτυοκάμπτης, καὶ ὅσα ἄλλα παρὰ τοῖς κωμικοῖς πέπαικται.

P. 190. Ἀπολλώνιος δὲ ἐν τῷ περὶ πτώσεων φησὶν ὅτι

οὐ κυρίως καλεῖται ἡ εὐθεῖα πτῶσις ἀλλὰ καταχρηστικῶς· ταύτῃ ἀκολουθοῦσι καὶ οἱ ἀπὸ διαιρέσεως τοῦ Φιλοπόνου.

P. 205. Ἐρωτηματικόν.—Τὸ δὲ πόστος τὰ ἀριθμητικὰ, δεύτερος, τρίτος· τὸ ποδαπὸς τὰ ἐθνικὰ, Ῥόδιος, Θρᾷξ. ἔσθ᾽ ὅτι καὶ τὰ τῆς ποιότητος· λευκὸς, ξανθός. Σοφοκλῆς οὖν ἐν Ὀδυσσεῖ Ἀκανθοπλῆγι[y] τῷ ποδαπὸς ἀντὶ τοῦ ποῖος χρησάμενος ἀκυρολογεῖ[z]·

ποδαπὸν τὸ δῶρον ἀμφὶ φαιδίμοις ἔχων[a]
ὤμοις.

P. 207. Ἀναφορικόν.—Χρῶνται δὲ τῷ ὀνοματικῷ ἀντὶ τοῦ θαυμαστικοῦ πολλάκις, ὡς Ἀριστοφάνης

τὸν Δία νομίζειν ὄντα τηλικοῦτον

ἀντὶ τοῦ μέγαν.

Ἐπιρρήματα τὰ σχετλιαστικά.

Ἀριστοφάνης

ἰατταταιὰξ τῶν κακῶν·

λείπει ὧν πάσχομεν.

P. 253. Τὸ νεκυηδὸν ἀπὸ τῆς νέκυος[b], καὶ τὸ κτηνηδὸν ἀπὸ τοῦ κτήνεος· εἰ μὴ ἀπὸ τῆς κτήνους γενικῆς παρῆκται· τὸ κλέβδην ἀπὸ τοῦ κλέπτειν, ὥσπερ ἀπὸ τοῦ ὄπτω τοῦ θεῶμαι τὸ ἐπίρρημα ὄβδην.

P. 274. In fine Ἀβροχίτων δὲ ὁ φύλαξ θηροζύγου καμψιμέτωπος.

Cod. Harl. 5656. membr. form. in 4°. sæc. XV. nitide exaratus Grammatices Gr. regulas continet ex diversis auctoribus conflatas: quorum Herodianus autem solus nominatur, fol. 19. a.

Inc. Εἰς πόσα διαιροῦνται τὰ κδ´ γράμματα; εἰς δύο, εἰς φωνήεντα καὶ εἰς σύμφωνα· πόσα φωνήεντα; ἑπτά. κ. τ. λ.

Tum definiuntur συλλαβὴ, λέξις, προσῳδίαι, λόγος, μέρη λόγου. a fol. 2. ad 6. seq. declin. nominum.

[y] Cod. ὀδυσσεῖ? καθοπλῆγι. [z] Male Bekker. Cod. ἀκριβολογεῖ. Anecd. p. 872. [a] Cod. ἔχον. [b] Male Bekker. Cod. νεκυδόν. Anecd. p. 941, 29.

Fol. 6. Πόσαι καταλήξεις εἰσὶ τῶν ῥημάτων; τρεῖς· εἰς ω βαρύτονον· οἷον, τύπτω· εἰς ω περισπώμενον, οἷον, ποιῶ· καὶ εἰς μι, οἷον, τίθημι. πόσα παρέπεται τῷ ῥήματι; ὀκτώ· εἴδη, σχήματα, ἀριθμοὶ, ἐγκλίσεις, διαθέσεις, πρόσωπα, χρόνοι καὶ συζυγίαι. κ. τ. λ.

Seq. conj. verb. usque ad fol. 12. τέλος τῶν συζυγίων.

πρωτοτύποι γ′ (scil. ἀντωνυμίαι) ἐγὼ, ἐμοῦ, ἐμοὶ, ἐμέ. κ. τ. λ.

Fol. 12. b. Περὶ Πνευμάτων.—Πόσα πνεύματα; δύο· δασεῖα καὶ ψιλή· πᾶσα λέξις ἀπὸ φωνήεντος ἢ διφθόγγου ἀρχομένη, ἓν τῶν πνευμάτων ἐπ' αὐτοῦ ἕξει, ἀπὸ δὲ συμφώνων μόνον τὸ ῥῶ ἀρχῇ λέξεως ὂν δασύνεται.

Κανόνες Καθόλου.—Ὄνομα· σημείωσαι καθόλου ἔν τε τοῖς ὀνόμασι καὶ ὀνομαστικοῖς ὅτι τὸ ἐπὶ τῆς εὐθείας πνεῦμα φυλάττεται καὶ ἐν τοῖς ἀπ' ἐκείνης κλινομένοις· ὃ πνεῦμα κλίσεως ἐν τοῖς ἀπ' ἐκείνης λεγέσθω. Ῥῆμα· καὶ ἐν τοῖς ῥήμασι δὲ τὸ πνεῦμα τοῦ θέματος φυλάσσεται, καὶ ἐν τοῖς ἀπ' ἐκείνου κλινομένοις. κ. τ. λ.

Reg. de spiritu usq. ad fol. 14, b.

Fol. 15. a. Περὶ Ὀρθογραφίας.—Ὀρθογραφία ἐστὶν ἡ κατὰ λέξιν ἠκριβωμένη γραφή· πόσα εἴδη τῆς ὀρθογραφίας; τρία· σύνταξις, ποιότης, ποσότης. καὶ σύνταξις μέν ἐστι ζήτησις στοιχείων περὶ κατάληξιν καὶ ἐπιφορὰν συλλαβῶν· οἷον ἐν τῷ ἀσθενὴς τὸ σ, πότερον[c] ληκτικὸν ἐστὶ τῆς πρώτης συλλαβῆς ἢ τῆς δευτέρας ἀρκτικόν. Ποιότης δὲ ζήτησις περὶ σύμφωνα, καὶ τὴν τούτων μεταβολὴν, ὡς ἐν τῷ ἔμπορος· ποῖον ἐστὶ στοιχεῖον, τὸ ν ἢ τὸ μ. Ποσότης δὲ ἐστὶ ζήτησις περὶ πλειόνα ἢ ἐλάσσονα φωνήεντα κατὰ τὴν λέξιν, τουτέστι περὶ διφθόγγου ἢ μονοφθόγγου.

Πόσοι κανόνες ὀρθογραφίας; δ′. ἀναλογία, διάλεκτος, ἐτυμολογία, καὶ ἱστορία. καὶ ἀναλογία μέν ἐστι κανὼν ἀποδεικτικὸς, ὡς ἐν τῷ ἡμερινὸς ἢ νυκτερινός· τὸ ρι ἰῶτα· ἐπεὶ

[c] Cod. πρότερον.

τὰ διὰ τοῦ ρινὸς καιροῦ παραστατικὰ διὰ τοῦ ι γράφεται. Ἱστορία δέ ἐστιν ἡ τῶν παλαιῶν παράδοσις· ὡς ὅτε χίλια διὰ τοῦ ι γράφεται ὅτι οὕτως αὐτὸ παρέδωκεν ἡ συνήθεια. Διάλεκτος δέ ἐστιν ἰδίωμα γλώττης· ὡς ὅταν μείλιχος διὰ τῆς ει διφθόγγου γράφωμεν· ἐπεὶ οἱ Αἰολεῖς μέλιχος λέγουσι, τὸ ἐν τῷ διφθόγγῳ ε ἐκφωνοῦντες. Ἐτυμολογία δὲ σύντομος καὶ ἀληθὴς ἀπόδειξις τοῦ ζητουμένου· ὡς ὅταν εἴπω εἰλικρινὴς τὸ ει δίφθογγον, παρὰ τὴν ἕλην τὴν τοῦ ἡλίου αὐγήν. Περὶ συντάξεως—πᾶν σύμφωνον μεταξὺ δύο φωνηέντων τῷ δευτέρῳ ἕπεσθαι θέλει· οἷον λόγος, κ. τ. λ. Ὅσα σύμφωνα μὴ δύναται ἐν ἀρχῇ λέξεων ἐκφωνεῖσθαι ταῦτα καὶ ἐν μέσῃ λέξει εὑρεθέντα χωρισθήσεται ἀλλήλων· οἷον, ἄνθος, ἔργον· οὐ δύναται δὲ εὑρεθῆναι ἀπὸ τοῦ θ ἀρχομένη· οὐδὲ ἀπὸ τοῦ ργ· πλὴν τούτων, ἤγουν θμ· φν· νδ· χμ· κμ· σγ· σδ· ταῦτα γὰρ οὐδέποτε ἐν συμπλοκῇ, οὐδέποτε ἐν ἀρχῇ εὑρισκόμενα ἐν μέσῳ ἀλλήλων οὐ χωρίζονται· οἷον ἄνθος, ἀφνειὸς, ὄνδος· αἰγχμὴ[d], ἀκμὴ, φάσγανον, θεόσδοτος· εἰ γὰρ παρὰ τοῖς κοινοῖς οὐχ εὕρηται λέξις ἀπὸ τοῦ σδ ἀρχομένη, ἀλλὰ παρὰ τοῖς Αἰολεῦσιν ἐστὶν, οἷον, σδυγὸς, ὑπὲρ τοῦ ζυγός. Περὶ Ποιότητος. Οὐδέποτε ἐν μιᾷ λέξει τάσσεται τὸ μ πρὸ τοῦ β, ἢ μ, ἢ π, ἢ φ, ἢ ψ· ἀλλὰ μεταβάλλεται εἰς τὸ μ. κ. τ. λ.

Fol. 15. b. Περὶ Ποσότητος.—Τὰ εἰς ος καθαρὸν ὑπὲρ δύο συλλαβὰς παρηγμένα ἀπὸ τῶν εἰς η θηλυκῶν ἢ εἰς α, ἢ εἰς ἀρσενικῶν, διὰ τῆς αι διφθόγγου γράφεται· τρίτη, τριταῖος, κ. τ. λ.

Τὰ παρὰ τὸ κάλλος γινόμενα εἰς ος ὀνόματα διὰ τοῦ ι γράφεται· οἷον, καλλιβλέφαρος, καλλίθριξ, Καλλιάνασσα—.

Fol. 17. a. Περὶ θηλυκῶν ὀνομάτων.—Τὰ εἰς α θηλυκὰ ἀπὸ τῶν εἰς ευς δίφθογγον ἔχει· Ἀπαμεὺς, Ἀπάμεια· Ἀλεξάνδρεια, Ἀντιόχεια, ἱέρεια, βασίλεια.

Fol. 18. a. Περὶ Ῥημάτων.—Τὰ διὰ τοῦ εθω ῥήματα διὰ τοῦ ε ψιλοῦ γράφεται· ῥέζω, τὸ πράττω· πλὴν τοῦ παίζω.

[d] Sic.

Fol. 18. b. Περὶ Ἐπιρρήματος.—Πᾶσα πτῶσις ἐπιρρηματικὴν σύνταξιν ἀναδεξαμένη τὴν οἰκείαν γραφὴν τηρεῖ, οἷον, νυκτὸς κάθευδε, καὶ ἡμέρας ἐργάζου· διὸ τὸ ἰδίᾳ καὶ δημοσίᾳ σὺν τῷ ἰῶτα χρὴ γράφειν, ἐπεὶ ἀπὸ δοτικῆς πτώσεως εἰσὶ ταῦτα.

Fol. 19. a. Ἐπιτομὴ τῶν Ὀνομάτων[e] Κανόνων ἐκ τῶν Ἡρωδιανοῦ.—Τὸ ὅμοιον ἐν τοῖς ὀνόμασιν ἢ γένει, ἢ εἴδει, ἢ σχήματι, ἢ ἀριθμῷ, ἢ τόνῳ, ἢ πτώσει, ἢ καταλήξει ἐν παρατελευτῷ[f] συλλαβῇ· ἐν χρόνῳ, ἐν ποσότητι συλλαβῆς, πολλάκις δὲ καὶ ἐν ἐπιπλοκῇ συμφώνου· εἰ δὲ παρὰ ταῦτά τι γένοιτο, ἀνόμοιος ἡ κλίσις γίνεται· οἷον, ἐν γένει μὲν, ὁ τοξότης καὶ ὁ φιλότης· ἐν εἴδει δὲ, οἷον, Ὀλυμπιονίκης προσηγορικὸν, Πολυνίκης κύριον· σχήματι δὲ, οἷον, ἱππότης ἁπλοῦν, Σωκράτης σύνθετον· ἀριθμῷ δὲ, ἰχθὺς ἰχθύος ἑνικὸν, ἰχθῦς δὲ ἰχθύων κατὰ κρᾶσιν ἀπὸ τοῦ ἰχθύες· τόνῳ δὲ, ἥρως, ὅτι βαρύτονον διὰ καθαροῦ τοῦ ος. εὐρὼς ὀξύτονον διὰ τοῦ τος· πτώσει δὲ, τοξότης εὐθεῖα, ἐλάτης γενικῇ· καταλήξει δὲ, καλὸς, βραδύς· ἐπεὶ γὰρ διήλλαξε τὴν κατάληξιν, διήλλαξε καὶ τὴν κλίσιν· παρατελευτῷ συλλαβῇ· Πέρσης, ἐπεὶ μακρῷ παραλήγεται, Πέρσου κέκλιται. Λάχης δὲ, ὅτι βραχεία περιττοσυλλάβως εἰς τὸ σ· χρόνῳ δὲ, οἷον, Ἀρκὰς, ἱμάς· τὸ πρῶτον γὰρ συνεσταλμένον διὰ τοῦ δος κλίνεται. Ἀρκάδος· τὸ δεύτερον δὲ διὰ τοῦ τ, ἱμάντος· ἐν ποσότητι δὲ συλλαβῆς, οἷον, Λυσίας, Βίας· τὸ μὲν γὰρ πρῶτον ὅτι ὑπὲρ δύο συλλαβὰς, ἰσοσυλλάβως κλίνεται, Λυσίου· τὸ δεύτερον δὲ ὅτι δισύλλαβον, διὰ τοῦ ντ, Βίαντος. πολλάκις δὲ καὶ διαφόρου συμφώνου ἕνεκα διαφόρως ἐκλίθη· οἷον, σωλὴν, λῆνος· ὑμὴν, ὑμένος· εἴωθε γὰρ τὸ μ τρέπειν τὸ η εἰς ε.

Περὶ τῶν τελικῶν τῶν ἀρσενικῶν.

Πέντε εἰσὶ στοιχεῖα τελικὰ τῶν ἀρσενικῶν ὀνομάτων ν, ξ, ρ, σ, ψ· εἰ δέ τινες καὶ τὸ ε τελικὸν τιθέασιν, ὡς ἐν τῷ τοιόσδε, τηλικόσδε· ἢ τὸ λ, διὰ τὴν ἧλος γενικὴν, ἢ Ἀσδρου-

[e] Sic. [f] Sic.

βὰλ εὐθεῖαν, οὐ παραδεκτέον· τούτων γὰρ τὸ μὲν πρῶτον κατ' ἐπέκτασιν τοῦ ε λέγεται· ὅθεν καὶ τῶν ἄλλων τρεπόντων τὴν τελευταίαν, ἐπὶ τῶν πτώσεων καὶ τῶν ἀριθμῶν, καὶ τῶν γενῶν, ταῦτα τὴν παρατέλευτον ἀντὶ τῆς τελευταίας ἔτρεψε· καὶ τὸ λ δὲ οὐδαμῶς τελικὸν ἡγητέον· τὰ γὰρ τοιαῦτα ὀνόματα οὐχ Ἑλληνικὰ ἀλλὰ βάρβαρα καὶ ἀχαρακτήριστα· οὐ μὴν οὐδὲ τὸ α τελικὸν παραδεξόμεθα διὰ τὰ θηλυκὰ ἐπώνυμα· τό τε Κόπεννα καὶ Μύριλλα· ἢ τὰ ποιητικῶς μεταπλασθέντα· νεφεληγερέτα Ζεύς· ἱππότα Νέστωρ.

Τὰ μὲν οὖν δ'. οἷον ν, ξ, ρ, ψ, ἀεὶ περιττοσυλλαβεῖ ἐπὶ τῆς γενικῆς, καὶ εἰς ος καταλήγει· οἷον Δίων, Δίωνος· κήρυξ, κήρυκος· Νέστωρ, Νέστορος· Πέλωψ, Πέλοπος· τὰ δὲ εἰς σ λήγοντα, ποτὲ μὲν περιττοσύλλαβον ἔχει τὴν γενικὴν, ποτὲ δὲ ἰσοσύλλαβον· καὶ ἰσοσυλλαβοῦσα εἰς φωνῆεν λήγει, οἷον, σοφὸς, σοφοῦ· περιττοσυλλαβοῦσα δὲ ἔχει τελικὸν τὸ ος· Μίνως, Μίνωος· στάχυς, στάχυος.

Τὰ εἰς σ πᾶσιν εὕρηται χρώμενα τοῖς φωνήεσι πλὴν τοῦ ε· οἷον, Αἴας· Χάρης· μάντις· καλός· ταχύς· ἥρως· τὸ δὲ ε καθ' αὐτὸ μὲν οὐκ ἐκφωνεῖται, μετὰ δὲ συμπλοκῆς τοῦ ι, ἢ τοῦ υ· (ναι) οἷον χαρίεις· Πηλεύς· τινὰ δὲ εἰς ους λήγει· Μελάμπους· Οἰδίπους.

Τὰ εἰς ας ἀρσενικὰ μονοσύλλαβα σπάνιά ἐστιν· ὀξύνεται δὲ ἢ περισπᾶται, καὶ κλίνεται κατὰ ἀποβολὴν τοῦ σ· ἢ διὰ τοῦ ντ· ἔστι γὰρ ἰσοσύλλαβα· ὁ Θᾶς, τοῦ Θᾶ· ὁ Γρᾶς, τοῦ Γρᾶ· ὁ Λᾶς, τοῦ Λᾶ· ὁ Πᾶς, τοῦ Πᾶ· ὁ Φᾶς, τοῦ Φᾶ· περιττοσύλλαβα δὲ, κρὰς κρατὸς μόνον χωρὶς τοῦ ν· διὰ τοῦ ν κλινόμενον πᾶς παντὸς τὸ τριγενὲς ἔχον τὴν γενικὴν ὀξύτονον· Ζὰς[g], Ζάντος· Φθᾶς, Φθάντος, μετοχῆς ἀπενεγκάμενος κατάληξιν ὁμοίως ταῖς μετοχαῖς καὶ κατὰ τὴν γενικὴν ἠνάγκασθαι τονοῦσθαι, ὡς στὰς, στάντος.

Τὰ ἐκ παρακειμένου συνεσχηματισμένα ὀξύνεται, καὶ διὰ τοῦ τ κλίνεται· χαλκοκρὰς, κράτος. νεοκράτος· τὸ

g Cod. Ζεῦ.

μέντοι εὔκρας παρ' Εὐριπίδῃ ἀνεγνώσθη· τὸ δὲ μέλας ἐπίθετον καὶ τὸ λάας ἐπιθετικῶς εἰρήμενον ἡμάρτηται· διὰ τοῦτο, οὐδ' ἀκόλουθον τὴν κλίσιν ἔσχον.

Τὰ δὲ βαρύτονα ὅσα μὲν δισύλλαβα εἰς ας καθαρὸν λήγει, οἷον, Αἴας, καὶ ὅσα παρὰ μετοχήν· Ἄτλας· Περίφας· καὶ ὅσα παρὰ ῥῆμα βαρύτονον· Ἀφείδας· ἀδάμας, δάμνω γάρ· καὶ ὅσα δὶς τὸ αὐτὸ σύμφωνον ἔχει ἐν τῇ πρώτῃ καὶ δευτέρᾳ συλλαβῇ· ἢ τὸ ἀντίστοιχον· μάμας· γίγνας· Τεύθρας· Κάλχας· καὶ ὅσα τριγενῆ διὰ τοῦ ντ κλίνονται· ἀλλὰ τὸ μέλας γὰρ καὶ τάλας τριγενῆ ὑποστολὴν τοῦ τ πέπονθε, μέλανος καὶ τάλανος.

Ὅσα δὲ εἰς ας καθαρὸν ὑπὲρ δύο συλλαβὰς τὸ ι παραλήγεται· Νικίας· Λυσίας. ἢ τῷ ε, Αὐγέας Πυθέας· ἢ τῇ ει Αἰνείας· ἢ τῷ υ Μαρσύας· καὶ ὅσα εἰς ρας ἐπὶ τῆς παρατελεύτου· τὸ Ἐξαγόρας, εἰς ου ἔχει τὴν γενικήν· εἰ δέ τι τούτων εἰς α καταλήξειεν, Δώριός ἐστιν ἡ κλίσις συνήθης γεγονυῖα τῇ κοινῇ διαλέκτῳ· ἐκεῖνα δὲ μόνον εἰς α κατάληκτα εἴη κατὰ τὴν γενικὴν, ὅσα ἀπὸ ἀμεταβόλου ἀρξάμενα μεταβολικῷ κατὰ τὸ τέλος χρῆται· οἷον, Λίχας· καὶ ὅσα ἀπὸ φύσει μακρᾶς ἀρξάμενα συμφώνῳ παραλήγεται κατὰ τὴν τελευταίαν· οἷον, Σώτας· καὶ ὅσα δὶς τὸ αὐτὸ σύμφωνον ἔχει· καὶ μὴ ἔστι ῥηματικὰ, οἷον Ἀγρίππας· Περδίκκας· τὸ Παλλὰς γὰρ ῥηματικόν· καὶ ὅσα εἰς μας μακρᾷ παραλήγεται· Πυρίμμας· Λυκόρμας· τὸ γὰρ Ἀθάμας καὶ ἀδάμας βραχυκαταληκτεῖ· καὶ ὅσα εἰς δας ἁπλᾶ· Τιμαχίδας· Θρακίδας· ἁπλᾶ, διὰ τὸ Ἀφείδας· καὶ ὅσα εἰς πας μονογενῆ· Ἀράσπας· Γοργόπας· τὸ ἅπας οὐ μονογενές· καὶ ὅσα παρὰ ῥῆμα περισπώμενον· βοῶ, τηλεβόας· ἀλοιῶ, πατραλοίας, πατραλοία. Τὰ δὲ εἰς ας περισπώμενα ἐπιεικῶς ὑποκοριστικὰ εὑρίσκεται· καὶ κατὰ ἀποβολὴν τοῦ σ κλίνεται· Ζηνᾶς· Μηνᾶς· τὸ ἀλλᾶς· Γλισσᾶς· ἐκ τοῦ ἀλλάεις, γλισσάεις· τὸ δὲ Μαρικὰς, Μαρικαντὸς πέπλεκται, ἀλλὰ καὶ ἰσοσυλλάβως· ἕν ἐστιν ἀρσενικὸν εἰς αις περισπώμενον· κέκλιται δὲ διὰ τοῦ δ ὡς ἀπὸ τοῦ παΐς.

Περὶ τῶν εἰς ης ληγόντων ὀνομάτων.

Τῶν εἰς ης ληγόντων, τὰ μὲν ὀξύνεται, οἷον ἀθλητὴς, τὰ δὲ βαρύνεται, οἷον Λάχης· κ. τ. λ.

Τὸ δὲ Ἄρης καὶ ὡς ἰαμβικὸν μὴ ἔχον ἐπ' εὐθείας τὸ τ, Ἄρητος ἐκλίθη· καὶ ὡς σπονδειακὸν, Ἄρου, καὶ, "Ἄρεος "ἀνδροφόνου" παρ' Ὁμήρῳ, καὶ Ἄρεως, ἀπὸ Ἀρεύς. εὑρέθη[h] δὲ παρὰ Ἀλκαίῳ.

Ὅσα δὲ ὑπὲρ δύο συλλαβὰς εἰς πατρωνυμικὰ, οἷον Ἀτρείδης, ἢ τύπου πατρωνυμικοῦ Ἡρακλείδης· Ὑπερίδης· καὶ τὸ Δημάδης ἐκ τοῦ δημεάγης[i] ὂν, τῇ αὐτῇ ὑποπίπτει κλίσει.

Καὶ τὰ εἰς νης παρώνυμα· Λεπτίνης· Ἀξίνης· Ἀψίνης· ἢ τύπου παρωνύμου, Σμικρίνης· Θεοκρίνης.

Καὶ τὰ εἰς λης ῥηματικὰ ὀλολυκτόδης· φαινόλης· ἢ παρώνυμα· γενειόλης, καὶ ὅσα εἰς της ἁπλᾶ, οἰκέτης· τοξότης. κ. τ. λ.

Καὶ ὅσα παρὰ ῥῆμα προσηγορικά· ἱερονίκης· Ὀλυμπιονίκης· ταῦτα πάντα εἰς ου ἔχει τὴν γενικὴν, χωρὶς τῶν εἰς ωλης, ἃ μετὰ τοῦ σ τὴν γενικὴν ποιεῖ· πανώλους· ἐξώλους· ἐξῶλες καὶ πανῶλες τὸ οὐδέτερον, κ.τ.λ. ἔτι γε μὴν καὶ ὅσα ἀμεταβόλῳ παραλήγεται, ὑπὲρ δύο συλλαβὰς εἰς τος λήγει· Ἀφάρητος· Ἐπιάλητος· καὶ ταῦτα μὲν περὶ βαρυτόνων.

Περὶ Ὀξυτόνων.

Τῆς προειρημένης τοίνυν καταλήξεως οὔσης διχῶς εἰς τος καὶ εἰς εος, ἥτις συναιρεθεῖσα γίγνεται εἰς ους καὶ εἰς ου, εἴπωμεν περὶ τῶν εἰς τος πρότερον. Ὅσα μὲν ὀξύτονα δύο συμφώνοις παραλήγεται, εἰς τος ποιεῖ τὴν γενικήν· ἀμβλῆτος· προβλῆτος· καὶ ἡμιονῆτος[k]. Ὅσα δὲ ἑνὶ συμφώνῳ, σαφὴς, νωθὴς, πρυλής. κ. τ. λ.

Τὰ εἰς ις βαρύτονα ὑπὲρ μίαν συλλαβὴν συνεσταλμένον ἔχει τὸ ι καὶ διὰ τοῦ δ, ἢ διὰ καθαροῦ τοῦ ος κλίνεται·

[h] Cod. ἠρέθη. [i] Sic. [k] Leg. ἡμιθνῆτος.

μόνον τὸ τις διὰ τοῦ ν ἐκλίθη, καὶ ὡς μονοσύλλαβον ὀξύνεται ἀεὶ καὶ ἐν τῇ συμφράσει· τὸ λὶς παρ' Ὁμήρῳ,

ὥς τε λις ἠϋγένειος. (Il. O. 275.)

Καὶ *ὅσα μὲν κύρια εἰς ις* Πάρις· Κίκις· *καὶ ὅσα μακρᾷ παραληγόμενα προσηγορικά· εὖνις· νῆϊς. ἀνάλκις διὰ τοῦ δ κλίνεται. τὸ εὖνις εὑρέθη ἄνευ τοῦ δ, εὔνιος εὔνιν. κ. τ. λ.*

Τὰ *εἰς ευς*[k] *εἴτε ἁπλᾶ, εἴτε σύνθετα, ὀξύνεται, καὶ διὰ τοῦ εος κλίνεται·* Ὀδυσσέος. *τὸ* Ὀδυσσῆος Ἰωνικὸν, *ὥσπερ τὸ* Ὀδυσσέως Ἀττικόν· *τὸ δὲ* Ζεὺς *ἑτερόκλιτον καὶ* Βοιωτῶν· *τοῖς δρομεῦσι καὶ δρομέσι διχῶς.*

Τὰ *εἰς υς ὀξύνεται καὶ βαρύνεται καὶ περισπᾶται, καὶ τὸ υ φυλάσσει κ. τ. λ. σημείωσαι δὲ ὅτι γλυκέως καὶ ἡδέως οὐ λέγομεν ἵνα μὴ συνεμπέσῃ τῷ ἐπιρρήματι· ὅσα δὲ σύνθετα παρ' ὄνομα ὡς τὰ ἁπλᾶ κλίνεται· ἀδρίμυς ἀδρίμεος. δριμὺς γάρ. κ. τ. λ.*

Τὰ *εἰς αν ἁπλᾶ μὲν ὄντα ὀξύνεται·* Ἀλκμὰν, *παιὰν,* Πὰν *ὅτε τὸν θεὸν κατὰ τοὺς ποιητάς· σύνθετα δὲ βαρύνεται· εὐπαίαν· τιτανόπαν· καὶ προσθέσει τοῦ ος κλίνεται.*

Fol. 23. a. Τὰ *εἰς υξ μονοσύλλαβα μὲν ὄντα ὀξύνεται·* Στὺξ, *τρὺξ, νὺξ. ὑπὲρ μίαν δὲ συλλαβὴν βαρύνεται· ἄντυξ. πομφόλυξ· τὸ πτερὺξ ὑπὸ* Ἀριστάρχου *σεσημείωται ὀξυνθὲν ὡς περιεκτικὸν, κλίνεται δὲ τὰ μὲν μονοσύλλαβα διὰ τοῦ γ, ἢ διὰ τοῦ χ· τρυχός.*

Δύο *εἰς αυς· ναῦς· γραῦς. κέκλιται δὲ διὰ καθαροῦ τοῦ ος ναός· γραός· τὸ νεὼς* Ἀττικῶς *τὸ νηύς. ἡ γρηὺς διηρημένον κατὰ τοὺς* Ἴωνας *οὐκ ἐκλίθη· τὴν δὲ αἰτιατικὴν καὶ κλητικὴν ἔχει·*

θριαίτην γρηῢν ἐπιπνείουσι κορώνην.

καὶ

δεῦρο δὴ ὄρσεο γρηΰ. (Od. X. 395.)

Περὶ οὐδετέρων.

Τελικὰ *οὐδετέρων ὀνομάτων ἕξ· α, ι, ν, ρ, σ, υ. τὸ δῶ καὶ*

[k] Cod. εὖ.

κάρη ἐξ ἀποκοπῆς ἐστι· "ποτὶ χαλκοβατὲς δῶ·" καὶ "πολίον "τε κάρη" ἀντὶ τοῦ κάρηνος. διὸ καὶ ἐπὶ πληθυντικῶν εὑρίσκεται· "ναίει χρυσέα δῶ·" ἀντὶ τοῦ δώματα· "καρηκομόωντες "Ἀχαιοί" ἀντὶ αὖ κάρηνα τὸ δὲ θηλυκῶς εἰρημένον ὀξύνεται.

Τὸ γάλα, γάλακτος, γάλακτι παρὰ Καλλιμάχῳ ὡς ἀπὸ εἰς ξ ληγούσης εὐθείας· τὰ τῶν στοιχείων ὀνόματα ἄληκτα· ἓν μόνον ἀπαρασχημάτιστον εἰς ι· τὸ μέλι· κέκλιται δὲ εἰς τος, μέλιτος· τὸ δὲ τρόφι κατὰ ἀποκοπὴν τὸ κρι καὶ ἄλφι ἐκ πάθους· τὸ σίνηπι καὶ πέπερι οὐχ Ἑλληνικά· κλίνουσι δὲ αὐτὰ χωρὶς συμφώνου, σινίπεως, πεπέρεως· τὸ δὲ πεπέριδος Εὔβουλος εἶπε.

Περὶ ἀκλίτων ῥημάτων Αἰλίου Ἡρωδιανοῦ.

Τὰ εἰς βω λήγοντα, ῥήματα βαρύτονα, ἂν μὲν ἐν τῇ πρὸ τέλους συλλαβῇ ἔχει τὸ ε, μὴ ὑποτεταγμένου αὐτῷ τοῦ ι, οὐ κλίνεται παρὰ τοῖς παλαιοῖς ἀπὸ τοῦ παρακειμένου· οἷόν ἐστι τὸ ῥέμβομαι· καὶ σέβω, σέβομαι· εὑρέθη δὲ παρὰ τῷ Σοφοκλεῖ ἐσέβδην[1]. κ.τ.λ.

Σημείωσαι, ὅτι σκιάσω καὶ ἐσκίασται καὶ ὅσα τοιαῦτα κονήματα ἀπὸ θέματος ἐστὶ τοῦ σκιάθω· ὁμοίως καὶ τὸ πελάσω ἀπὸ τοῦ πελάζω.

Τὰ εἰς θω ἄχρι τοῦ παρατατικοῦ κλίνεται· γηράσκω· γινώσκω· τιτρώσκω, καὶ ἄλλα πάμπολλα· τὸ δεδίχα οὐκ ὀφείλει ἀπὸ τοῦ διδάσκω κανονίζεσθαι ἀλλ' ἀπὸ τοῦ διδάχω ἔνθεν ἡ διδαχή, ὡς ἰάχω, ἰαχή. τὸ δὲ διδασκῆσαι παρὰ τῷ Ἡσιόδῳ, (Opp. I. 64.) ὡς ἀπὸ περισπωμένου διδασκῶ· ὡς ἀπὸ τοῦ ἀσκῶ ἀσκήσω· οὕτω δὲ καὶ τὸ βοσκήσω, ὡς ἀπὸ τοῦ βοσκῶ περισπωμένου· τὸ γὰρ βαρυνόμενον ἄκλιτον ἐπίτασιν ἔχει. κ. τ. λ.

Περὶ τῶν εἰς μι.

Τῶν εἰς μι ληγόντων ἡ πρώτη συζυγία ῥήματα οὐκ ἔχει πολλά· τό τε γὰρ τίθημι ἐστὶ καὶ τὸ ἵημι. κ. τ. λ.

1 ἐσέφθην Chœrobosc. Bekker. p. 1418. sed ἐσεύθην et σευθεῖσα et σεύω Codd. Barocc. 116. f. 61.

Ἔστι δέ τινα δυνάμενα κατὰ συζυγίαν εἰς δευτέραν χωρεῖν, ὡς τὸ πίπλημι καὶ πίπρημι. Καὶ τὸ γῆρας δὲ γήραντος, καὶ τὸ γηράναι τὸ ἀπαρέμφατον ἀπὸ δευτέρας τῶν εἰς μι. τὸ δὲ γήρησε καὶ ἀνδρὸς γηρόντος ἀπὸ πρώτης. καὶ ἄλλα πολλὰ τοιαῦτα ἐνδείκνυται σχήματα τὴν ἀπὸ τῶν εἰς μι κίνησιν· ὥσπερ καὶ τὸ κεῖμαι καὶ τὸ ἧμαι· ἀλλὰ καὶ ἐπὶ δευτέρας συζυγίας· τὸ γὰρ ῥέραμαι καὶ ἄγαμαι καὶ δύναμαι καὶ τὸ παρὰ Δωριεῦσι πέταμαι.

Τοιαύτη δὲ καὶ ἡ τρίτη τῶν εἰς μι· καὶ γὰρ τὸ ἔγνων, ἐβίων, ἐξ αὐτῆς εἰσὶ κινήματα, ἀλλ' οὐ καὶ τὰ θέματα.

Ἡ δὲ τετάρτη ὑπομνήσεις ἔσχεν, ὥσπερ ἔχει ἔφυν, ἔφυς, ἔφυ. κ. τ. λ. καὶ τὸ ἔδυν, ἔδυς, ἔδυ· τοιοῦτον δέ ἐστι καὶ τὸ χῦντο, ἐκχυνόμενοι, καὶ ὅσα ἄλλα τοιαῦτα ὑπόμνησιν ποιούμενα οὐ κλίσεις δὲ διηνεκεῖς.—καὶ ὑπερσυντελικοὶ δὲ εὑρέθησαν τινὲς ὡς τὸ πέπειθι· κέχραθι· καὶ ἄλλα πολλά. ἀπὸ μέντοι περισπωμένων οὐχ εὕρομεν χρῆσιν αὐτῶν· ἑαυτοῖς δὲ φωνὰς περιτίθενται τὸ νενόηθεν εἰώθασιν οἱ παρακείμενοι τρέπειν τὸ α εἰς ω, καὶ ποιεῖν ἐνεστῶτα. πολὺ δὲ τοιοῦτον ἔθος παρὰ Συρακουσίοις· ὄλωλα, ὀλώλω· δέδοικα, δεδοίκω· καὶ τὸ κέκλυσε δὲ παρ' Ἐπιχάρμῳ ἀπὸ θέματος τοῦ κεκλύκῳ, καὶ εὕρηκε ἀπὸ τοῦ εὑρήκω[m].

[m] Conf. Chœrobosc. Bekker. p. 1291.

Cod. Bod. Auct. T. IV. 7. ol. Saibant. Chart. rec.

Περὶ τῶν εἰς μι ῥημάτων χρόνου ἐνεστῶτος τίθημι.[k]

Πληρώσας ὁ τεχνικὸς τὴν τῶν εἰς ω ῥημάτων διδασκαλίαν ἔτι δὲ καὶ περὶ τῶν μετοχῶν αὐτῶν διαλαβὼν, ἔρχεται νῦν ἀκολούθως καὶ διαλαμβάνει περὶ τῶν εἰς μι. καὶ ἰστέον ὅτι τὰ εἰς μι ὑπέλαβον τινὲς Αἰολικὰ εἶναι, ἐπειδὴ πολλὰ παρ' αὐτῶν εὑρίσκονται εἰς μι. τὸ γὰρ γελῶ, γέλαιμι λέγουσι, καὶ τὸ δοκιμῶ, δοκιμῶμι. Ἐπειδὴ γὰρ οἱ Αἰολεῖς βαρυντικοὶ εἰσὶ, τὸ γὰρ Ἀτρεὺς, Ἄτρευς λέγουσι· τὰ δὲ εἰς μι ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν· εἶμι ὃ σημαίνει τὸ πορεύομαι· χωρὶς τοῦ εἰμὶ τοῦ σημαίνοντος τὸ λέγω, ὅπερ ἀπὸ τοῦ φημὶ γέγονε κατὰ ἀποβολὴν τοῦ φ· τούτου χάριν οἱ Αἰολεῖς τὴν εἰς ω περισπωμένην μεταποιοῦσιν εἰς μι, ἵνα μεταδιώξωσι χαρακτῆρα ἀποστρεφόμενον τὴν ὀξεῖαν τάσιν. ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι ἐλέγχονται ἀπὸ πλείστων μὴ ὄντα Αἰολικά. καὶ γὰρ ἀπὸ τόνου, καὶ ἀπὸ κλίσεως, καὶ ἀπὸ γραφῆς, καὶ ἀπὸ πνεύματος, καὶ ἀπὸ ποσότητος συλλαβῶν, καὶ ἀπὸ τῶν πρωτοτύπων. Καὶ ἀπὸ μὲν τοῦ τόνου, ὅτι πᾶσαν λέξιν ὑπὲρ μίαν συλλαβὴν, παρ' ἡμῖν ὀξυτόνως, βαρύνουσι, χωρὶς τῶν προθέσεων καὶ τῶν συνδέσμων, οἷον, Ἀχιλλεὺς, σόφος. τὸ δὲ ἠμὶ καὶ τὸ φημὶ ὀξύνουσι. Δῆλον οὖν ὅτι οὐκ εἰσὶν Αἰολικά. πρόσκειται χωρὶς τῶν προθέσεων καὶ τῶν συνδέσμων, ἐπειδὴ ἐπὶ τούτων οἱ Αἰολεῖς φυλάττουσι τὴν ὀξεῖαν τάσιν, οἷον, ἀνὰ, κατὰ, ἀτὰρ, αὐτάρ. ἀπὸ δὲ κλίσεως δείκνυνται μὴ ὄντα Αἰολικὰ τὰ εἰς μι, ὅτι τὰ ἐν τῷ δευτέρῳ προσώπῳ παρ' ἡμῖν προσλαμβάνοντα τὸ ι τὸ τρίτον ποιοῦσιν, οἷον, τίθημι, τίθης, τίθησι· τὰ δὲ Αἰολικὰ ἀποβολῇ τοῦ

[k] Hæc a Chœrobosc. in Theodos. Comment excerpta sunt.

σ ποιοῦσι τὰ τρίτα, οἷον, γέλαιμι, γέλαις, γέλαι. δῆλον οὖν ὅτι οὐκ εἰσὶν Αἰολικά. ἀπὸ γραφῆς δὲ, ὅτι τὰ εἰς μι οὐ θέλουσι παρ' ἡμῖν διφθόγγῳ παραλήγεσθαι· οἷον, τίθημι, δίδωμι· σεσημειωμένου τοῦ εἰμὶ τοῦ σημαίνοντος τὸ ὑπάρχω· καὶ τοῦ εἶμι τοῦ σημαίνοντος τὸ πορεύομαι. παρὰ δὲ τοῖς Αἰολεῦσι εὑρίσκονται διφθόγγῳ παραληγόμενα· οἷον, ἵσταιμι· κίχραιμι· γέλαιμι, διὰ τῆς αι διφθόγγου· δῆλον οὖν ὅτι οὐκ εἰσὶν Αἰολικά. ἀπὸ πνεύματος δὲ, ὅτι οἱ Αἰολεῖς ψιλωτικοί εἰσιν, οἷον, ἄμμες, ἄμμιν· τὸ δὲ ἵημι καὶ ἵστημι δασύνονται· ἄρα οὐκ εἰσὶ τὰ εἰς μι Αἰολικά. ἀπὸ ποσότητος δὲ συλλαβῶν, ὅτι οὐδέποτε παρ' ἡμῖν τὰ εἰς μι ἁπλᾶ ὄντα ὑπερβαίνουσι τὰς τρεῖς συλλαβὰς, οἷον, τίθημι, δίδωμι, ὄμνυμι· χωρὶς τοῦ ὀρέγνυμι, καὶ ὀνίνημι, ὃ σημαίνει τὸ ὠφελῶ. παρὰ δὲ τοῖς Αἰολεῦσι πολλάκις εὑρίσκονται εἰς μι ὑπερβαίνοντα τὰς τρεῖς συλλαβὰς, οἷον, ἐλευθερῶμι, δοκιμῶμι. δῆλον οὖν οὐκ εἰσὶν Αἰολικὰ τὰ εἰς μι· πρόσκειται ἁπλᾶ ὄντα, διὰ τὸ ἀποδίδωμι, καὶ συνίστημι καὶ ἀποτίθημι. ταῦτα γὰρ ὑπερβαίνουσι τὰς τρεῖς συλλαβὰς, ἀλλ' οὐκ εἰσὶν ἁπλᾶ. ἀπὸ τῶν πρωτοτύπων οὐ δείκνυται, ὅτι οὐδέποτε παρὰ τοῖς Αἰολεῦσιν ἀπὸ βαρυτόνων γίνονται τὰ εἰς μι, ἀλλ' ἀπὸ τῶν περισπωμένων. οἷον, ἐλευθερῶ, ἐλευθερῶμι· δοκιμῶ, δοκιμῶμι· γελῶ, γέλαιμι. καὶ ἡ αἰτία δήλη ἐστίν. ἐπειδὴ γὰρ ὡς προείρηται οἱ Αἰολεῖς βαρυντικοί εἰσι, τὰ δὲ εἰς μι ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν, χωρὶς τοῦ φημὶ καὶ ἡμὶ καὶ εἰμὶ τὸ ὑπάρχω, τούτου χάριν τὰ εἰς ω περισπώμενα μεταποιοῦσιν εἰς μι, ἵνα μεταδιώξωσι χαρακτῆρα ἀποστρεφόμενον τὴν ὀξεῖαν τάσιν. ἐπὶ γὰρ τῶν βαρυτόνων οὐδὲν τοιοῦτον ποιοῦσιν· ἐπειδὴ καὶ χωρὶς τοῦ ποιῆσαι ταῦτα εἰς μι τὸ σπουδαζόμενον ἔχουσι. φημὶ δὲ τὴν βαρεῖαν τάσιν. παρ' ἡμῖν δὲ καὶ ἀπὸ βαρυτόνων γίνονται εἰς μι, ὡς τὸ ἀπὸ τῆς ἕκτης συζυγίας, οἷον ζευγνύω, ζεύγνυμι. ἄρα οὖν οὐκ εἰσὶν Αἰολικά.

Ἰστεὸν δὲ ὅτι τὰ εἰς μι παράγωγα εἰσί. δεῖ δὲ γινώσκειν ὅτι τὸ δίδωμι ἐπὶ τοῦ ὑπάρχω τρίτης ἐστὶ συζυγίας τῶν

εἰς μι. ἐπὶ γὰρ τοῦ δεσμεύω πρώτης ἐστὶ συζυγίας, οἷον, διδῶ, διδεῖς, δίδημι ἀντὶ τοῦ δεσμεύω· ὅθεν δήσω ὁ μέλλων, ὡς θήσω· καὶ ἔδησα ὁ ἀόριστος· καὶ δέδηκα ὁ ἐνεργητικὸς παρακείμενος· καὶ δέδημαι ὁ παθητικός· καὶ ἐδέθην ὁ πρῶτος ἀόριστος.

Ἰστέον ὅτι τῆς τρίτης ἐστὶ συζυγίας οὐδαμοῦ ὁ ἐνεστὼς πλὴν τοῦ δίδωμι· πρόσκειται ἐνεστῶτος, διὰ τὸ ἐβίων καὶ ἥλων. ταῦτα τρίτης συζυγίας εἰσὶ τῶν εἰς μι, ὡς ἀπὸ τοῦ βίωμι καὶ ἅλωμι· ἀλλ' οἱ ἐνεστῶτες οὗτοι, φημὶ δὴ ὁ βίωμι, καὶ ἅλωμι οὐχ εὕρηνται ἐν χρήσει· ὡσαύτως δὲ καὶ τοῦ ἔγνων δευτέρου ἀορίστου οὐχ εὕρηται[1] *ἐν χρήσει ὁ ἐνεστὼς ὁ γνῶμι. ἡ δὲ τετάρτη συζυγία τῶν εἰς μι μὴ ἔχουσα τετάρτην συζυγίαν τῶν περισπωμένων, ἐξ ἧς ὤφειλε παραχθῆναι, ἀπὸ τῆς ἕκτης τῶν βαρυτόνων παράγεται· οἷον ἀπὸ τοῦ πηγνύω, πήγνυμι. καὶ εὐλόγως ἀπὸ τῆς ἕκτης συζυγίας τῶν βαρυτόνων ἡ τετάρτη συζυγία τῶν εἰς μι, ἐπειδὴ καὶ αἱ τρεῖς συζυγίαι τῶν περισπωμένων, ὅσον κατὰ τὴν ἐντελείαν τῆς ἕκτης συζυγίας τῶν βαρυτόνων εἰσί. τὸ γὰρ τιθῶ, ἐκ τοῦ τιθέω ἐστὶ, καὶ τὸ ἱστῶ ἀπὸ τοῦ ἱστάω, καὶ τὸ διδῶ ἀπὸ τοῦ διδόω. τὸ δὲ τιθέω καὶ ἱστάω καὶ διδόω ἕκτης συζυγίας τῶν βαρυτόνων εἰσί. παράγονται δὲ ἐκ τῶν τριῶν συζυγιῶν τῶν περισπωμένων εἰς μι. καὶ τούτου χάριν καὶ ἀπὸ τῆς ἕκτης συζυγίας τῶν βαρυτόνων ἡ τετάρτη συζυγία τῶν εἰς μι. ἐπειδὴ τὰ εἰς μι οὐ θέλουσι συμφώνῳ παραλήγεσθαι, οἷον τίθημι, πλὴν τοῦ ἐσμὶ τοῦ σημαίνοντος τὸ ὑπάρχω, ὅπερ οὐδὲ εὑρίσκεται ἐν χρήσει, ἀλλ' ὑπόμνησιν αὐτοῦ ἔχομεν τὸ ἐσσί. ἐπειδὴ οὖν ἡ μὲν ἕκτη συζυγία τῶν βαρυτόνων διὰ καθαροῦ τοῦ ω ἐκφέρεται. αἱ δὲ ἄλλαι συζυγίαι τῶν βαρυτόνων διὰ συμφώνου, εἰκότως ἀπὸ τῆς ἕκτης συζυγίας τῶν βαρυτόνων παράγονται εἰς μι, οἷον, ὀλλύω ὄλλυμι, καὶ οὐκ ἀπὸ τῶν λοιπῶν συζυγιῶν τῶν βαρυτόνων· οἷον ἀπὸ τοῦ λέγω καὶ φέρω, τροπῇ τοῦ ω εἰς μι, λέγμι καὶ φέρμι. ἤμελλον γὰρ συμφώνῳ παραλήγεσθαι, ὅπερ ἐστὶν ἀδύνατον.*

[1] Cod. male εὕρηνται.

Εἰ δέ τις εἴποι. διατί γὰρ μὴ ὡς ἐκ τοῦ τιθῶ καὶ διδῶ καὶ ἱστῶ γέγονε τίθημι καὶ δίδωμι καὶ ἵστημι, οὕτως καὶ ἀπὸ τοῦ λέγω λέγημι· φέρω φέρημι; οὕτως γὰρ ἐὰν γένωνται οὐκ ἔτι εὑρίσκονται συμφώνῳ παραληγόμενα. λέγομεν ὅτι οὐ δύναται οὕτως γενέσθαι. ἐπειδὴ τὰ εἰς μι, ἐὰν μὲν ἀπὸ βαρυτόνων παραχθῶσι, θέλουσιν ἰσοσυλλαβεῖν τοῖς ἰδίοις πρωτοτύποις, οἷον ζευγνύω, ζεύγνυμι· εἰ δὲ ἀπὸ περισπωμένων, μιᾷ συλλαβῇ περιττεύουσι τῶν ἰδίων πρωτοτύπων· οἷον, τιθῶ, τίθημι· ἱστῶ, ἵστημι. ἐὰν οὖν ταῦτα γένωνται λέγημι καὶ φέρημι, μέλλουσι περιττοσυλλαβεῖν τῶν ἰδίων πρωτοτύπων τοῦ λέγω, καὶ τοῦ φέρω ἀπὸ βαρυτόνων παραχθέντων.

Ἄξιόν ἐστι ζητῆσαι, τί δήποτε τριῶν οὐσῶν συζυγιῶν τῶν εἰς ω περισπωμένων, τέσσαρες εἰσὶ τῶν εἰς μι; καὶ ἔστιν εἰπεῖν τὴν ἀπολογίαν ταύτην. ἀναλογοῦσιν αἱ τρεῖς συζυγίαι τῶν περισπωμένων, καὶ αἱ τέσσαρες τῶν εἰς μι τοῖς εἴδεσι τῆς συλλαβῆς. ὥσπερ γὰρ ἐκ τῶν τριῶν εἰδῶν τῶν ἁπλῶν τῆς συναλοιφῆς γίνονται τέσσαρα εἴδη τὰ σύνθετα τῆς συναλοιφῆς· οὕτω καὶ ἐκ τῶν εἰς ω περισπωμένων γίνονται τὰ εἰς μι. εἰ δὲ καὶ ἐκ τῆς ἕκτης συζυγίας τῶν βαρυτόνων τὰ εἰς μι, ξενὸν οὐδέν. ἐπειδὴ συγγένειαν ἔχει ἡ ἕκτη συζυγία τῶν βαρυτόνων πρὸς τὰς συζυγίας τῶν περισπωμένων. καὶ γὰρ αἱ συζυγίαι τῶν περισπωμένων ἀπὸ τῆς ἕκτης τῶν βαρυτόνων γίνονται. ἐπειδὴ οὖν ἀναλογοῦσι τὰ εἰς ω περισπώμενα, καὶ τὰ εἰς μι τοῖς εἴδεσι τῆς συναλοιφῆς· ἑπτὰ δέ εἰσι· τρία μὲν ἁπλᾶ, τέσσαρα δὲ σύνθετα· εἰκότως τρεῖς μὲν εἰσὶ συζυγίαι τῶν περισπωμένων, τέσσαρες δὲ τῶν εἰς μι. εἰσὶ δὲ τὰ τρία μὲν εἴδη τῆς συναλοιφῆς τὰ ἁπλᾶ ταῦτα· ἔκθλιψις, κρᾶσις, συναίρεσις. ἔκθλιψις μὲν, οἷον κατὰ ἐμοῦ, κατ' ἐμοῦ. ἐξεβλήθη γὰρ τὸ α τῆς κατὰ προθέσεως. Κρᾶσις, οἷον, τὸ ἐμὸν τοὐμόν. συναίρεσις, οἷον, πάϊς, παῖς. τί δὲ διαφέρει κρᾶσις συναιρέσεως, ἐμάθομεν ἐν τοῖς ὀνόμασιν ἐν τῇ περὶ τοῦ Δημοσθένεος διδασκαλίᾳ. Τὰ δὲ τέσσαρα εἴδη τὰ σύνθετα τῆς συναλοιφῆς, εἰσὶ ταῦτα, ἔκθλιψις καὶ κρᾶσις, ἔκθλιψις καὶ συναίρεσις, κρᾶσις καὶ συναίρεσις, ἔκθλιψις καὶ κρᾶσις καὶ

συναίρεσις· ἔκθλιψις καὶ κρᾶσις· οἷον, καὶ ἐγὼ κἀγώ. ἐκθλίβεται τὸ ι τοῦ καὶ συνδέσμου καὶ κιρνᾶται τὸ α καὶ ε εἰς α, δῆλον ὅτι μακρόν. ἔκθλιψις δὲ καὶ συναίρεσις, οἷον ἐμοὶ ὑποδύνει, ἐμουποδύνει. ἐκθλίβεται γὰρ τὸ ι τῆς οι διφθόγγου τῆς οὔσης ἐν τῷ ἐμοὶ ἀντωνυμίᾳ, καὶ συναιρεῖται τὸ ο καὶ τὸ υ, εἰς τὴν ου δίφθογγον. Κρᾶσις δὲ καὶ συναίρεσις, οἷον, ὁ αἰπόλος ᾡπόλος. κιρνᾶται γὰρ τὸ ο καὶ α εἰς ω, καὶ συναιρεῖται τὸ ω καὶ τὸ ι εἰς τὴν ῳ δίφθογγον. ἔκθλιψις δὲ, κρᾶσις καὶ συναίρεσις, οἷον οἱ αἰπόλοι, ᾡπόλοι. ἐκθλίβεται γὰρ τὸ ι τῆς διφθόγγου, καὶ κιρνᾶται τὸ ο καὶ τὸ α εἰς ω, καὶ συναιρεῖται τὸ ω καὶ τὸ ι εἰς τὴν ῳ δίφθογγον· ταῦτα μὲν ἐν τούτοις.

Θέλουσι δὲ τὰ εἰς μι φύσει μακρᾷ παραλήγεσθαι. καὶ παραλήγεται ἡ μὲν πρώτη καὶ δευτέρα συζυγία τῶν εἰς μι τῷ η, οἷον τιθῶ, τιθεῖς, τίθημι· ἱστῶ, ἱστᾶς, ἵστημι. ἀλλ' ἐν τῇ συστολῇ διαφέρουσιν· ἡ μὲν γὰρ πρώτη συζυγία τῶν εἰς μι διὰ τοῦ ε συστέλλεται ἐν τοῖς πληθυντικοῖς, οἷον, τίθεμεν· ἀφίεμεν· ἡ δὲ δευτέρα διὰ τοῦ α συνεσταλμένου· ἵσταμεν· κίχραμεν· ἡ δὲ τρίτη παραλήγεται τῷ ω· οἷον, δίδωμι, ὅπερ οὐ συστελλόμενον διὰ τοῦ ο συστέλλεται ἐν τοῖς πληθυντικοῖς· οἷον, δίδομεν. Ἡ δὲ τετάρτη διχρόνῳ ἐκτεταμένῳ παραλήγεται· οἷον, ζεύγνυμι, ὄλλυμι· συστελλομένη δὲ τὸ δίχρονον μόνον συστέλλει· οἷον, ζεύγνυμεν, πήγνυμεν, διὰ συνεσταλμένου τοῦ υ. εὐλόγως δὲ ἡ μὲν πρώτη συζυγία τῶν εἰς μι τῷ η παραλήγεται· οἷον, τίθημι, ἐπειδὴ ἡ ἐντέλεια τοῦ πρωτοτύπου τὸ ε ἔχει· οἷον, τιθέω, τιθῶ· τὸ δὲ ε μεγεθυνόμενον ἐν τοῖς ῥήμασι, διχῶς μεγεθύνεται· ἢ γὰρ διὰ τῆς προσθήκης τοῦ ι μεγεθύνεται, οἷον ἔχω, εἶχον· ἢ διὰ τοῦ τρέπεσθαι εἰς τὸ η· ἐλέγχω, ἤλεγχον. καὶ ἐπειδὴ ἐπὶ τῶν εἰς μι οὐ δύναται τὸ α διὰ τῆς προσθήκης τοῦ ι μεγεθύνεσθαι, ὡς γὰρ μετ' ὀλίγα μαθησόμεθα, οὐ θέλουσι τὰ εἰς μι ὁριστικὰ διφθόγγῳ παραλήγεσθαι, εὐλόγως διὰ τοῦ τρέπεσθαι εἰς η μεγεθύνεται· ὡσαύτως δὲ καὶ ἡ δευτέρα συζυγία τῶν εἰς μι εὐλόγως τῷ η παραλήγεται, οἷον, ἵστημι·

ἐπειδὴ τὸ ἐντελὲς τοῦ πρωτοτυποῦ τὸ α ἔχει, οἷον, ἱστάω, ἱστῶ· τὸ δὲ α μεγεθυνόμενον ἐν τοῖς ῥήμασιν εἰς τὸ η τρέπεται, οἷον, ἀκούω, ἤκουον.

Ἡ δὲ τρίτη τῷ ω παραλήγεται· οἷον, δίδωμι· ἐπειδὴ ἡ ἐντέλεια τοῦ πρωτοτύπου τὸ ο ἔχει· οἷον, διδόω, διδῶ· τὸ δὲ ο μεγεθυνόμενον εἰς τὸ ω τρέπεται, οἷον ὀμνύω, ὄμνυμι. Ἡ δὲ τετάρτη συζυγία τῶν εἰς μι διχρόνῳ ἐκτεταμένῳ παραλήγεται· οἷον, ζεύγνυμι· ἐπειδὴ καὶ τὸ προτότυπον τὸ υ ἔχει, οἷον, ζευγνύω· τὸ δὲ υ μεγεθυνόμενον ἐν τοῖς ῥήμασιν εἰς ἑαυτὸ μεγεθύνεται· τουτέστι φύσει μακρὸν γίνεται, καὶ οὐ τρέπεται εἰς ἄλλο φωνῆεν, οἷον, ὑδρεύω, ὕδρευον· ὑφαίνω, ὕφαινον.

Ἄξιον δέ ἐστι ζητῆσαι διατί τὰ εἰς μι ἀεὶ φύσει μακρᾷ παραλήγεται, οἷον, τίθημι; λέγει δὲ ὁ Ἡρωδιανὸς ταύτην τὴν ἀπολογίαν· ἐπειδὴ ἡ τελευταῖα συλλαβὴ τὸν μακρὸν χρόνον ἔτρεψεν εἰς βραχὺ, τροπῇ γὰρ τοῦ ω εἰς μι γίνονται· τούτου χάριν ὑπερβιβασμὸν ἀναδέξαντο τοῦ χρόνου, καὶ ἐποίησαν τὴν παραλήγουσαν φύσει μακρὰν, ἵνα τὸν μακρὸν χρόνον τὸν κεχρεωστημένον τῇ ληγούσῃ ἀναδέξηται ἡ παραλήγουσα.

Ἰστέον ὅτι οὐ θέλουσι τὰ εἰς μι ὁριστικὰ διφθόγγῳ παραλήγεσθαι, οἷον, τίθημι, ὄλλυμι. ὅθεν σεσημείωται τὸ εἰμὶ τὸ σημαῖνον τὸ ὑπάρχω, καὶ τὸ εἶμι τὸ σημαῖνον τὸ πορεύομαι διφθόγγῳ παραληγόμενα. πρόσκειται ὁριστικὰ διὰ τὰ εὐκτικὰ, οἷον τύπτοιμι, λέγοιμι· καὶ περὶ γὰρ τοῦ εἰμὶ τοῦ σημαίνοντος τὸ ὑπάρχω, ἀπολογούμεθα οὕτως· ἔστιν ἔω τὸ σημαῖνον τὸ ὑπάρχω· τοῦτο τροπῇ τοῦ ω εἰς μι γέγονε ἐμὶ, ὥσπερ ζευγνύω, ζεύγνυμι· καὶ ἐπειδὴ τὰ εἰς μι φύσει μακρᾷ παραλήγεσθαι θέλουσιν, οἷον, τίθημι. ἠναγκάζετο δὲ τοῦτο φύσει μακρᾷ παραλήγεσθαι· καὶ λοιπὸν ἠναγκάζετο ἢ τρέψαι τὸ ε εἰς η, ἢ παραλαβεῖν τὸ ι· καὶ μᾶλλον ὤφελε τρέψαι τὸ ε εἰς τὸ η, εἴπερ προσλαμβάνειν τὸ ι· ἐπειδὴ ὡς εἴρηται τὰ εἰς μι ὁριστικὰ οὐ θέλουσι διφθόγγῳ παραλήγεσθαι· οἷον, τίθημι, ἵστημι· ἀλλ' ἐπειδὴ αἱ παράλογοι

λέξεις θέλουσι φυλάττειν ψιλόν τι τῆς φωνῆς τοῦ πρωτοτύπου, οἷον, τιθῶ, τίθημι· ἄρδω ἀρδεύω· τούτου χάριν ἵνα καὶ αὐτὴ ἡ λέξις ἡ εἰμὶ φυλάξῃ λείψανόν τι τῆς φωνῆς τοῦ πρωτοτύπου, προσέλαβε τὸ ι· καὶ γέγονεν εἰμὶ διὰ τῆς ει διφθόγγου καὶ ἐφύλαξε τὸ ε τοῦ πρωτοτύπου, φημὶ δὲ τοῦ ἔω. εἰ γὰρ ἔτρεψε[m] τὸ ε εἰς η, οὐκ ἐφυλάττετο τῆς φωνῆς τὸ πρωτότυπον· τὸ δὲ εἶμι τὸ σημαῖνον τὸ πορεύομαι διὰ τοῦτο τῇ διφθόγγῳ παραλήγεται, ἐπειδὴ ἀπὸ τοῦ εἴω ἐστί· ἔστι γὰρ εἴω διὰ τῆς ει διφθόγγου, ὃ σημαίνει τὸ πορεύομαι· ἐκ τούτου οὖν τοῦ εἴω γέγονεν εἶμι, τροπῇ τοῦ ω εἰς μι, ὥσπερ τὸ ζευγνύω, ζεύγνυμι, καὶ λοιπὸν ἐκ τοῦ πρωτοτύπου ἔχει τὴν ει δίφθογγον.

Δεῖ δὲ γινώσκειν, ὅτι ὁ Ἀπολλώνιος τὸ εἰμὶ διὰ μακροῦ τοῦ ι γράφει· ἐκ τοῦ καὶ τὰ δυϊκὰ, καὶ τὰ πληθυντικὰ διὰ συνεσταλμένου τοῦ ι εἶναι· οἷον, ἴτον, ἴτον· ἴμεν, ἴτε, καὶ ἐν συνθέσει ἔξιτον· καὶ τὸ τρίτον τῶν πληθυντικῶν ἴσι καὶ ἴασιν, οἷον,

καί τ' ἀγεληδὸν ἴασιν, (Il. Π. 160.)

οὐ συνᾴδει δὲ αὐτῷ ἡ παράδοσις· φησὶ γὰρ ὁ Ἡρωδιανὸς, ἀεὶ τὴν παράδοσιν γινώσκειν τὸ εἰμὶ ἐν τοῖς ἑνικοῖς διὰ τῆς ει διφθόγγου, οἷον,

εἶμι μὲν οὐδ' ἁλίη ὁδὸς ἔσσεται (Od. Β. 318.)

καὶ τὸ δευτέρον εἶς· οἷον·

τῇ δὲ εἶς, ᾗ σ' ἂν ἐγώ περ ἄγω καὶ ἀοιδὸν ἐοῦσαν. Hesiod. Opp. I. 206.

ἀντὶ τοῦ ἐκεῖ πορεύῃ· καὶ τὸ τρίτον τῶν ἑνικῶν εἶσιν, οἷον

εἶσι περὶ πτόλιος μαχόμενος. (Il. Ρ. 147.)

ἀντὶ τοῦ πορεύεται· τὰ μέντοι δυϊκὰ καὶ τὰ πληθυντικὰ ὡς εἴρηται διὰ συνεσταλμένου τοῦ ι εἰμί· καὶ ἔστιν εἰπεῖν, ὅτι τὸ εἴω διὰ τῆς ει διφθόγγου τὸ σημαῖνον τὸ πορεύομαι· καὶ ἴω διὰ τοῦ ι· κατὰ μὲν τὰ ἑνικὰ διὰ τῆς ει διφθόγγου εἰσίν· τὰ δὲ δυικὰ καὶ πληθυντικὰ ἀπὸ τοῦ ἴω τοῦ διὰ τοῦ ι.

Δεῖ δὲ γινώσκειν ὅτι τὸ ἴσι τρίτον τῶν πληθυντικῶν διὰ

[m] Cod. ἔτρεψαι.

τοῦτο ἐκτεταμένον ἔχει τὸ ι, τῶν δυικῶν καὶ τῶν πληθυντικῶν συντελλόντων αὐτό· ἐπειδὴ τὰ εἰς ι λήγοντα ῥήματα μακρῶς θέλουσι παραλήγεσθαι· οἷον, τετύφασιν· ἱστᾶσι· διδοῦσιν· ἀμέλει τὸ ἴασι·

καί τ' ἀγεληδὸν ἴασιν. (Il. Π. 160.)

ἐπειδὴ τὸ ι οὐκ ἔστι κατὰ τὴν παραλήγουσαν, συστέλλεται. ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι τὰ εἰς μι ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν· οἷον, τίθημι· εἶμι, ὃ σημαίνει τὸ πορεύομαι· χωρὶς τοῦ εἰμὶ τοῦ σημαίνοντος τὸ ὑπάρχω· καὶ τοῦ φημὶ καὶ τοῦ ἠμὶ τοῦ σημαίνοντος τὸ λέγω. ἔστι δὲ ἀπολογήσασθαι περὶ τοῦ ἠμὶ καὶ φημὶ, ὅτι διὰ τοῦτο ταῦτ' ὀξύνονται, ἐπειδὴ ἐγκλιτικὰ εἰσὶν, οἷον, ἄνθρωπός εἰμι· αἰδεῖσθαί φημι· τὰ δὲ ἐγκλιτικὰ αὐτὰ καθ' ἑαυτὰ ὄντα ἐν τῇ τελευταίᾳ συλλαβῇ θέλουσιν ἔχειν τὸν τόνον· οἷόν, ἐστί τινων· πῶς τε· πρόσκειται, αὐτὰ καθ' ἑαυτὰ ὄντα· ἐπειδὴ ἐν τῇ συντάξει ἀναπέμπουσι τὸν ἴδιον τόνον, ἢ τῇ προηγουμένῃ λέξει, οἷον ἄνθρωπός ἐστι· πῶς ἦν καὶ πῶς. Ἀρκεσίλαός τε· ἢ τῇ προηγουμένῃ συλλαβῇ· οἷον, ἤκ * * ἡμων δέδωκεν ἡμῶν· οὕτως οὖν καὶ τὸ εἰμὶ καὶ τὸ φημὶ ἐγκλιματικὰ ὄντα· οἷον, ἄνθρωπός εἰμι· ἐγώ φημι. εἰκότως ἐν τῇ τελευταίᾳ συλλαβῇ ἔχουσι τὸν τόνον αὐτὰ καθ' ἑαυτὰ ὄντα, ἐν δὲ τῇ τελευταίᾳ ἔχοντα τὸν τόνον εὐλόγως ὀξύνονται καὶ περισπῶνται, ἐπειδὴ βραχυκαταληκτοῦσι· περισπωμένη οὔτε ἐπάνω βραχείας τίθεται οὔτε ἐπάνω θέσει μακρᾶς· τὸ δὲ εἶμι τὸ σημαῖνον τὸ πορεύομαι οὐκ ἐστὶν ἐγκλιτικὸν, ὡς δηλοῖ ὁ τόνος· βαρύνεται γάρ.

Τούτων οὕτως ἐχόντων, ἰστέον ὅτι τὰ εἰς μι οὐ θέλουσι συμφώνῳ παραλήγεσθαι, οἷον τίθημι, ἵστημι· ὅθεν ἡμάρτηται συμφώνῳ παραληγόμενον τὸ ἐσμί· σημαίνει δὲ τὸ ὑπάρχω· τούτου χάριν, ὡς ἀνωτέρω εἴρηται, τὰ παραληγόμενα εἰς μι ἀπὸ βαρυτόνων ἀπὸ τῆς ἕκτης συζυγίας παράγονται· οἷον, ζευγνύω, ζεύγνυμι· καὶ οὐκ ἀπὸ τῶν ἄλλων συζυγιῶν τῶν βαρυτόνων· εἰ γὰρ ἐγένετο ἀπὸ τῶν ἄλλων συζυγιῶν τῶν βαρυτόνων, ἔμελλε παραλήγεσθαι συμφώνῳ,

ἅτε δὴ τῶν ἄλλων συζυγιῶν τῶν βαρυτόνων διὰ συμφώνου ἐκφερομένων· ὅπερ ἐστὶν ἀδύνατον.

Ἰστέον δὲ ὅτι οὐ μόνον κατὰ τοῦτο ἡμάρτηται τὸ ἐσμὶ, φημὶ δὴ καθότι παραλήγεται συμφώνῳ, ἀλλ' ὅτι καὶ φύσει μακρᾷ παραλήγεται· τῶν εἰς μι ὥσπερ εἴρηται φύσει μακρᾷ παραλήγεσθαι θελόντων, οἷον, τίθημι, δίδωμι, ζεύγνυμι· τοῦτο δὲ τὸ ἐσμὶ οὔτε ἐστὶν ἐν χρήσει, ἀλλ' ἐν ὑπομνήσει ἔχομεν ἐξ αὐτοῦ τὸ ἐσσὶ καὶ τὸ ἐστί· περὶ ὧν εἰ Θεῷ φίλον, ἐφεξῆς μαθησόμεθα.

Ἰστέον δὲ ὅτι τὰ εἰς μι ἀναδιπλασιαζόμενα κατὰ τὸν ἐνεστῶτα τούτῳ τῷ τρόπῳ ἀναδιπλασιάζονται· εἰ μὲν τὸ πρωτότυπον ἀπὸ φωνήεντος ἄρχεται, διὰ τοῦ ι γίνεται μόνου ὁ ἀναδιπλασιασμὸς, ὦ, ἰῶ, ἵημι τὸ πέμπω· εἰ δὲ τὸ πρωτότυπον ἀπὸ συμφώνου ἄρχεται ἑνὸς, τότε δι' αὐτοῦ τοῦ συμφώνου καὶ τοῦ ι γίνεται ἀναδιπλασιασμὸς, οἷον, δῶ, διδῶ, δίδωμι· βῶ, βιβῶ, βίβημι· θῶ, τιθῶ, τίθημι· τοῦ δασέως θ διὰ τὴν κακοφώνιαν τραπέντος εἰς τὸ ἀντίστοιχον τὸ ψιλὸν, φημὶ δὴ εἰς τὸ τ. εἰ δὲ τὸ πρωτότυπον διὰ συμφώνων ἄρχεται, εἰ μὲν μὴ ἐστὶν ἄφωνον πρὸ ἀμεταβόλου, διὰ τοῦ ι μόνου γίνεται ὁ ἀναδιπλασιασμὸς, οἷον, στῶ, ἱστῶ, ἵστημι· εἰ δὲ ἐστὶν ἄφωνον πρὸ ἀμεταβόλου, τότε δι' αὐτοῦ τοῦ συμφώνου, φημὶ δὴ τοῦ ἀφώνου, γίνεται ὁ ἀναδιπλασιασμὸς τοῦ μ, οἷον, πρῶ πιπρῶ, πίπρημι καὶ πίμπρημι, κατὰ πλεονασμὸν τοῦ μ· χρῶ, κιχρῶ, κίχρημι· τοῦ δασέως χ διὰ τὴν κακοφωνίαν τραπέντος εἰς τὸ ἀντίστοιχον τὸ ψιλὸν, φημὶ δη. Τούτων οὕτως ἐχόντων, ἀποροῦσι τινὲς λέγοντες, διὰ ποίαν αἰτίαν, τὸ κ, ὥσπερ ἀπὸ τοῦ θῶ γίνεται κατὰ πλεονασμὸν τιθῶ, τίθημι· καὶ ἀπὸ τοῦ δῶ, διδῶ, δίδωμι, μὴ τὸν αὐτὸν τρόπον, καὶ ἀπὸ τοῦ φῶ γίνεται μετὰ ἀναδιπλασιασμοῦ πιφῶ, πίφημι, ἀλλὰ φημὶ λέγεται ἀνεὺ διπλασιασμοῦ. Ἔστιν οὖν εἰπεῖν. οὐ δύναται τὸ φημὶ ἀναδιπλασιασθῆναι, ἐπειδὴ ἐγλιτικόν ἐστιν· οἷον, αἰδεῖσθαί φημι. κανὼν δὲ ἐστὶν ὁ λέγων· ὅτι τὰ ἐγκλιτικὰ οὐ θέλουσιν ὑπερβαίνειν τὴν δισυλλαβίαν, οἷον, εἰμί τις· πῶς τε ὑμῶν· ἡμῖν ἐστιν. εἰ οὖν ἀνεδιπλα-

σιάσθη τὸ φημὶ, ἤμελλε τρισυλλαβεῖν ἐγκλιτικὸν ὂν, ὅπερ ἀδύνατον.

Ἰστέον ὅτι τὰ εἰς μι λήγοντα, τροπῇ τῆς μι εἰς τὸ σ τὰ δεύτερα πρόσωπα ποιοῦσιν, οἷον, τίθημι, τίθης. ἵημι τὸ πέμπω, ἵης· κίχρημι, κίχρης· δίδωμι, δίδως· ζεύγνυμι, ζεύγνυς· εἰμὶ, εἷς ὀξυτόνως· οἷον,

αἵματος εἷς ἀγαθοῖο φίλον τέκος. (Od. Δ. 611.)

ἀντὶ τοῦ ὑπάρχεις· εἶμι, εἶς περισπωμένως, ὡς παρ' Ἡσιόδῳ,

τῇδε εἶς ἂν ἐγώ περ ἄγω καὶ ἀοιδὸν ἐοῦσαν (Opp. I. 206.)

ἀντὶ τοῦ ἐκεῖ πορεύῃ· καὶ ἀπὸ τοῦ φημὶ δὲ τὸ δεύτερον πρόσωπον φὴς ὤφειλεν εἶναι χωρὶς τοῦ ι, τροπῇ τοῦ μι εἰς σ, ἀλλ' ἡ παράδοσις σὺν τῷ ι οἶδεν αὐτὸ γεγραμμένον, οἷον, φῇς, ὡς ἐν τῇ Ὀρθογραφίᾳ, εἰ Θεῷ φίλον, μαθησόμεθα.

Τούτων οὕτως ἐχόντων καὶ τοῦ ἐσμὶ τοῦ σημαίνοντος τὸ ὑπάρχω τροπῇ τῆς μι εἰς σ γίνεται τὸ δεύτερον πρόσωπον ἐσς· καὶ ἐπειδὴ οὐδέποτε, οὔτε συλλαβὴ, οὔτε λέξις εἰς δύο τὰ αὐτὰ καταλήγει, προῆλθε τὸ ι, καὶ ἐγένετο ἐσσί. λέγει δὲ ὁ Φιλόπονος, ὅτι οὐκ ἔστιν ἀπὸ τοῦ ἐσμὶ τὸ ἐσσὶ, ἀλλ' ἀπὸ τοῦ εἰμί· ἀπὸ γὰρ τοῦ εἰμὶ τροπῇ τῆς μι εἰς σ γέγονεν εἷς ἀντὶ τοῦ ὑπάρχεις· καὶ καθ' ὑπερβιβασμὸν τοῦ ι ἐσί· καὶ ἐπειδὴ τὰ εἰς ι ῥήματα μακρᾷ θέλουσι παραλήγεσθαι. οἷον, τύπτουσι, τετύφασι, πεποιήκασι, πεποίθασι, τούτου χάριν ἀνεδιπλασιάσθη τὸ σ καὶ ἐγένετο ἐσσί· ἀπὸ τοῦ ἐσμὶ γάρ φησιν οὐκ ἐδύνατο εἶναι· ἐπειδὴ τὰ εἰς μι ἡμάρτηται· οὐδέποτε γὰρ τὰ εἰς μι θέλουσι συμφώνῳ παραλήγεσθαι· οἷον, τίθημι, ἵστημι, δίδωμι, ζεύγνυμι, πρὸς ὃν ἐστὶν εἰπεῖν, ὅτι πρῶτον μὲν καὶ τὸ ἐσμὶ ἡμάρτηται· τὰ γὰρ εἰς μι οὐ θέλουσι διφθόγγῳ παραλήγεσθαι· οἷον, τίθημι, ἵστημι, δίδωμι, ζεύγνυμι· πλὴν τοῦ εἶμι τοῦ σημαίνοντος τὸ πορεύομαι, καὶ τοῦ εἰμὶ δηλονότι τοῦ σημαίνοντος τὸ ὑπάρχω. Δεύτερον δὲ εἰ τὸ ἐσσὶ δῶμεν εἶναι ἀπὸ εἰμὶ, ἀναγκαζόμεθα, τὸ τρίτον πρόσωπον τοῦ ἑνικοῦ εἰς ι εἰπεῖν· τὰ γὰρ εἰς μι ὁριστικὰ τροπῇ τοῦ μ εἰς σ ποιοῦσι τὰ τρίτα πρόσωπα·

οἷον, τίθημι τίθησι· ἵστημι, ἵστησι· δίδωμι, δίδωσι· ζεύγνυμι, ζεύγνυσιν· οὕτως οὖν καὶ ἀπὸ τοῦ εἰμὶ τὸ τρίτον τῶν ἑνικῶν εἰσὶ ὤφειλεν εἶναι· ἀλλὰ μὴν τὸ εἰσὶ τρίτον τῶν ἑνικῶν οὐκ ἔστιν, ἀλλὰ τρίτον τῶν πληθυντικῶν. Δῆλον ὅτι οὐ δὲ τὸ ἐσσὶ ἀπὸ τοῦ εἰμὶ ἐστίν. τοῦ γὰρ τρίτου προσώπου μὴ δυναμένου εἶναι ἀπὸ τοῦ εἰμὶ κωλύεται καὶ τὸ δεύτερον εἶναι ἀπὸ τούτου. ταῦτα μὲν ἐν τούτοις.

Ἄξιον δέ ἐστι ζητῆσαι, εἰ ἄρα τὸ ι εἴωθε γίνεσθαι ἐφελκυσμὸν τοῦ ν, ἡνίκα ἔχει προηγούμενον τὸ σ τοῦ ι, οἷον,

ἔχθιστος δέ μοι ἐσσὶ διοτρεφέων βασιλήων. (Il. A. 176.)

Ἔστιν οὖν εἰπεῖν ὅτι διὰ τοῦτο τὸ ἐσσὶ οὐ γίνεται ἐφελκυστικὸν τοῦ ν, ἐπειδὴ ἀπὸ πάθους ἔχει τὸ ι· ἢ γὰρ ὡς εἴρηται ἀπὸ πλεονασμοῦ ἔχει αὐτὸ, ἢ κατὰ τὸν Φιλόπονον, ἀπὸ ὑπερβιβασμοῦ· ἐπειδὴ οὖν ἀπὸ πάθους ἔχει τὸ ι, τούτου χάριν ἐφελκυστικὸν οὐκ ἐγένετο.

Δεῖ δὲ ζητῆσαι πόθεν ἐγένετο τὸ εἶ τὸ σημαῖνον τὸ ὑπάρχον, οἷον,

αἵματος εἷς ἀγαθοῖο φίλον τέκος (Od. Δ. 611.)

ἀντὶ τοῦ ὑπάρχεις. κατὰ ἀποβολὴν τοῦ σ ἐγένετο τὸ εἶ· πρὸς οὓς λέγει ὁ Ἀπολλώνιος, ὅτι πρῶτον μὲν εἰ ἐγένετο ἐκ τοῦ εἷς κατὰ ἀποβολὴν τοῦ σ, ὤφειλε τρίτον πρόσωπον εἶναι τὸ εἶ· τὰ γὰρ δεύτερα πρόσωπα ἀποβάλλοντα τὸ σ, τρίτα γίνεται· πῶς οὖν τὸ εἷς ἀποβάλλον τὸ σ καὶ γινόμενον εἶ δεύτερον ἔμεινε; Δεύτερον εἰ ἐγένετο τὸ εἶ ἐκ τοῦ εἷς ὤφειλεν φυλάξαι τὸν αὐτὸν τόνον, τουτέστιν ὁμοίως τῷ εἷς· τὰ γὰρ ἀποβάλλοντα τὸ σ, ἐὰν φυλάξωσι τὸ αὐτὸ σημαινόμενον, τὸν αὐτὸν τόνον φυλάττουσιν, οἷον, πολλάκις, πολλάκι· δεῖ προσθεῖναι εἰ μὴ χαρακτὴρ κωλύσει, διὰ τὸ χωρὶς, χῶρι· τὸ γὰρ χῶρι βαρύνεται πρὸς τὸν χαρακτῆρα τοῦ νόσφι, αὖθι, ἶφι, αἶχι, ἦχι. πρόσκειται ἐὰν φυλάξωσι τὸ αὐτὸ σημαινόμενον, φυλάττουσι καὶ τὸν αὐτὸν τόνον, διὰ τὸ ἄντικρυς, ἀντικρύ. ἐνταῦθα ἐπειδὴ οὐκ ἐφυλάχθη τὸ αὐτὸ σημαινόμενον. τὸ μὲν γὰρ ἄντικρυς τὸ φανερῶς σημαίνει· τὸ δὲ ἀντικρὺ τὸ ἐξ ἐναντίας· τούτου χάριν οὔτε ὁ αὐτὸς

τόνος ἐφυλάχθη· καὶ πάλιν βασιλεὺς, βασιλεῦ· ἰδοὺ γὰρ οὔτε ἐνταῦθα ὁ αὐτὸς τόνος. τὸ μὲν γὰρ βασιλεὺς ὀξύνεται, τὸ δὲ βασιλεῦ περισπᾶται· ἀλλ' οὐκ ἐφυλάχθη τὸ αὐτὸ σημαινόμενον, τὸ μὲν γὰρ εὐθείας ἐστὶ, τὸ δὲ κλητικῆς· ἀλλ' οὐκ ἀντιστρέφοντος τοῦ λόγου· οὐδὲ γὰρ ἐὰν τοῦ σημαινομένου γένηται ἐναλλαγὴ, μετὰ τὴν ἀποβολὴν τοῦ σ, πάντως καὶ ὁ τόνος ἐναλλάσσεται· ἰδοὺ γὰρ λέγεις, λέγει· ὁ χρύσης, τῷ χρύσῃ· ὁ Φιλητᾶς, τοῦ Φιλητᾶ· ἰδοὺ ταῦτα μὴ φυλάξαντα τὸ αὐτὸ σημαινόμενον· τὸ μὲν γὰρ δεύτερον πρόσωπον ἐστὶν, τὸ δὲ τρίτον. καὶ τὰ μὲν εὐθείας, τὰ δὲ γενικῆς καὶ δοτικῆς, ὅμως τὸν αὐτὸν τόνον ἐφύλαξαν. τοῦτο οὖν τὸ εἰ φυλάξαν τὸ σημαινόμενον τὸ εἰς· ἀμφότερα γὰρ τὸ ὑπάρχεις δηλοῦσι, καὶ ἀμφότερα δευτέρου προσώπου εἰσὶ, καὶ μὴ φυλάξαν τὸν αὐτὸν τόνον. τὸ μὲν γὰρ εἶ περισπᾶται, τὸ δὲ εἲς ὀξύνεται· δῆλον ὅτι οὐ γέγονεν ἀπὸ τοῦ εἲς κατὰ ἀποβολὴν τοῦ σ.

Σχηματίζει οὖν ὁ Ἀπολλώνιος τὸ εἶ τοῦτον τὸν τρόπον. Ἔστιν ἔω τὸ σημαῖνον τὸ ὑπάρχω, ἐκ τούτου γίνεται παθητικὸν ἢ μέσον ἔσμαι· δῆλον ὅτι κατὰ φωνήν· πρόσκειται δῆλον ὅτι κατὰ φωνὴν, ἐπειδὴ κατὰ σημασίαν οὐ δύναται συστῆναι τὸ ἔσμαι· οὐδεὶς γὰρ λέγει ὑπάρχομαι· ἐκ τούτου λοιπὸν τοῦ ἔσμαι τὸ δεύτερον πρόσωπον γίνεται κοινῶς μὲν ἔῃ διὰ τοῦ η καὶ ι, ὥσπερ βούλῃς· Ἀττικῶς δὲ ἔει διὰ τῆς ει διφθόγγου, ὥσπερ βούλει· ὡς παρὰ Μενάνδρῳ,

βούλει τι Κνήμων εἰπέ μοι.

καὶ λοιπὸν τοῦτο τὸ ἔει τὸ Ἀττικὸν τὸ διὰ τῆς ει διφθόγγου γίνεται κατὰ κρᾶσιν τοῦ ε καὶ τῆς ει διφθόγγου εἰς τὴν ει δίφθογγον εἶ, ὥσπερ ποιέεις, ποιεῖς· πάϊς, παῖς· Πηλέϊ, Πηλεῖ. εἶτα μετὰ τὸ οὕτως σχηματίσαι τὸν Ἀπολλώνιον, λέγει πάλιν ὁ αὐτὸς, ὅτι ἄμεινον λέγειν τὴν φωνὴν παρεφθάρθαι, τουτέστι παράλογον, ἢ μείζονι ἐγκλήματι πίπτειν, φημὶ δὴ τὸ λέγειν ὅτι ἀπὸ τοῦ ἔω ὑπαρκτικοῦ γίνεται τὸ παθητικὸν ἔσμαι· οὐδέποτε γάρ φημι τὰ ὑπαρκτικὰ εἰς πάθος λαμβάνονται, ἤγουν οὐκ ἔχουσι παθητικά· οὐδὲ γὰρ τὸ

ὑπάρχω γίνεται ὑπάρχομαι. πῶς δύναται ἔχειν τὰ παθητικὰ ὅπου οὔτε ἐνέργειαν σημαίνουσι; τὸ γὰρ ζῶ, πλουτῶ, ὑπάρχω οὐδέτερα καλοῦσι, διὰ τὸ μήτε ἐνέργειαν σημαίνειν μήτε πάθος. λέγει οὖν ὁ Χάραξ ὅτι κατὰ πάθος γέγονε τὸ εἶ τὸ ἀπὸ τῆς εἷς, ἀποβολῇ τοῦ σ· καὶ περιεσπάθη τὸ εἶ, τοῦ εἷς ὀξυνομένου· ἐπειδὴ εἰς χαρακτῆρα ἐνέπεσεν ἀπαιτοῦντα τὴν περισπωμένην τάσιν· τὰ γὰρ εἰς τὴν ει δίφθογγον λήγοντα ῥήματα ἐπὶ τέλους ἔχοντα τὸν τόνον· διὰ τὸ ἐποίει καὶ ἐνόει· ταῦτα γὰρ οὐ περισπῶνται, ἀλλ' οὐκ ἔχουσιν ἐπὶ τέλους τὸν τόνον. Ἰστέον ὅτι κανονίζει ὁ τεχνικὸς τὸ τρίτον πρόσωπον τῶν ἑνικῶν οὕτως. πᾶν δεύτερον πρόσωπον τῶν εἰς μι ἐπὶ ἐνεστῶτος δῆλον ὅτι χρόνου. ἐπειδὴ ἐν παρατατικῷ τὸ δεύτερον ἀποβολῇ τοῦ σ τὸ τρίτον ποιεῖ, τὸ κατὰ κοινὴν διάλεκτον, ἐπειδὴ οἱ Αἰολεῖς ἀποβολῇ τοῦ σ ἐπὶ τούτων τὰ τρίτα ποιοῦσιν οἷον, τίθης, τίθη· ἵστης, ἵστη· δίδως, δίδω· ζεύγνυς, ζεύγνυ· δύνατον δὲ καὶ αὐτοῦ πρώτου προσώπου τῶν ἑνικῶν κανονίσαι οὕτως· τὰ εἰς μι λήγοντα ὁριστικὰ τροπῇ τοῦ μ εἰς σ τὸ τρίτον πρόσωπον ποιεῖ, οἷον ζεύγνυμι, ζεύγνυσι· φημὶ, φησίν· εἶμι τὸ πορεύομαι· εἶσι τὸ πορεύεται·

εἶσι περὶ πτόλιος μαχεόμενος· (Il. P. 147.)

ἀπὸ τοῦ εἰμὶ τοῦ σημαίνοντος τὸ ὑπάρχω, τὸ τρίτον τῶν ἑνικῶν ὤφειλεν γενέσθαι εἰσὶν, ἵνα δὲ μὴ συνεμπέσῃ τῷ τρίτῳ τῶν πληθυντικῶν, λέγω δὲ τῷ εἰσὶν ἐκεῖνοι, καὶ κατὰ τὴν γραφὴν, καὶ κατὰ τὸν τόνον· τούτου χάριν ἐπιλέλοιπε. πρόσκειται ὁριστικὰ, οἷον, τὰ εἰς μι ὁριστικὰ τροπῇ τοῦ μ εἰς τὸ σ ποιοῦσι τὸ τρίτον πρόσωπον, διὰ τὰ εὐκτικὰ, οἷον τύπτοιμι, τύπτοις, τύπτοι· ἐκεῖνα γὰρ οὐ ποιοῦσι τρόπῃ τὸ γ', ἀλλ' ἀποβολῇ τοῦ σ τοῦ κατὰ τὸ δεύτερον πρόσωπον· τούτων οὕτως ἐχόντων, καὶ ἀπὸ τοῦ ἐσμὶ τροπῇ τοῦ μ εἰς σ ὤφειλεν γενέσθαι τὸ τρίτον τῶν ἑνικῶν ἐσσὶν, ἀλλ' ἐπειδὴ προσελήφθη ἡ φωνὴ ἐπὶ τοῦ ἰδίου δευτέρου προσώπου, καὶ γὰρ τὸ δεύτερον πρόσωπον ἐσσὶ, τούτου χάριν τροπῇ Δωρικῇ παρηκολούθησε τὸ σ εἰς τὸ τ, καὶ ἐγένετο ἐστὶν, ὥσπερ σὺ, τύ· εἴκοσιν, εἴκοτι.

Ἰστέον ὅτι ἔνθεν ἀνατρέπεται ὁ Φιλόπονος λέγων, οὐκ ἔστι τὸ ἐσσὶ ἀπὸ τοῦ ἐσμί· ἐκ τούτου γὰρ τοῦ εἰμὶ, οὐδέποτε ἠδύνατο γενέσθαι τὸ ἐστί. Δεῖ δὲ γινώσκειν ὅτι οὐκ ἔστιν αὕτη ἡ τροπὴ ἡ ἐν τῷ ἐστὶ κυρίως Δωρική· οἱ γὰρ Δωριεῖς τὸ τρίτον πρόσωπον τῶν ἑνικῶν εἴς τι ποιοῦσι, μὴ προηγουμένου συμφώνου, οἷον, φησὶ, φατί· δίδωσι, δίδωτι· εἰ οὖν ἐν τῷ ἐσσὶ προηγεῖται σύμφωνον, οὐκ ἐτράπη τοῦτο Δωρικῶς εἰς τὸ σ, ἀλλὰ κατὰ μίμησιν Δωρικήν· τὸ δὲ τρίτον τῶν πληθυντικῶν εἴς τι ποιοῦσιν οἱ Δωριεῖς προηγουμένου συμφώνου τοῦ ν, οἷον, δίδοντι, φαντί· ὅτι δὲ δυνάμει ἐν τῷ ἐστὶν ὑπάρχει τὸ σ, δηλοῖ τὸ ι προσερχόμενον αὐτῷ, οἷον, ἐστίν· ὅτε γὰρ ἐστὶ τὸ σ πρὸ τοῦ ι, ἢ δυνάμει ἢ ἐνεργείᾳ, τότε τοῦ ν ἐφελκυστικὸν γίνεται τὸ ι, οὕτως οὖν καὶ ἐστίν. ἐνταῦθα γὰρ δυνάμει τὸ σ ἐστί. πολλάκις δὲ καὶ τοῦ φ προηγουμένου γίνεται τὸ ι ἐφελκυστικὸν τοῦ ν, οἷον

ναῦφιν ἀμυνόμενοι, (Il. N. 700.)

τουτέστιν ἐκ τῶν νηῶν ἀποσοβοῦντες. ταῦτα μὲν ἐν τούτοις.

Ἄξιον δέ ἐστι ζητῆσαι τοῦτο. πάντων τῶν δευτέρων προσώπων τῶν εἰς μι ληγόντων ἀποβαλλόντων τὸ σ, καὶ ποιούντων τὸ τρίτον πρόσωπον, οἷον, τύπτεις, τύπτει· ἐτύφθης, ἐτύφθη· περὶ γὰρ τοῦ παρακειμένου, καὶ ἀορίστου πρώτου ἐμάθομεν, ὅτι καὶ τροπὴ παρηκολούθησε τοῦ α εἰς ε διὰ τὴν ὁμοφωνίαν τὴν πρὸς τὸ πρῶτον πρόσωπον· διατί μόνα τὰ εἰς μι κατὰ τὸν ἐνεστῶτα οὐκ ἀποβάλλουσι τὸ σ ἐν τῷ τρίτῳ προσώπῳ, ἀλλὰ τουναντίον καὶ τὸ ι προσλαμβάνουσι; καὶ ἔστιν εἰπεῖν ὅτι πρῶτον μὲν ἀναλογώτεροί εἰσιν οἱ Αἰολεῖς, ἀποβ8λῇ τοῦ σ τὰ τρίτα ἐπὶ τούτων ποιοῦντες, οἷον, τίθημι, τίθης, τίθη· ζεύγνυμι, ζεύγνυς, ζεύγνυ· δίδωμι, δίδως, δίδω. Δεύτερον δὲ λέγει ὁ Ἀπολλώνιος ταύτην τὴν ἀπολογίαν. Τὰ παράγωγα ῥήματα τὰ ὁμοιοκαταληκτοῦντα τοῖς ἰδίοις πρωτοτύποις, ὁμοίως καὶ τοῖς πρωτοτύποις αὐτῶν ἀποβολῇ τοῦ σ ποιοῦσι τὸ τρίτον πρόσωπον, καὶ δίφθογγον ἔχουσιν ἐν τῇ ληγούσῃ τὴν μετὰ τοῦ ι· διὰ τοῦτο εἶπον ἀποβολῇ τοῦ σ ποιοῦσι τὸ τρίτον πρόσωπον ὁμοίως τοῖς ἰδίοις πρωτοτύ-

ποις, καὶ οὐκ εἶπον τὴν αὐτὴν κλίσιν ἐπιδέχονται, ἐπειδὴ εἰσί τινα ἀπὸ πρωτοτύπων παραγόμενα, καὶ φυλάττουσι τὴν αὐτὴν συζυγίαν· οἷον, τὸ νέμω, νέμεις, νέμει· πέμπτης ἐστὶ συζυγίας τῶν βαρυτόνων· τὸ δὲ ἐκ τούτου παραγόμενον τὸ νομῶ, νομᾷς, νομᾷ, δευτέρας ἐστὶ συζυγίας τῶν περισπωμένων· τὰ οὖν εἰς μι μὴ ὁμοιοκαταληκτήσαντα τοῖς ἰδίοις πρωτοτύποις, ἐκεῖνα γὰρ εἰς ω λήγουσι, ταῦτα δὲ εἰς μι, εἰκότως οὐδὲ ἀποβολῇ τοῦ σ ποιοῦσι τὸ τρίτον πρόσωπον ὁμοίως τοῖς ἰδίοις πρωτοτύποις, οὔτε ἔχουσι κατὰ τὴν λήγουσαν δίφθογγον τὴν μετὰ τοῦ ι ἐν τῷ δευτέρῳ καὶ τρίτῳ προσώπῳ· τὸ γὰρ εἷς τὸ σημαῖνον τὸ ὑπάρχεις, οἷον,

αἵματος εἷς ἀγαθοῖο φίλον τέκος (Od. Δ. 611.)

ἀντὶ τοῦ ὑπάρχεις· καὶ τὸ εἷς τὸ σημαῖνον τὸ πορεύῃ, ὡς παρ' Ἡσιόδῳ·

τῇ εἷς ᾗσ' ἂν ἐγώ περ ἄγω (Opp. I. 206.)

ἀντὶ τοῦ ἐκεῖ πορεύῃ, ἀπὸ τῶν ἰδίων πρωτοτύπων ἔχουσι τὴν ει δίφθογγον· τὸ μὲν γὰρ εἷς τὸ ἐπὶ τοῦ ὑπάρχεις ἀπὸ τοῦ εἰμὶ γέγονε· τὸ δὲ εἷς τὸ ἐπὶ τοῦ πορεύῃ ἀπὸ τοῦ εἶμι ἐστί. τὸ φῄς οὐκ οἶδεν ὁ Ἀπολλώνιος σὺν τῷ ι γεγραμμένον· ἡ μέντοι παράδοσις καὶ ὁ Ἡρωδιανὸς σὺν τῷ ι οἶδεν αὐτὸ γεγραμμένον, ὡς ἐν τῇ Ὀρθογραφίᾳ, ὡς Θεῷ φίλον, μαθησόμεθα.

Ἰστέον ὅτι τὸ μὲν πρῶτον δυϊκῶν ἐπιλιμπάνει ἐνταῦθα, ἐπειδὴ τὸ μὲν πρῶτον πρόσωπον τῶν πληθυντικῶν τὸ δεύτερον τῶν δυϊκῶν ἀπὸ τοῦ δευτέρου τῶν πληθυντικῶν γέγονε, τροπῇ τοῦ ε εἰς ον, οἷον, τίθετε, τίθετον· τὸ δὲ τρίτον τῶν δυϊκῶν ὁμοφωνεῖ τῷ ἰδίῳ δευτέρῳ· ἐπειδὴ τὸ τρίτον τῶν πληθυντικῶν εἰς ι λήγει· οἷον, τιθεῖσι.

Ἰστέον ὅτι τὰ εἰς μι ὁριστικὰ τροπῇ τῆς μι εἰς μεν ποιοῦσι τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν, μετὰ τοῦ συστέλλειν τὴν παραλήγουσαν εἰς τὴν παραλήγουσαν τὴν ἐν τέλει τοῦ πρωτοτύπου· καὶ ἡ μὲν πρώτη συζυγία εἰς τὸ ε συστέλλει τὴν παραλήγουσαν, οἷον, τίθημι, τίθεμεν· ἵημι τὸ πέμπω, ἵεμεν καὶ ἀφίεμεν· ἐπειδὴ ἡ ἐντέλεια τοῦ πρω-

τοτύπου ἔχει τὸ ε, οἷον, τιθέω, ἱέω· ἡ δὲ δευτέρα εἰς τὸ α συνεσταλμένον συστέλλει τὴν παραλήγουσαν, οἷον, ἵστημι, ἵσταμεν· κίχρημι, κίχραμεν· φημὶ, φαμέν. ἐπειδὴ καὶ ἡ ἐντέλεια τοῦ πρωτοτύπου τὸ α συνεσταλμένον ἔχει, οἷον, ἱστάω, κιχράω, φάω· ἡ δὲ τρίτη εἰς τὸ ο συστέλλει τὴν παραλήγουσαν, οἷον, δίδωμι, δίδομεν· ἐπειδὴ ἡ ἐντέλεια τοῦ πρωτοτύπου τὸ ο ἔχει, οἷον, διδόω· ἡ δὲ τετάρτη τὸ υ δίχρονον συνεσταλμένον ἔχει· οἷον, ζεύγνυμι, ζεύγνυμεν· ἐπειδὴ καὶ τὸ πρωτότυπον συνεσταλμένῳ τῷ υ παραλήγεται· οἷον, ζευγνύω. τούτων οὕτως ἐχόντων, καὶ ἀπὸ τοῦ εἰμὶ τοῦ σημαίνοντος τὸ ὑπάρχω γίνεται τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν ἐμὲν, ἐπειδὴ τὸ πρωτότυπον τῷ ε παραλήγεται, ἔα γάρ· ὅπερ ἐμὲν κατὰ πλεονασμὸν σ γίνεται ἐσμέν· δύναται δὲ τὸ ἐσμὲν ἀπὸ τοῦ ἐσμὶ εἶναι· ταῦτα οὕτως. Τοῦ εἶμι τοῦ σημαίνοντος τὸ πορεύομαι τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν εἱμὲν ἐστὶ διὰ συνεσταλμένου τοῦ ι· περὶ οὗ ἐν τοῖς προλαβοῦσιν ἐμάθομεν, ὅτι τοῦτο ἐν μὲν τοῖς ἑνικοῖς διὰ τῆς ει διφθόγγου γράφεται, ἀπὸ τοῦ εἴω τοῦ δια τῆς ει διφθόγγου γραφομένου καὶ σημαίνοντος τὸ πορεύομαι· ἐν δὲ τοῖς δυϊκοῖς καὶ πληθυντικοῖς διὰ συνεσταλμένου τοῦ ι, ἀπὸ τοῦ ἴω τοῦ διὰ τοῦ ι γραφομένου, καὶ σημαίνοντος τὸ πορεύομαι. πρόσκειται ἐν τῷ κανόνι ὁριστικὰ, οἷον, τὰ εἰς μι ὁριστικὰ τροπῇ τῆς μι εἰς μεν ποιοῦσι τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν μετὰ τοῦ συστέλλειν τὴν παραλήγουσαν, διὰ τὰ εἰς μι εὐκτικά· ταῦτα γὰρ τροπῇ τῆς μι εἰς μεν ποιοῦσι τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν· οὐ συστέλλουσι δὲ τὴν παραλήγουσαν, οἷον, τύπτοιμι, τύπτοιμεν. ταῦτα μὲν ἐν τούτοις.

Ὁ δὲ τεχνικὸς ἐκ τῆς γενικῆς τῆς μετοχῆς κανονίζει τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν τῷ κανόνι τῷ ῥηθέντι ἐν τοῖς εἰς ω, τῷ λέγοντι, τῶν ἐνεστώτων καὶ μελλόντων ἡ γενικὴ τῆς μετοχῆς ἀποβάλλουσα τὴν ἐσχάτην συλλαβὴν, φημὶ δὴ τὴν τος, καὶ πρὸ ν λαμβάνουσα τὸ με τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν ποιεῖ· οἷον, ἱστάντος,

ἵσταμεν· διδόντος, δίδομεν· καὶ λοιπὸν τούτου χάριν τῶν εἰς μι συστέλλεται ἡ παραλήγουσα τοῦ πρώτου προσώπου τῶν πληθυντικῶν κατὰ τὸν ἐνεστῶτα, ἐπειδὴ ἐκ τῆς γενικῆς τῆς μετοχῆς κανονίζεται. ἡ δὲ γενικὴ τῆς μετοχῆς συνεσταλμένην ἔχει τὴν παραλήγουσαν.

Εἴρηται ὅτι τὰ εἰς μεν πληθυντικὰ τροπῇ τῆς μεν εἰς τε τὸ δεύτερον πρόσωπον ποιοῦσι, καὶ φυλάττουσι τὴν παραλήγουσαν, ἡνίκα ἐστὶν ἡ μετοχὴ εἰς σ, οἷον, τετύφαμεν, τετύφατε· τετυφὼς γάρ ἐστιν ἡ μετοχὴ, οὕτως καὶ τὰ εἰς μι, τίθεμεν, τίθετε, τιθεὶς γάρ· ἵσταμεν, ἵστατε, ἱστὰς γάρ· δίδομεν, δίδοτε, διδοὺς γάρ. ζεύγνυμεν, ζεύγνυτε, ζευγνὺς γάρ.

Εἴρηται ὅτι ἐπὶ ἐνεστώτων καὶ μελλόντων τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν ὁμόφωνον γίνεται τῇ δοτικῇ πληθυντικῇ τῆς ἰδίας μετοχῆς, οἷον, οἱ τύπτοντες, τῶν τυπτόντων, τοῖς τύπτουσι, καὶ τύπτουσι ἐκεῖνοι. οὕτως οὖν καὶ τοῖς τιθεῖσιν, καὶ τιθεῖσι ἐκεῖνοι καὶ τοῖς ἱστᾶσι, καὶ ἱστᾶσιν ἐκεῖνοι· καὶ τοῖς διδοῦσι, καὶ δίδουσιν ἐκεῖνοι· καὶ τοῖς ζευγνῦσι, καὶ ζευγνῦσιν ἐκεῖνοι. σεσημείωται τὸ φασὶ καὶ εἰσὶν, ὅτι τῆς μετοχῆς βαρυνομένης τὸ ῥῆμα ὠξυτονήθη. ἔστι γὰρ ἡ μετοχὴ τῶν φάντων, τοῖς φᾶσι, βαρυτόνως. καὶ τὸ ῥῆμα φαμὲν, φατὲ, φασὶν, ὀξυτόνως. καὶ πάλιν ὁ εἷς, τοῦ ἕντος· τῷ ἕντι, τὸν ἕντα, ἀντὶ τοῦ ὑπάρχοντα, ὡς καὶ ἡ χρῆσις δηλοῖ·

οὕτως ἔχουσα παῖδα ἕντα

ἀντὶ τοῦ ὑπάρχοντα. καὶ λοιπὸν τὰ πληθυντικὰ, οἱ ἕντες, τῶν ἕντων, τοῖς εἶσι βαρυτόνως. καὶ τὸ ῥῆμα ἐσμὲν, ἐστὲ, εἰσὶν ὀξυτόνως. περὶ δὲ τούτων ἐν τοῖς εἰς ω μεμαθήκαμεν. ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι ταῦτα, φημὶ δὴ τὰ τρίτα πρόσωπα τῶν πληθυντικῶν τοῦ ἐνεστῶτος τῶν εἰς μι οἱ Ἀττικοὶ, οὐδὲ γὰρ Ἴωνες, ὡς ὁ τεχνικὸς λέγει, προσόδῳ τοῦ α καὶ συστολῇ τῆς παραληγούσης προφέρονται, οἷον, τιθεῖσι, τιθέασι· διδοῦσι, διδόασι· ζευγνῦσι, ζευγνύασιν· ἐπὶ δὲ τῆς δευτέρας συζυ-

γίας οὐδὲν τοιοῦτον ποιοῦσι διὰ τὴν κακοφωνίαν. ἀπὸ τοῦ ἱστᾶσι γάρ, εἰ ἐποίησαν πρόσοδον τοῦ α ἱστάασιν, ἀλλ' ἐπαλληλία τοῦ α ηὑρίσκετο, καὶ ἐκ τούτου κακοφωνία ἐγίνετο.

Ἰστέον δὲ ὅτι τὸ τιθέασι, καὶ διδόασι, καὶ ζευγνύασι μακρὸν ἔχουσι τὸ α, ἐπειδὴ τὰ εἰς ι λήγοντα ῥήματα μακρᾷ θέλουσι παραλήγεσθαι, οἷον, τετύφασι. τούτων οὕτως ἐχόντων, τὸ ἱεῖσι, ὃ σημαίνει τὸ πέμπουσι, γίνεται ἱέασι προσόδῳ τοῦ α καὶ συστολῇ τῆς παραληγούσης· καὶ κατὰ κρᾶσιν Ἀττικὴν τοῦ ε εἰς α μακρὸν ἱᾶσι προπερισπωμένως, καὶ ἐν συνθέσει ἀφιᾶσι.

Τὸ τιθέασιν ἐπειδὴ οὐκ ἔχει καθαρὸν τὸ ε ὥσπερ τὸ ἱέασιν ἀλλ' ἔχει πρὸ τοῦ ε σύμφωνον, τούτου χάριν οὐ κιρνᾶται, καὶ γίνεται τιθᾶσιν, ὥσπερ ἱᾶσι καὶ ἀφιᾶσιν. οὐδέποτε γὰρ τὸ ε καὶ α κιρνᾶται εἰς α συμφώνου προηγουμένου τοῦ ε, οἷον, Δημοσθένεα, Δημοσθένη· τείχεα, τείχη· ἐπὶ γὰρ τῶν ἐχόντων καθαρὸν τὸ ε, τουτέστιν ἐπὶ τῶν μὴ ἐχόντων πρὸ τοῦ ε σύμφωνον γίνεται τοῦτο, τουτέστι κιρνᾶται τὸ ε καὶ α εἰς α μακρὸν, οἷον, εὐφυέα, εὐφυᾶ· ὑγιέα, ὑγιᾶ· ἐν δὲ τῷ ἔασιν, ὃ σημαίνει τὸ ὑπάρχουσι διὰ τοῦτο οὐ γίνεται κρᾶσις τοῦ ε καὶ α εἰς α μακρὸν, ὥσπερ ἐπὶ τοῦ ἱέασιν, ἱᾶσι καὶ ἀφιᾶσι. καὶ ταῦτα μὴ προηγουμένου συμφώνου ἐν τῷ ἔασιν, ἐπειδὴ οὐ κέχρηνται οἱ Ἀττικοὶ τῷ ἔασι, καίπερ Ἀττικῷ ὄντι, ὥσπερ τὸ τιθεάσιν, ἀλλ' οἱ Ἴωνες. ὅθεν ὁ τεχνικὸς φησὶ πλανηθεὶς, τὰ τοιαῦτα Ἰωνικὰ εἶναι. Ἐπειδὴ οὖν οὐ κέχρηνται οἱ Ἀττικοὶ τῷ ἔασιν, ἀλλ' οἱ Ἴωνες, τούτου χάριν οὐ γίνεται κατὰ κρᾶσιν. οἱ γὰρ Ἀττικοί εἰσιν οἱ κεχρημένοι ταῖς συναιρέσιν, οὐ μὴν οἱ Ἴωνες· μᾶλλον διαλύουσι· Ξέρξεα γὰρ καὶ Πολυδεύκεα λέγουσι, καὶ τετύφεα, καὶ ἐπεποιήκεα. τούτων οὕτως ἐχόντων, τοῦ εἶμι τοῦ σημαίνοντος τὸ πορεύομαι, τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν ἴσι διὰ τοῦ ι ἀντὶ τοῦ πορεύονται· ἐμάθομεν γὰρ ἐν τοῖς προλαβοῦσιν, ὅτι τοῦτο ἐν μὲν τοῖς ἑνικοῖς διὰ τῆς ει διφθόγγου γράφεται· ἐν δὲ τοῖς πληθυντικοῖς διὰ συνεσταλ-

μένου τοῦ ι· τὸ δὲ ἴσι τὸ τρίτον τῶν πληθυντικῶν μακρὸν ἔχει τὸ ι· τῶν δυϊκῶν καὶ τῶν πληθυντικῶν συστελλόντων αὐτὸ, οἷον, ἴτον, ἴτον· ἴμεν, ἴτε· καὶ ἐν συνθέσει ἔξιμεν, ἔξιτε· ἐπειδὴ τὰ εἰς ι λήγοντα ῥήματα μακρᾷ θέλουσι παραλήγεσθαι. ἔστιν οὖν ἴσι, τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν διὰ μακροῦ τοῦ ι· καὶ λοιπὸν προσόδῳ τοῦ α, καὶ συστολῇ τῆς παραληγούσης, τουτέστι τοῦ μακροῦ ι εἰς βραχὺ, γίνεται ἴασι, οἷον,

καί τ' ἀγεληδὸν ἴασι (Il. Π. 160.)

τὸ ἐπὶ τοῦ πορεύονται· διὰ τοῦτο δὲ τὸ ἴασι τὸ ἐπὶ τοῦ πορεύονται προπαροξύνεται, καὶ οὐ περισπᾶται, ὥσπερ τὸ ἰᾶσι καὶ ἀφιᾶσιν τὸ ἐπὶ τοῦ πέμπουσιν, ἐστὶ κατὰ κρᾶσιν. διὰ τοῦτο δὲ τὸ ἴασι τὸ ἐπὶ τοῦ πορεύονται οὐκ ἀναδέχεται κρᾶσιν, ὥσπερ τὸ ἱέασι τὸ πέμπουσι ἐν τῷ ἰᾶσι καὶ ἀφιᾶσιν, ἐπειδὴ οὐδέποτε τὸ ι καὶ α κιρνᾶται ὥσπερ τὸ ε καὶ α. τὸ γὰρ τοὺς μάντις καὶ τοὺς ὄφις τὰ Ἰωνικὰ οὐ γεγόνασι κατὰ κρᾶσιν, ἀπὸ τοῦ μάντιας καὶ ὄφιας ἀλλ' ὁμόφωνά ἐστι τῆς αἰτιατικῆς τῶν πληθυντικῶν πρὸς τὴν ἰδίαν εὐθείαν, φημὶ δὴ πρὸς τὴν οἱ μάντιες, μάντις. ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὁ μὲν Ἡρωδιανός φησι, ὅτι κυρίως διαίρεσις ἐστὶν αὕτη ἡ ἐν τῷ τιθεῖσι τιθέασι, καὶ δίδουσι διδόασι· καὶ ζεύγνυσι ζευγνύασι· καὶ πιστοῦται τοῦτο εἰς τῶν πληθυντικῶν τὴν αἰτιατικήν. ἰδοὺ γάρ φησιν, ἐν τῷ Δημοσθένεας, Δημοσθένεις, τὸ ε καὶ α εἰς τὴν ει δίφθογγον συναιρεῖται· καὶ πάλιν ἐν τῷ ἰχθύας ἰχθῦς, τὸ υ καὶ τὸ α εἰς τὸ υ συναιρεῖται· καὶ πάλιν ἐν τῷ βόας, βοῦς, τὸ ο καὶ α εἰς τὴν ου δίφθογγον συναιρεῖται· οὐκοῦν καὶ ἐν τῷ τιθεῖσι τιθέασιν, ἡ ει δίφθογγος εἰς τὸ ε καὶ ρ διῃρέθη· καὶ ἐν τῷ ζευγνῦσι ζευγνύασι, τὸ υ εἰς τὸ υ καὶ α διῃρέθη· καὶ ἐν τῷ διδοῦσι διδόασιν, ἡ ου δίφθογγος εἰς τὸ ο καὶ α διῃρέθη. καὶ ἔστιν εἰπεῖν πρὸς αὐτὸν, ὅτι ἐν ταῖς αἰτιατικαῖς ταύταις οὐκ ἐγένετο συναίρεσις, ἀλλ' ὁμοφωνία ἐπὶ τῆς αἰτιατικῆς τῶν πληθυντικῶν πρὸς τὴν ἰδίαν εὐθείαν. καθόλου γὰρ, ὡς ἐν τῷ ὀνόματι μεμαθήκαμεν, πᾶσα εὐθεία πληθυντικὴ εἰς σ λή-

γουσα καὶ συνῃρημένη κατὰ τελευταίαν συλλαβὴν ἔχει τὴν ἰδίαν αἰτιατικὴν ὁμόφωνον αὐτῇ δηλονότι καὶ τὴν κλητικὴν, οἷον, οἱ εὐσεβεῖς, τοὺς εὐσεβεῖς, ὦ εὐσεβεῖς· οἱ ἰχθῦς, τοὺς ἰχθῦς, ὦ ἰχθῦς· οἱ βοῦς, τοὺς βοῦς, ὦ βοῦς. ὁ δὲ Ἀπολλώνιος λέγει ὅτι οὐκ ἐγένετο ταῦτα κατὰ διαίρεσιν, τουτέστιν ὡς εἴρηται κατὰ συστολὴν τῆς παραληγούσης καὶ προσόδῳ τοῦ α· τὰ γὰρ διαιρούμενα εἰς αὐτὰ διαιροῦνται ἐξ ὧν καὶ συνίστανται, οἷον τὸ η ἐκ τοῦ ε καὶ α συνίσταται, ὡς ἐν τῷ βέλεα, βέλη· ἀλλὰ διαλυόμενον εἰς τὸ ε καὶ α διαλύεται, οἷον, Ξέρξην, Ξέρξεα· ἦν, ἔα, ἀντὶ τοῦ ὑπῆρχον·

ἤ κεν ζὼς ἀμενηνὸς ἔα χαλκοῖο τυπῇσι (Il. E. 887.)

πάλιν ἡ ει δίφθογγος ἐκ τῶν δύο εε συνίσταται, οἷον, Δημοσθένεες, Δημοσθένεις, ἀλλὰ διαλυομένη εἰς τὰ δύο εε διαλύεται· ἐτετύφει, ἐτετύφεε· ἐν γὰρ τῷ ἐτετύφειν, ἐτετύφεα, διὰ τὸ α εἰς τὸ ε καὶ α ἡ ει δίφθογγος διελύθη, καὶ οὐκ εἰς δύο εε· ἐπειδὴ τὸ ε οὐκ ἔστι τὸ χαρακτηριστικὸν πρώτου προσώπου ἑνικοῦ, τὸ δὲ ευ, ναὶ, οἷον, ἔτυψα· εἰ ἄρα οὖν τὸ ε καὶ α οὐ συναιρεῖται εἰς τὴν ει δίφθογγον, οἷον τείχεα, τείχη, ἄρα οὔτε ἡ ει δίφθογγος διαιρεθήσεται εἰς τὸ ε καὶ α· οὐκ οὖν τὸ τιθεῖσι γεγονὸς τιθέασι κατὰ τὴν δοκοῦσαν διαίρεσιν γέγονε, καὶ οὐ κυρίως διῃρέθη· καὶ πάλιν τὸ υ καὶ α οὐ συναιροῦνται εἰς τὸ υ, ἄρα οὖν οὔτε τὸ υ ἐν τῷ ζευγνῦσι καὶ ζευγνύασι διαιρεθήσεται κυρίως εἰς τὸ υ καὶ α· καὶ πάλιν τὸ ο καὶ α οὐ συναιροῦνται εἰς τὴν ου δίφθογγον· ἄρα οὖν οὔτε ἡ ου δίφθογγος ἐν τῷ διδοῦσι, διδόασι, διαλυθήσεται κυρίως εἰς τὸ ο καὶ α. περὶ γὰρ τῆς αἰτιατικῆς τῶν πληθυντικῶν ὧν παρέθετο ὁ Ἡρωδιανὸς εἰρήκαμεν, ὡς οὐκ ἐγένετο κατὰ συναίρεσιν, ἀλλ' ὁμοφωνία ἐστὶ τῆς εὐθείας τῶν πληθυντικῶν. λέγουσι δέ τινες, ὅτι ἐπειδὴ μακροῖς παραλήγονται ταῦτα, τούτου χάριν κατὰ τὴν δοκοῦσαν διαίρεσιν γέγονε· κακῶς δὲ λέγουσι· τούτου γὰρ χάριν ὤφειλον καὶ τὰ ἀπὸ τῶν εἰς ω διαιρεῖσθαι, καὶ αὐτὰ γὰρ μακρᾷ παραλήγονται, οἷον, τύπτουσι· καθόλου γὰρ τὰ εἰς ι λήγοντα ῥήματα μακρᾷ θέλουσι παραλήγεσθαι, πεποίθασιν. ὤφειλεν οὖν καὶ

ἐν τῷ τύπτουσι γενέσθαι διαίρεσιν· ὥστε οὖν κακῶς λέγουσι· μήποτε οὖν ἐστὶν εἰπεῖν, ὅτι διὰ τοῦτο γίνεται ἡ δοκοῦσα διαίρεσις, ἵνα τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν ὁμοτονήσῃ τῷ ἰδίῳ πρώτῳ πληθυντικῷ. καθόλου γὰρ τὰ τρίτα πρόσωπα τῶν πληθυντικῶν θέλουσιν ὁμοτονεῖν τοῖς ἰδίοις πρώτοις πληθυντικοῖς, οἷον, τύπτομεν, τύπτουσι· τετύφαμεν, τετύφασιν· ἐλέξαμεν, ἔλεξαν· ταῦτα εἰ καὶ μὴ ἐν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον ἐφύλαξαν, ἀλλ' οὖν τὸν αὐτὸν τόνον ἔχουσι· ἀμφότερα γὰρ προπαροξύνονται· ἐνταῦθα γοῦν ἐν τοῖς εἰς μι, ἐπειδὴ οὐχ ὁμοφωνοῦσι τὰ τρίτα πρόσωπα τῶν πληθυντικῶν τοῦ ἐνεστῶτος τοῖς ἰδίοις πρώτοις πληθυντικοῖς, τὰ μὲν γὰρ τρίτα πρόσωπα προπερισπῶνται, τὰ δὲ πρῶτα παροξύνονται, οἷον, τίθεμεν, τιθεῖσι· δίδομεν, διδοῦσι· ζεύγνυμεν, ζευγνῦσι· τούτου χάριν γίνεται αὕτη ἡ δοκοῦσα διαίρεσις, οἷον, τιθέασι, διδόασι, ζευγνύασι, ἵνα ὁμοτονήσωσι τοῖς ἰδίοις πρώτοις πληθυντικοῖς, καὶ προπαροξυνθῶσιν ὁμοίως αὐτοῖς, οἷον, τίθεμεν, τιθέαμεν, τιθέασι· δίδομεν, διδόαμεν, διδόασι· ζεύγνυμεν, ζευγνύαμεν, ζευγνύασι. ταῦτα γὰρ εἰ καὶ μὴ τῇ αὐτῇ τὸν τόνον ἐφύλαξαν, ἀλλ' οὖν τὸν αὐτὸν τόνον ἔχουσι· ὅλα γὰρ προπαροξύνονται· αἴτιον δέ ἐστι τὸ μὴ φυλαχθῆναι ἐν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον ἐπὶ τούτων, τὸ μὴ ἰσοσυλλαβεῖν αὐτὰ ἀλλήλοις.

Ἰστέον δὲ ὅτι ὁ Ἡρωδιανὸς ἄλλην ἀπολογίαν ἔχει. ἔχει δὲ οὕτως· καθόλου τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν τοῦ ἐνεστῶτος πρὸς τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν τοῦ παρατατικοῦ ἢ ἰσοσυλλαβεῖν θέλει ἢ πλεονοσυλλαβεῖν· καὶ ἰσοσυλλαβεῖν μὲν ὅταν ἄρχηται ἀπὸ συμφώνου, οἷον, τύπτουσιν, ἔτυπτον· βοῶσιν, ἐβόων· δῆλον ὅτι χωρὶς τῶν ἀπὸ προθέσεως ἀρχομένων. καταγράφουσι γὰρ πεντασυλλάβως, καὶ κατέγραφον τετρασυλλάβως· πλεονοσυλλαβεῖν δὲ ὅταν ἀπὸ φωνήεντος ἄρχηται· δῆλον ὅτι τὸ τρίτον τῶν πληθυντικῶν τοῦ ἐνεστῶτος, οἷον, ἄγουσιν, ἦγον· ἑρμηνεύουσιν ἡρμήνευον· ἐνταῦθα οὖν ἐν τοῖς εἰς μι, εἰ μὴ ἐγένετο αὕτη ἡ δοκοῦσα διαίρεσις κατὰ τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν τοῦ

ἐνεστῶτος τὸ ἐναντίον συνέβαινεν, ὅπερ ἐστὶν ἄτοπον. ἤμελλε γὰρ ἀπὸ συμφώνου ἄρχεσθαι τὰ τρίτα πρόσωπα τῶν πληθυντικῶν τοῦ ἐνεστῶτος; καὶ μὴ ἰσοσυλλαβεῖν τοῖς τρίτοις προσώποις τῶν πληθυντικῶν τοῦ παρατατικοῦ, ὅπερ ἐστὶν ἄτοπον· οἷον, τιθεῖσιν, ἐτίθεσαν· διδοῦσιν, ἐδίδοσαν· ζευγνῦσιν, ἐζεύγνυσαν. καὶ πάλιν ἔμελλεν ἀπὸ φωνήεντος ἄρχεσθαι τὰ τρίτα πρόσωπα τῶν πληθυντικῶν τοῦ ἐνεστῶτος, καὶ ἰσοσυλλαβεῖν τοῖς τρίτοις προσώποις τῶν πληθυντικῶν τοῦ παρατατικοῦ, ὅπερ ἐστὶν ἄτοπον· οἷον, ἱεῖσι, τὸ πέμπουσιν, ἵεσαν, καὶ ἀφίεσαν ἐν συνθέσει. τούτου οὖν χάριν γίνεται ἡ δοκοῦσα αὕτη διαίρεσις, ἵνα φυλαχθῇ ἡ ἀκολουθία· οἷον, τιθέασιν, ἐτίθεσαν· διδόασιν, ἐδίδοσαν· ζευγνυάσιν, ἐζεύγνυσαν· ὀλλύασιν, ὤλλυσαν. ἰδοὺ εὑρίσκονται ἀπὸ συμφώνου ἀρχόμενα τὰ τρίτα πρόσωπα τῶν πληθυντικῶν τοῦ ἐνεστῶτος ἰσοσυλλαβοῦντος τοῖς τρίτοις προσώποις τῶν πληθυντικῶν τοῦ παρατατικοῦ ἀπὸ φωνήεντος ἀρχομένων, δηλονότι τῶν τρίτων προσώπων τῶν πληθυντικῶν τοῦ παρατατικοῦ, ὡς ἡ ἀκολουθία ἀπαιτεῖ.

Τούτων οὕτως ἐχόντων ἄξιόν ἐστι ζητῆσαι τοῦτο, ὥσπέρ ἐστι περιπατοῖμι περιπατοῖς, περιπατοῖ, Ἀττικῶς πλεονάζει τὸ η, καὶ γίνεται περιπατοίη πρὸς ἀναλογίαν τοῦ τρίτου προσώπου, γίνεται τὸ δεύτερον περιπατοίης, καὶ τὸ πρῶτον περιπατοίην· κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι πᾶν τρίτον πρόσωπον εἰς η καταλῆγον προσθέσει τοῦ σ ποιεῖ τὸ δεύτερον, καὶ τροπῇ τοῦ σ εἰς ν ποιεῖ τὸ πρῶτον· οἷον, ἐτετύφη, ἐτετύφης, ἐτετύφην· καὶ πάλιν ὥσπερ ἀπὸ τοῦ ἐζάων γίνεται ἔζων, καὶ ἀπὸ τοῦ ἔζαες, ἔζης Δωρικῶς κατὰ κρᾶσιν Δωρικὴν τοῦ α καὶ ε εἰς η· ὥσπερ τὰ ἐμὰ, τ' ἀμὰ, καὶ ἐκ τοῦ ἔζαε, ἔζη· καὶ πρὸς ἀναλογίαν τοῦ τρίτου προσώπου τοῦ ἔζη γίνεται ἔζης τὸ δεύτερον, καὶ τὸ πρῶτον πρόσωπον ἔζην ἐγὼ, διὰ τὸν προκείμενον κανόνα διὰ ποίαν αἰτίαν μὴ καὶ ἐνταῦθα ἐν τῷ ἐνεστῶτι τῶν εἰς μι πρὸς ἀναλογίαν τοῦ τρίτου προσώπου τῶν πληθυντικῶν τοῦ τιθέασι καὶ διδόασι, καὶ ζευγνύασιν, ἐγένετο τὸ πρῶτον καὶ δεύτερον πρόσωπον τῶν πληθυν-

τικῶν τιθέαμεν καὶ τιθέατε, διδόαμεν καὶ διδόατε· ζευγνύαμεν καὶ ζευγνύατε; Καὶ ἔστιν εἰπεῖν ταύτην τὴν ἀπολογίαν. τὰ πρῶτα καὶ δεύτερα πρόσωπα τῶν πληθυντικῶν τοῦ παρατατικοῦ πρὸς τὰ πρῶτα καὶ δεύτερα πρόσωπα τῶν πληθυντικῶν τοῦ ἐνεστῶτος ἢ ἰσοσυλλαβοῦσιν ἢ πλεονοσυλλαβοῦσιν· καὶ ἰσοσυλλαβοῦσι μὲν, ἡνίκα ὁ ἐνεστὼς ἀπὸ φωνήεντος ἄρχηται· οἷον, ἄγομεν, ἄγετε· ἤγομεν, ἤγετε· ἐλεοῦμεν, ἐλεεῖτε· ἠλεοῦμεν, ἠλεεῖτε· πλεονοσυλλαβοῦσιν δὲ, ὅταν ὁ ἐνεστὼς ἀπὸ συμφώνου ἄρχηται, οἷον, τύπτομεν τύπτετε· ἐτύπτομεν, ἐτύπτετε· δῆλον ὅτι χωρὶς τῶν ἀπὸ προθέσεως ἀρχομένων, καταγράφομεν γὰρ, καταγράφετε πεντασυλλάβως· καὶ κατεγράφομεν, κατεγράφετε, πεντασυλλάβως ὁμοίως· ἐνταῦθα οὖν ἐν τῷ ἐνεστῶτι τῶν εἰς μι, εἰ πρὸς ἀναλογίαν τοῦ τρίτου προσώπου τῶν πληθυντικῶν, τοῦ τιθέασι καὶ διδόασι καὶ ζευγνύασιν, ἐγένετο τὸ πρῶτον καὶ δεύτερον πρόσωπον τῶν πληθυντικῶν, τιθέαμεν καὶ τιθέατε· διδόαμεν καὶ διδόατε· τὸ ἐναντίον συνέβαινεν· ἤμελλε γὰρ τὰ πρῶτα καὶ δεύτερα πρόσωπα τῶν πληθυντικῶν τοῦ ἐνεστῶτος ἰσοσυλλαβεῖν ἀπὸ συμφώνου ἀρχόμενα τοῦ ἐνεστῶτος, ὅπερ ἐστὶν ἄτοπον· οἷον, τιθέαμεν, τιθέατε· ἐτίθεμεν, ἐτίθετε· καὶ πάλιν μὴ ἰσοσυλλαβεῖν ἀπὸ φωνήεντος ἀρχομένου τοῦ ἐνεστῶτος, ὅπερ ἐστὶν ἄτοπον· οἷον, ὀλλύαμεν, ὀλλύατε· ὤλλυμεν, ὤλλυτε· τούτου οὖν χάριν οὐ γίνεται πρὸς ἀναλογίαν τοῦ τρίτου προσώπου τῶν πληθυντικῶν τοῦ ἐνεστῶτος τὰ δεύτερα καὶ πρῶτα πρόσωπα τῶν πληθυντικῶν.

Ἰστέον δὲ ὅτι, ὡς εἴρηται ἀνωτέρω, ἡ δευτέρα συζυγία τῶν εἰς μι κατὰ τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν τοῦ ἐνεστῶτος οὐ γίνεται κατὰ τὴν δοκοῦσαν διαίρεσιν, οἷον, τὸ ἱστᾶσιν οὐ λέγομεν ἱστάασι διὰ τὴν ἐπαλληλίαν τοῦ α· ἐκ τούτου γὰρ κακοφωνία[n] ἐγίνετο.

Ἰστέον ὅτι τὰ εἰς μι ἐκεῖνο τὸ φωνῆεν ἔχουσι κατὰ τὸν παρατατικὸν τὸ ὑπάρχον ἐν τῇ παραληγούσῃ τοῦ ἐνεστῶτος,

[n] Cod. κακοφωνίαν.

οἷον, τίθημι, ἐτίθην. κανονίζεται δὲ ὁ παρατατικὸς ἐπὶ τῶν εἰς μι οὕτως· πᾶς ἐνεστὼς ὁριστικὸς εἰς μι λήγων τρέπων τὴν μι εἰς ν, καὶ τὴν ἄρχουσαν ἐκτείνων χρονικῶς, ἢ συλλαβῶς τὸν παρατατικὸν ποιεῖ· ἵημι τὸ πέμπω, ἵην· δίδωμι, ἐδίδων· ὄλλυμι, ὤλλυν.

Ἰστέον δὲ ὅτι, ὡς ὁ Ἡρωδιανὸς λέγει, ὅτι τὸ ἐδίδων ἡ παράδοσις διὰ τῆς ου διφθόγγου οἶδεν, οἷον ἐδίδουν, ὡς ἀπὸ τοῦ διδῶ, διδοῖς· ὥσπερ χρυσῶ, χρυσοῖς, ἐχρύσουν· τὸ δὲ ἐτίθην καὶ ἵην διὰ τῆς ει διφθόγγου, οἷον, ἐτίθειν καὶ ἵειν, ἐξ οὗ τὸ ἐτίθει καὶ ἵει, ὡς παρὰ τῷ ποιητῇ

ἀλλὰ κακῶς ἀφίει· (Il. A. 25.)

τὸ ἦν ἐγὼ ὃ σημαίνει τὸ ὑπῆρχον, γέγονεν οὕτως· ἔστιν εἰμὶ, ὃ σημαίνει τὸ ὑπάρχω· τούτου ὁ παρατατικὸς εἶν διὰ τῆς ει διφθόγγου τροπῇ τῆς μι εἰς ν· καὶ λοιπὸν Ἀττικῶς ἐπεκτείνεται τὸ ε εἰς η, ὥσπερ ἔμελλον, ἤμελλον· ἐβουλόμην, ἠβουλόμην· τὸ δὲ ι ἀπεβλήθη, ἐπειδὴ τὰ εἰς ην ῥήματα οὐ θέλουσιν ἔχειν πρὸ τοῦ ν τί ποτ' ἀνεκφώνητον, οἷον, ἐτύφθην· καὶ καθόλου τὰ εἰς ν λήγοντα ῥήματα οὐ θέλουσιν ἔχειν πρὸ τοῦ ν τί ποτ' ἀνεκφώνητον, οἷον, βοῶν, γελῶν, περῶν· ἔχομεν δὲ τὴν χρῆσιν τοῦ ἦν ἐγὼ παρ' Ἀριστοφάνει ἐν Πλούτῳ

ἐγὼ θεοσεβὴς καὶ δίκαιος ἀνὴρ
κακῶς ἔπραττον καὶ πένης ἦν.

καὶ παρὰ Μενάνδρῳ ἐν τῷ Γεωργῷ·

ἦν δὲ οὐ πονηρὸς, οὐδ' ἐδόκουν.

ἀντὶ τοῦ ὑπῆρχον· τοῦτο δὲ τὸ ἦν κατὰ διαίρεσιν Ἰωνικῶς τοῦ η εἰς ε καὶ α γίνεται ἔα, ὥσπερ Ξέρξην, Ξέρξεα· ὡς παρὰ τῷ ποιητῇ

τοῖος ἔα ἐν πολέμῳ·

καὶ πάλιν

ἢ κεν ζὼς ἀμενηνὸς ἔα (Il. E. 887.)

τὸ δὲ ν ἀπεβλήθη τοῦ ἦν ἐν τῷ ἔα· ἐπειδὴ τὸ α ἀποβλητικόν ἐστι τοῦ ν, οἷον, Ξέρξην, Ξέρξεα· ἐτετύφειν, ἐτετύφεα· τὸ γὰρ μοῦσα, μοῦσαν, καὶ ἔτυψα, ἔτυψαν ἀπὸ κλίσεως ἔχουσι τὸ ν, καὶ οὐ κατὰ πάθος εἰσὶν, ὥσπερ ταῦτα· εἴγε

λοιπὸν ἀπὸ τοῦ ἔα κατὰ κρᾶσιν ποιοῦνται οἱ Ἀττικοὶ τοῦ ε καὶ α εἰς η, ὥσπερ τείχεα, τείχη, καὶ λέγουσι ἦ, ὡς παρ' Ἀριστοφάνει ἐν Ὄρνισιν,

ἦ γὰρ ἐγὼ ὦ ξένοι ἄνθρωπος

ἀντὶ τοῦ ὑπῆρχον· ταῦτα περὶ τοῦ ἐγώ· τὸ δὲ ἦν ἐκεῖνος οὐκ ἐστὶν ἀπὸ τῶν εἰς μι, ἀλλ' ἀπὸ τῶν εἰς ω, ὅσον γὰρ κατὰ τὴν ἀναλογίαν τοῦ ἦν πρῶτον πρόσωπον καὶ τοῦ ἦς δεύτερον, ὤφειλεν τὸ τρίτον κατὰ ἀποβολὴν τοῦ σ εἶναι, ὥσπερ ἐτύφθης, ἐτύφθη. ἀλλ' ἐστὶ τὸ ἦν ἐκεῖνος ὥσπερ εἴρηται ἀπὸ τῶν εἰς ω. γέγονεν οὕτως· ἔστιν ἔω τὸ σημαῖνον τὸ ὑπάρχω· τούτου ὁ μέσος παρακείμενος ἦα, ὡς παρὰ τῷ ποιητῇ,

ἦα φυγοπτόλεμος (Od. Ξ. 213.)

ὁ δεύτερος ἀόριστος ἦον, ἦες, ἦε· τὸ δὲ ε γίνεται πολλάκις ἐφελκυστικὸν τοῦ ν· οἷον, ἔλαβε, ἔλαβεν· οὕτως οὖν ἦε καὶ ἦεν μετὰ τοῦ ν, ὡς παρὰ τῷ ποιητῇ,

ἐπεὶ οὐ κομιδὴ κατὰ νῆας
ἦεν ἐπηετανόν· (Od. Θ. 232.)

καὶ λοιπὸν κρᾶσις παρακολουθεῖ τοῦ η καὶ ε εἰς τὸ η, καὶ γίνεται ἦν. τὸ γὰρ ἦον δεύτερος ἀόριστος ἐστὶν, ὡς δηλοῖ ἡ μετοχὴ ἐὼν, οὖσα ὀξυτόνως· αἱ γὰρ εἰς ων ὀξύτονοι μετοχαὶ δεύτερος ἀόριστος εἰσίν· οἷον, ἔτυπον, τυπών· ἔλαβον, λαβών. ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι τὰ εἰς μι ἐὰν μὲν ἀπὸ συμφώνου ἄρχωνται, ἰσοσύλλαβον ἔχουσι τὸν παρατατικὸν, οἷον, τίθημι, ἐτίθην· δίδωμι, ἐδίδων· ζεύγνυμι, ἐζεύγνυν· ἐὰν δὲ ἀπὸ φωνήεντος ἄρχωνται, μιᾷ συλλαβῇ ἐνδέοντα ἔχουσι τὸν παρατατικὸν, οἷον, ἵστημι, ἵστην· ἵημι, ἵην· ὄλλυμι, ὤλλυν.

Εἴρηται ὅτι πᾶν πρῶτον πρόσωπον εἰς ν λῆγον μετὰ φυσικῆς μακρᾶς μὴ ἔχον τὸ μ κλιτικὸν, τροπῇ τοῦ ν εἰς σ ποιεῖ τὸ δεύτερον πρόσωπον· οἷον, ἐτύπην, ἐτύπης· ἐτύφθην, ἐτύφθης· ἐδάμην, ἐδάμης. τὸ γὰρ μ οὐκ ἔστι κλιτικὸν, ἀλλὰ θεματικὸν, ἀπὸ γὰρ τοῦ ἐνεστῶτος ἔχει αὐτό. δαμνῶ γάρ ἐστιν ὁ ἐνεστὼς, καὶ ἔχει τὸ μ· οὕτως οὖν καὶ ἐτίθην ἐτίθης, τροπῇ τοῦ ν εἰς σ, καὶ ἵστην, ἵστης· καὶ ἐδίδων,

ἐδίδως· καὶ ἐζεύγνυν, ἐζεύγνυς· καὶ ἦν ἀντὶ τοῦ ὑπῆρχον ἦς· καὶ κατ' ἐπέκτασιν τῆς θα συλλαβῆς, ἦσθα, ὥσπερ ἔφην, ἔφης, ἔφησθα. τοιοῦτον ἐστὶ καὶ τὸ οἶσθα· τὸ γὰρ οἶδα, οἴδημι φασὶν οἱ Αἰολεῖς, εἶτα τούτου τὸ δεύτερον πρόσωπον οἴδης, καὶ κατ' ἐπέκτασιν τῆς θα συλλαβῆς, οἴδησθα, καὶ κατὰ συγκοπὴν οἶσθα.

Ἐτίθη: τοῦτο ἀπὸ τοῦ δευτέρου προσώπου γέγονε κατ' ἀποβολὴν τοῦ σ, καὶ εἴρηται ὁ κανὼν ἐν τοῖς προλαβοῦσιν.

Ἰστέον ὅτι τὸ τρίτον τῶν δυϊκῶν οὐχ ὁμοφωνεῖ τῷ ἰδίῳ δευτέρῳ ἐνταῦθα, ἐπειδὴ τὸ τρίτον τῶν πληθυντικῶν οὔτε εἰς ι οὔτε εἰς ται λήγει· ἐτίθεσαν γάρ ἐστι· γέγονε δὲ τὸ τρίτον τῶν δυϊκῶν ἀπὸ τοῦ ἰδίου δευτέρου, τροπῇ τοῦ ο εἰς η.

Εἴρηται ὅτι πᾶν πρῶτον ἑνικὸν εἰς ν λῆγον, μὴ ἔχον τὸ μ κλιτικὸν, πρὸ τοῦ ν λαμβάνον τὴν με, τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν ποιεῖ, οἷον, ἔτυπτον, ἐτύπτομεν· ἐβόων, ἐβοῶμεν· ἐτύφθην, ἐτύφθημεν· ἐπὶ δὲ τοῦ τῶν εἰς μι καὶ συστολὴ παρακολουθεῖ τῆς παραληγούσης ἐν τοῖς πληθυντικοῖς, οἷον, ἐτίθην, ἐτίθεμεν· ἵστην, ἵσταμεν· ἐδίδων, ἐδίδομεν· ἐζεύγνυν, ἐζεύγνυμεν· ἔφην, ἔφαμεν. τὸ γὰρ ἔφημεν δευτέρου ἀορίστου ἔστιν, ὥσπερ ἔστην, ἔστημεν, καὶ ἔβην, ἔβημεν· τὸ ἦν, ἦμεν, λόγῳ ἀρχούσης ἐφύλαξε τὸ η· ἐπειδὴ γὰρ τοῦτο δισύλλαβόν ἐστι, καὶ τὴν αὐτὴν ἔχει ἄρχουσαν καὶ παραλήγουσαν, τούτου χάριν τῷ λόγῳ τῆς ἀρχούσης ἐφύλαξε τὸ η, καὶ οὐ τῷ λόγῳ τῆς παραληγούσης συνέστειλεν αὐτό· διὰ τοῦτο δὲ ἐπὶ τοῦ παρατατικοῦ τῶν εἰς μι καὶ συστολὴ παρακολουθεῖ παραληγούσης ἐν τοῖς πληθυντικοῖς, ἐπειδὴ ὁ παρατατικὸς συγγένειαν ἔχει πρὸς τὸν ἐνεστῶτα, παρῳχημένος γάρ ἐστιν αὐτοῦ, καὶ διὰ τοῦτο ἐξ αὐτοῦ κανονίζεται· ἐπειδὴ οὖν ἐπὶ τῶν εἰς μι ὁ ἐνεστὼς συστέλλει τὴν παραλήγουσαν ἐν τοῖς πληθυντικοῖς· οἷον, τίθημι, τίθεμεν, ἵστημι, ἵσταμεν· δίδομι, δίδομεν· ζεύγνυμι, ζεύγνυμεν· καὶ ἡ αἰτία προείρηται, ὅτι τοῦτο γίνεται πρὸς τὴν παραλήγουσαν τῆς γενικῆς τῆς μετοχῆς· ταῦτα γὰρ βραχεῖαν ἔχουσι τὴν παραλήγουσαν, ἤγουν θέσει μακράν·

τούτου χάριν καὶ ὁ παρατατικὸς ἐπὶ τῶν εἰς μι πρὸς ἀναλογίαν τοῦ ἐνεστῶτος συστέλλει τὴν παραλήγουσαν αὐτοῦ ἐν τοῖς πληθυντικοῖς.

Ἰστέον δὲ ὅτι ὁ δεύτερος ἀόριστος ὁ ἐνεργητικὸς ἐπὶ τῶν εἰς μι οὐ συστέλλει τὴν παραλήγουσαν αὐτοῦ ἐν τοῖς πληθυντικοῖς, οἷον, ἔστην, ἔστημεν· ἔβην, ἔβημεν· ἔγνων, ἔγνωμεν· ἥλων, ἥλωμεν· ἐβίων, ἐβίωμεν· ἔφην, ἔφημεν· τὸ γὰρ ἔφαμεν παρατατικός ἐστι· σεσημείωται δὲ ἔδων, ἔδομεν· καὶ ἔθην, ἔθεμεν· καὶ ἧν, ἕμεν, σημαίνει δὲ τὸ ἐπέμψαμεν καὶ ἀπελύσαμεν, ὅτι δευτέρου ἀορίστου ὄντα συνέστειλαν τὴν παραλήγουσαν ἐν τοῖς πληθυντικοῖς.

Ἰστέον ὅτι ἀπὸ τοῦ ἐτίθεμεν γέγονε τροπῇ τῆς μεν εἰς τε· τὴν παραλήγουσαν ἐφύλαξεν, ἐπειδὴ ἡ μετοχὴ εἰς σ ἐστὶ, οἷον ὁ τιθείς.

Εἴρηται ὅτι τὰ εἰς μεν πληθυντικὰ ἀπὸ τῶν εἰς ν φύσει μακροκαταλήκτων κεκλιμένα εἰς αν ποιεῖ τὸ τρίτον τῶν πληθυντικῶν, οἷον, ἐτύφθην, ἐτύφθησαν· ἔβην, ἔβημεν, ἔβησαν· οὕτως οὖν καὶ ἐτίθην, ἐτίθεμεν, ἐτίθεσαν.

Λέγει ὁ τεχνικὸς ὅτι εἰ θέματα τῶν παρακειμένων εἰσὶν οἱ μέλλοντες, καὶ γὰρ αὐτῶν μελλόντων κανονίζονται οἱ παρακείμενοι· πῶς δὲ κανονίζεται ἡ ἄρχουσα τοῦ παρακειμένου ἐκ τοῦ μέλλοντος ἐν τοῖς εἰς ω μεμαθήκαμεν· ὁ δὲ μέλλων τοῦ τίθημι θήσω ἐστὶ, καὶ δικαίως ὁ παρακείμενος γέγονε τέθηκα· διὰ μὲν τὸ σ ἔχει τὸ α, διὰ δὲ τὸ ἀφ' ἑνὸς ἁπλοῦ συμφώνου ἄρχεσθαι, μὴ τοῦ ρ, ἀναδιπλασιάζων τὴν ἄρχουσαν, ὥσπερ ποιήσω, πεποίηκα.

Ἰστέον ὅτι οὐ δυνάμεθα ἐπὶ τῶν εἰς μι καὶ ἐκ τοῦ παρατατικοῦ κανονίσαι τὴν ἄρχουσαν τοῦ παρακειμένου· εὑρεθήσεται γὰρ παρακείμενος ἐτέθηκα καὶ ἐδίδωκα, ὅπερ οὐκ ἔστιν. ἀλλ' ἐπὶ τῶν εἰς μι ἐκ τοῦ μέλλοντος μόνου κανονίζεται ἡ ἄρχουσα τοῦ παρακειμένου, ὡς ἐν τοῖς εἰς ω μεμαθήκαμεν. Ἔστιν οὖν θήσω ὁ μέλλων, καὶ τέθηκα ὁ παρακείμενος διὰ τοῦ η, ὥσπερ ποιήσω, πεποίηκα, καὶ κατὰ τροπὴν Βοιωτικὴν τοῦ η εἰς τὴν ει δίφθογγον γέγονε τέθεικα, διὰ τῆς ει δι-

φθόγγου, ὥσπερ ἥρωες, εἴρωες· οὕτως δὲ καὶ ἐπεκράτησε γράφεσθαι· ὁ μέντοι τέθειμαι παρακείμενος παθητικὸς οὐ κατὰ Βοιωτοὺς ἔχει τὴν ει δίφθογγον ὥσπερ ὁ τέθεικα ἐνεργητικὸς παρακείμενος· οὐδὲ γὰρ ἔχει ἐν τῇ παραληγούσῃ τὸ η, ἵνα τραπῇ Βοιωτικῶς τὸ η εἰς τὴν ει δίφθογγον, ὥσπερ ἐπὶ τοῦ τέθεικα· ἀλλὰ ἀπὸ τοῦ τέθεμαι ἀναλόγως κατὰ πλεονασμὸν τοῦ ι γέγονε τέθειμαι· τούτων οὕτως ἐχόντων ἀπὸ ἵστημι στήσω ὤφειλεν εἶναι ὁ ἐνεργητικὸς παρακείμενος ἕστηκα διὰ τοῦ η· ἐπειδὴ καὶ ὁ μέλλων ἔχει τὸ η, οἷον, στήσω, ὥσπερ ποιήσω, πεποίηκα. οὐ λέγομεν δὲ οὕτως, ἄλλα ἕστακα διὰ τοῦ α. Ἔστι δὲ εἰπεῖν τὴν ἀπολογίαν ταύτην. ἔστιν ἑστήκω ὁ ἐνεστὼς, ὅστις φωνὴν μὲν ἔχει ἐνεργητικὴν, πάθος δὲ σημαίνει· οὐδὲ γὰρ τὸ ἑστήκω ἀλλὰ τὸ ἵσταμαι ἐγὼ, ἐξ οὗ ὁ μέλλων ἑστήξω, καὶ τὸ ἀπαρέμφατον ἑστήξειν, ὡς παρὰ Καλλιμάχῳ·

ἑστήξειν δὲ τὸ τεῖχος ἐπ' ἀρχαίοισι θεμέθλοις. (H. Apoll. 15.)

ἀντὶ τοῦ μέλλειν ἵστασθαι τὸ τεῖχος ἐπὶ τοῖς ἀρχαίοις θεμέθλοις. οὕτως τὸ ἑστήκω· ὁ μέσος παρακείμενος ἕστηκα ἐστὶ διὰ μὲν συμφώνου τοῦ ἐνεστῶτος ἀναλόγως ἐκφερόμενος, οὕτως γὰρ ἴδιον τῶν μέσων παρακειμένων, ἡμαρτημένος δὲ κατὰ τὴν ἄρχουσαν, καθὸ οὐκ ἐμεγεθύνη χρονικῶς· τὸ γὰρ ε, ὡς ἐμάθομεν ἐν τοῖς παρῳχημένοις, διχῶς πέφυκε μεγεθύνεσθαι· ἢ γὰρ διὰ τῆς προσθήκης τοῦ ι, οἷον, ἔχω, εἶχον· ἕλκω, εἷλκον· ἢ διὰ τοῦ τρέπεσθαι εἰς τὸ η, οἷον, ἐλεῶ, ἠλέουν· ἀλλὰ περὶ τούτου πλατύτερον ἐν τὸ ῥηματικῷ Ἀπολλωνίου, εἰ Θεῷ φίλον μαθησόμεθα, ἡνίκα καὶ περὶ τούτου τὴν ζήτησιν ποιούμεθα. ἵνα οὖν μὴ συνεμπέσῃ τῷ ἕστηκα μέσῳ παρακειμένῳ, τῷ ὄντι ἀπὸ τοῦ ἑστήκω ἐνεστῶτος, ὁ ἕστηκα ὁ ἐνεργητικὸς παρακείμενος ὁ ὢν ἀπὸ τοῦ ἵστημι ἐνεστῶτος· τούτου χάριν πρὸς ἀντιδιαστολὴν ἐκείνου διὰ τοῦ α ἐξηνέχθη κατὰ τὴν παραλήγουσαν.

Μέσος παρακείμενος οὐκ ἔστιν ἐν τοῖς εἰς μι δι' αἰτίαν τοιαύτην.

Ἰστέον ὅτι ἐν τοῖς εἰς μι οὐκ ἔστιν μέσος παρακείμενος,

καὶ ἡ αἰτία ἐστὶν αὕτη· ἡνίκα ὁ πρῶτος ἀόριστος ὁ ἐνεργητικὸς περιττοσυλλαβεῖ τοῦ δευτέρου ἀορίστου τοῦ ἐνεργητικοῦ, τότε καὶ ὁ ἐνεργητικὸς παρακείμενος περιττοσυλλαβεῖ τοῦ μέσου παρακειμένου, οἷον, κτυπῶ, κτυπήσω, ἐκτύπησα, ἔκτυπον, καὶ ἐκτύπηκα, ἔκτυπα· δουπῶ, δουπήσω, ἐδούπησα, ἔδουπον, καὶ δεδούπηκα, δέδουπα. ὅτε δὲ ὁ πρῶτος ἀόριστος ὁ ἐνεργητικὸς ἰσοσυλλαβεῖ τῷ β ἀορίστῳ τῷ ἐνεργητικῷ, τότε καὶ ὁ ἐνεργητικὸς παρακείμενος ἰσοσυλλαβεῖ τῷ μέσῳ παρακειμένῳ· ἔστειλα, ἔσταλον, ἔσταλκα, ἔστολα· ἐνταῦθα οὖν ἐν τοῖς εἰς μι, ἐπειδὴ ἀεὶ περιττοσυλλαβεῖ ὁ πρῶτος ἀόριστος ὁ ἐνεργητικὸς τοῦ δευτέρου ἀορίστου τοῦ ἐνεργητικοῦ, ἕστησα γὰρ ἔστην· ἔδωκα, ἔδων· ἔθηκα, ἔθην· ἧκα, ἦν, σημαίνει δὲ τὸ ἔπεμψα καὶ ἀπέλυσα[o], εἰ ἐγένετο ὁ μέσος παρακείμενος ἔμελλε περιττοσυλλαβεῖσθαι, ἐκ τοῦ ἐνεργητικοῦ παρακειμένου τοῦ βέβηκα, τοῦ δέδωκα, καὶ τοῦ ἔγνωκα, καὶ τοῦ ἕστακα τρισυλλαβούντων· αὐτὸς φημὶ δὴ ὁ μέσος παρακείμενος εἰς δισυλλαβίαν περιπίπτων, ὅπερ ἐστὶν ἀδύνατον. οὐδέποτε γὰρ ὁ μέσος παρακείμενος δισύλλαβος εὑρίσκεται ἐν χρήσει, χωρὶς τοῦ οἶδα καὶ τοῦ εἶκα, ὃ σημαίνει τὸ ὁμοιῶ, ὡς παρ᾽ Ἀλκμᾶνι[p]

εἶκα μὲν ὡραίῳ λίνῳ

ἀντὶ τοῦ ὁμοιῶμαι· καὶ χωρὶς τοῦ ἦα, ὃ σημαίνει τὸ ἐπορευόμην

ἦα πολλὰ θεοὺς (Od. Δ. 433.)

ἀντὶ τοῦ ἐπορευόμην· ἐξ οὗ ὁ ὑπερσυντελικὸς ἠΐειν διὰ η καὶ ι κατὰ ἄρχουσαν, καὶ ἐν συνθέσει παρῄειν, ἐξῄειν, ὡς παρὰ Μενάνδρῳ

ἀπῄει τῶν τόκων τόκους ἔχων.

τούτου οὖν χάριν ἐν τοῖς εἰς μι οὐκ ἔστι μέσος παρακείμενος· μέσου δὲ παρακειμένου μὴ ὄντος εἰκότως οὔτε μέσος ὑπερσυντελικός ἐστιν· ἐπειδὴ ἐκ τοῦ μέσου παρακειμένου κανονίζεται ὁ μέσος ὑπερσυντελικός· τέθεικας, τέθεικε, τε-

[o] Cod. ἀπέλησα. [p] Cod. ἀλμάνι.

θείκατον, τεθείκατον, τεθείκαμεν, τεθείκατε, τεθείκασιν εἴρηται· ὑπερσυντελικὸς ἐτεθείκειν.

Ἰστέον ὅτι ἀπὸ τοῦ τέθεικα παρακειμένου γέγονεν ἐτεθείκειν ὁ ὑπερσυντελικὸς τροπῇ τοῦ α εἰς ειν καὶ τῆς ἀρχούσης συλλαβικῶς μεγεθυνθείσης, ὥσπερ ἐπὶ τοῦ πεποίηκα, ἐπεποιήκειν. πῶς δὲ κανονίζεται ὁ ὑπερσυντελικὸς ἐν τοῖς εἰς ω μεμαθήκαμεν. πρόδηλος ἡ κλίσις.

Ἰστέον ὅτι ἀπὸ τοῦ θήσω μέλλοντος ἔθησα ὁ πρῶτος ἀόριστος ὤφειλεν εἶναι, ὥσπερ καὶ ἀπὸ τοῦ ποιήσω, ἐποίησα· ἀλλ᾽ εἴρηται ἐν ταῖς εἰς ω ὅτι σεσημείωται τρία τινα, τὸ δώσω, ἔδωκα, καὶ θήσω, ἔθηκα, καὶ ἥσω, ἧκα· καὶ ἐν συνθέσει γίνεται ἀφῆκα. καὶ ἐπὶ τῶν εἰς ω δύο τινὰ, φημὶ δὴ τὸ εἶπα καὶ ἤνεγκα· τούτων γὰρ ὁ μέλλων διὰ διπλοῦ ἐστὶν, οἷον, ἔψω καὶ ἐνέγξω.

Ἰστέον ὅτι κατὰ συνεκδρομὴν τῶν ἄλλων γέγονεν ἔθηκαν τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν, ὥσπερ ἔτυψαν. οὐ δυνάμεθα γὰρ ἐνταῦθα λέγειν ὅτι πρὸς τὴν παραλήγουσαν τῆς γενικῆς τῆς μετοχῆς γέγονεν, ἐπειδὴ τοῦτο οὐκ ἔχει μετοχὴν, ὥσπερ οὔτε τὸ ἔδωκα, οὔτε τὸ ἧκα· καὶ τὴν αἰτίαν ἐν τοῖς εἰς ω μεμαθήκαμεν.

Ἰστέον ὅτι πᾶς μέλλων ἀπὸ τῶν εἰς μι τρέπων τὴν σω εἰς ν, καὶ τὴν ἄρχουσαν ἐκτείνων χρονικῶς ἢ συλλαβικῶς, τὸν δεύτερον ἀόριστον ποιεῖ, οἷον, θήσω, ἔθην· βήσω, ἔβην· δώσω, ἔδων· γνώσω, ἔγνων· ἥσω, ἧν· φύσω, ἔφυν· κλῦμι, κλύσω, ἔκλυν· ἐξ οὗ τὸ προστακτικὸν κλῦθι· ἄλωμι, ἁλώσω, ἥλων, ἥλω, καὶ κατὰ διαίρεσιν τοῦ η εἰς ε καὶ α, ἑάλων καὶ εἵλων. σημαίνει τὸ ἐλήφθην καὶ ἐκρατήθην, ὥσπερ καὶ ἀπὸ τοῦ ἤγη γίνεται ἐάγη κατὰ διάλυσιν τοῦ η εἰς ε καὶ α· σημαίνει δὲ τὸ ἐκλάσθη· ἐπὶ δὲ τοῦ δευτέρου ἀορίστου παθητικοῦ σχηματίζεται τοῦτον τὸν τρόπον· ἔστιν ἄγω ὃ σημαίνει τὸ κλῶ· τούτου ὁ μέλλων ἄξω, ἐξ οὗ τὸ προστακτικὸν ἆξον·

ἆξον δὴ ἔγχος Διομήδεος (Il. Z. 306.)

εἶτα ὁ δεύτερος ἀόριστος ὁ ἐνεργητικὸς καὶ ὁ παθητικὸς ἤγην, ἤγης, ἤγη· ὥσπερ νύγω, νύξω, ἔνυγον. ἐνύγην· καὶ

κατὰ διάλυσιν λοιπὸν τοῦ η εἰς ε καὶ α, ἐάγη· πάλιν ἵστημι, στήσω, καὶ ὁ δεύτερος ἀόριστος ὁ ἐνεργητικὸς ἔστην· οὗτος ἐνεργητικὴν ἔχει φωνὴν, παθητικὴν δὲ σημασίαν καὶ σύνταξιν. οὔτε γὰρ λέγομεν ἔστην σε, ἀλλ' ἔστην ὑπὸ σοῦ, ὥσπερ ἐστάθην ὑπὸ σοῦ. ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι ὁ δεύτερος ἀόριστος ὁ ἐνεργητικὸς ἐν τοῖς εἰς μι οὐ συστέλλει τὴν παραλήγουσαν αὐτοῦ ἐν τοῖς πληθυντικοῖς· οἷον, ἔστην, ἔστημεν· ἐβίων, ἐβίωμεν· ἥλων, ἥλωμεν· ἔφην, ἔφημεν. τὸ γὰρ ἔφαμεν παρατατικός ἐστιν. ὁ γὰρ παρατατικὸς ἐπὶ τῶν εἰς μι συστέλλει τὴν παραλήγουσαν αὐτοῦ ἐν τοῖς πληθυντικοῖς πρὸς ἀναλογίαν τοῦ ἐνεστῶτος, ὡς προείρηται· σεσημείωται ὁ ἔδων, ἔδομεν· καὶ ἔθην, ἔθεμεν· καὶ ἧν, ἕμεν, ὅπερ ἐν συνθέσει γίνεται

πρόεμέν τε πύθεσθαι (Od. K. 155.)

ἀντὶ τοῦ προεπέμψαμεν. ταῦτα δὲ ἐσημειωσάμεθα, ὅτι δευτέρου ἀορίστου ὄντα συνέστειλαν τὴν παραλήγουσαν ἐν τοῖς πληθυντικοῖς. καὶ μή ποτε ἐστὶν ἀπολογήσασθαι καὶ εἰπεῖν περὶ αὐτῶν, ὅτι ἐπειδὴ οὐχ εὕρηνται τὰ ἑνικὰ ἐν χρήσει· λέγω δὴ ὁ ἔθην, καὶ ὁ ἔδων καὶ ὁ ἧν δεύτεροι ἀόριστοι· τούτου χάριν τὰ πληθυντικὰ αὐτῶν, ὡς ἔτυχε, καὶ οὐ κατὰ ἀναλογίαν γεγόνασιν· οὐ μόνον δὲ ταῦτα κατὰ τοῦτο σεσημείωνται, ἀλλὰ καὶ ὅτι ἐν τοῖς ἀπαρεμφάτοις διφθόγγῳ παραλήγονται, οἷον, δοῦναι· θεῖναι· εἷναι, ὃ σημαίνει τὸ ἀπολῦσαι· ἐξ οὗ τὸ ἀφεῖναι· ὡς γὰρ ἐν τοῖς ἀπαρεμφάτοις τῶν εἰς υ μεμαθήκαμεν ἐν τῇ περὶ τοῦ παρακειμένου διδασκαλίᾳ. τὰ εἰς ναι ἀπαρέμφατα ἔχοντα τὸ ν κλιτικὸν οὐ θέλουσι διφθόγγῳ παραλήγεσθαι, οἷον, γνῶναι· περὶ ὧν ἐκεῖσε ἀκριβέστερον μεμαθήκαμεν. καὶ κατὰ ἄλλο δὲ σεσημείωνται ὅτι τὰ ἔχοντα τὴν μετοχὴν εἰς σ μετ' ὀξείας τάσεως καὶ διὰ τοῦ ντ κλινομένην εἰς θι ποιοῦσι τὸ προστακτικὸν, οἷον, στῆθι· ἐπειδὴ στὰς, στάντος ἡ μετοχή· ἔγνων, γνῶθι, ἐπειδὴ γνοῦς, γνόντος ἡ μετοχή· ταῦτα δὲ ἔχοντα εἰς σ τὴν μετοχὴν μετ' ὀξείας τάσεως, καὶ διὰ τοῦ ντ κλινομένην· οἷον, δοὺς, δόντος· θεὶς, θέντος· εἷς, ἕντος· ἐξ οὗ τὸ ἀφεὶς, ἀφέν-

τος. οὐκ ἔχουσιν εἰς θι τὸ προστακτικὸν, δὸς γὰρ καὶ θὲς, καὶ ἓς τὸ προστακτικὸν, ἐξ οὗ τὸ ἄφες. διατί δὲ οὐκ ἔχουσι ταῦτα εἰς θι τὸ προστακτικόν; ἔστιν εἰπεῖν οὕτως· τὰ εἰς θι προστακτικὰ ἀορίστου ὄντα φύσει μακρᾷ θέλουσι παραλήγεσθαι· στῆθι· γνῶθι· τύπηθι· πρόσκειται ἀορίστα ὄντα, διὰ τὸ δίδοθι καὶ ζεύγνυθι. ταῦτα γὰρ βραχείᾳ παραλήγονται, ἀλλ' οὐκ εἰσὶν ἀορίστου, ἀλλ' ἐνεστῶτος καὶ παρατατικοῦ. τούτῳ οὖν τῷ λόγῳ εἰ ἐγένετο εἰς θι τὰ προστακτικὰ τούτων φύσει μακρᾷ ὤφειλον παραλήγεσθαι ἀορίστου χρόνου ὄντα· ἀλλὰ μὴν φύσει μακρᾷ οὐκ ἠδύναντο παραλήγεσθαι, ἐπειδὴ ἕτερος ἐστὶ κανὼν ὁ λέγων, ὅτι τὰ εἰς θι προστακτικὰ παραλήγουσαν ἔχουσι τὴν παραλήγουσαν τοῦ πρώτου προσώπου τῶν πληθυντικῶν τοῦ ἰδίου ὁριστικοῦ· οἷον, ἐτύπημεν, τύπηθι· ἕστημεν, στῆθι· ἵσταμεν, ἵσταθι· ἐδίδομεν δίδοθι· ζεύγνυμεν, ζεύγνυθι· εἰ οὖν τὰ ὁριστικὰ τούτων κατὰ τὸ πρῶτον πρόσωπον βραχείαν ἔχουσι τὴν παραλήγουσαν, οἷον, ἔδομεν, ἔθεμεν, ἕμεν· δῆλον ὅτι οὐ δύνανται τὰ προστακτικὰ τούτων εἰς θι ὄντα φύσει μακρᾷ παραλήγεσθαι. τῶν οὖν δύο κανόνων μαχομένων, καὶ τοῦ μὲν ἑνὸς φύσει μακρᾷ ἀπαιτοῦντος παραλήγεσθαι τὰ εἰς θι προστακτικά· τοῦ δὲ ἑτέρου βραχείᾳ· ἐπιλελοίπασι τὰ εἰς θι προστακτικὰ τούτων, καὶ οὐκ ἐγένοντο εἰς θι τὰ προστακτικὰ αὐτῶν.

Μέλλων πρῶτος θήσω—Ἐνταῦθα περὶ τοῦ μέλλοντος τῶν εἰς μι διαλαμβάνει. καὶ ἰστέον ὅτι πᾶς ἐνεστὼς εἰς μι λήγων, τρέπων τὴν μι εἰς ω, καὶ τὴν ἄρχουσαν ἀποβάλλων, ἐὰν ἔχῃ ὥσπερ ἀναδιπλασιασμὸν διὰ τοῦ ι, μέλλων γίνεται· οἷον, κίχρημι, χρήσω· βίβημι, βήσω, τὸ πορεύομαι. ἐὰν δὲ μὴ ἔχῃ ἀναδιπλασιασμὸν διὰ τοῦ ι, οὐκ ἀποβάλλει τὴν ἄρχουσαν ἐν τῷ μέλλοντι, ἀλλὰ μόνον τροπῇ τῆς μι εἰς ω γίνεται, οἷον, φημὶ, φήσω· δύμι, δύσω· φύμι, φύσω· ἐξ οὗ τὸ ἔφυν· κλύμι, κλύσω, ἐξ οὗ τὸ ἔκλυν· καὶ τὸ προστακτικὸν κλῦθι· βίωμι, βιώσω· ἡ γὰρ βι συλλαβὴ ἐνταῦθα οὐκ ἔστιν ἀπὸ διπλασιασμοῦ, ἀπὸ γὰρ τοῦ βιῶ, βιοῖς γέγονε· ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι τὰ τῆς δευτέρας συζυγίας τῶν εἰς μι οὐ κλίνεται εἰ μὴ ἄχρι τοῦ παρατατικοῦ· ὁ δὲ λόγος περὶ τῶν ὑπὲρ δύο συλλαβὰς, οἷον, ζεύγνυμι, ὄμνυμι· τὰ γὰρ δισύλλαβα κλίνονται καὶ μετὰ τὸν παρατατικὸν, οἷον, δῶμι, δώσω, ἔδων.

Δεύτερος μέλλων οὐκ ἔστιν ἐν τοῖς εἰς μι—Ἰστέον ὅτι ὥσπερ ἐν τοῖς εἰς μι καθόλου ὁ μέσος παρακείμενος ἐπιλιμπάνει, δι' ἣν εἰρήκαμεν ἐκεῖσε αἰτίαν, οὕτως καὶ ὁ δεύτερος μέλλων ὁ ἐνεργητικὸς ὁριστικὸς καθόλου ἐπιλιμπάνει ἐπὶ τῶν εἰς μι. δεύτερος γὰρ μέλλων ὁριστικὸς οὐκ ἔστιν ἐν τοῖς εἰς μι διὰ τὴν αἰτίαν, ἣν φησὶ ὁ τεχνικός. ἔχει δὲ οὕτως. ἡνίκα ὁ δεύτερος ἀόριστος ἐνδεῖ τοῦ πρώτου ἀορίστου, τούτων οὕτως ἐχόντων ἐν τοῖς εἰς μι ἀεὶ ὁ δεύτερος ἀόριστος ἐνδεῖ τοῦ πρώτου ἀορίστου, οἷον, ἔστησα, ἔστην· ἔγνωσα, ἔγνων· ἔδωκα, ἔδων· ἀναγκάζεται οὖν ὁ δεύτερος μέλλων ἐνδεῖν τοῦ δευτέρου ἀορίστου· καὶ ἐπειδὴ ἐν τοῖς εἰς μι ἐπιτοπλεῖστον ὁ δεύτερος ἀόριστος οὐχ ὑπερβαίνει τὴν δισυλλαβίαν, οἷον, ἔστην, ἔγνων· πρόσκειται ὡς ἐπιτοπλεῖστον, διὰ τὸ ἐβίων δεύτερος ἀόριστος· ὁ γὰρ ἑάλων ἀπὸ ἧλων δισυλλάβου ἐστίν. ὁ β' μέλλων εὑρεθήσεται εἰς μονοσυλλαβίαν παριστάμενος, ὅπερ ἐστὶν ἀδύνατον· οὐδέποτε γὰρ δύναται μέλλων μονοσύλλαβος εὑρίσκεσθαι. καὶ καθόλου δὲ οὐδέποτε ῥῆμα ὁριστικὸν εἰς ω λῆγον εὑρίσκεται ἐν χρήσει, χώρις εἰ μὴ εὑρεθῶσι δευτέρας συζυγίας τῶν περισπωμένων, οἷον, δρῶ, θλῶ, κλῶ, σμῶ. πρόσκειται ὁριστικὸν, διὰ τὸ ἐὰν δῶ, καὶ ἐὰν θῶ. πρόσκειται εἰς ω λῆγον, διὰ τὸ πλεῖς καὶ χεῖς καὶ ῥεῖς. διὰ τοῦτο γὰρ ταῦτα κατὰ τὸ τρίτον πρόσωπον καὶ δεύτερον συναιρουμένου κατὰ τὸ πρῶτον οὐ συναιροῦνται, ἵνα μὴ εὑρεθῶσιν εἰς ω λήγοντα καὶ μονοσυλλαβοῦντα, ὁριστικὰ ὄντα καὶ μὴ ὄντα δευτέρας συζυγίας τῶν περισπωμένων.

Ὁριστικὰ Παθητικὰ ἐνεστώς.

Ἐνταῦθα περὶ τοῦ ὁριστικοῦ ἐνεστῶτος τῶν εἰς μι τοῦ παθητικοῦ διαλαμβάνει. καὶ ἰστέον ὅτι πᾶς ἐνεστὼς ὁριστικὸς εἰς μι λήγων, τροπῇ τῆς μι εἰς μαι παθητικὸς γίνεται μετὰ

τοῦ συστέλλειν τὴν παραλήγουσαν πρὸς τὴν παραλήγουσαν τοῦ πρώτου προσώπου τῶν πληθυντικῶν τῶν ἐνεργητικῶν. καὶ δεῖ γινώσκειν ὅτι ἡ μὲν πρώτη συζυγία τῶν εἰς μι συστέλλει τὴν παραλήγουσαν διὰ τοῦ ε, οἷον, τίθεμαι· ἡ δὲ δευτέρα διὰ τοῦ α συνεσταλμένου· ἡ δὲ τρίτη διὰ τοῦ ο· ἡ δὲ τετάρτη διὰ τὸ δίχρονον μόνον συστέλλει. εὐλόγως ἡ μὲν πρώτη συζυγία διὰ τοῦ ε συστέλλει τὴν παραλήγουσαν, οἷον, τίθημι, τίθεμαι. ἐπειδὴ καὶ τὸ πρωτότυπον τὸ ε ἔχει. ἡ δὲ δευτέρα διὰ τοῦ α, ἐπειδὴ καὶ τὸ πρωτότυπον ἔχει τὸ α. καὶ ἡ τρίτη διὰ τοῦ ο, ἐπειδὴ καὶ τὸ πρωτότυπον τὸ ο ἔχει. ἡ δὲ τετάρτη τὸ δίχρονον μόνον συστέλλει, ἐπεὶ καὶ τὸ πρωτότυπον διὰ διχρόνου συνεσταλμένου ἐστί.

Τούτων οὕτως ἐχόντων, εἶμι τοῦ σημαίνοντος τὸ πορεύομαι τὸ παθητικὸν ὤφειλεν εἶναι ἶμαι διὰ τοῦ ι, ἐπειδὴ καὶ τὸ πληθυντικὸν τὸ ἐνεργητικὸν ἴμεν ἐστὶ διὰ τοῦ ι. εἰρήκαμεν γὰρ ἐν τοῖς προλαβοῦσιν, ὅτι εἶμι ἐπὶ τοῦ πορεύομαι ἐν μὲν τοῖς ἑνικοῖς διὰ τῆς ει διφθόγγου γράφεται, ἐν δὲ τοῖς δυϊκοῖς καὶ πληθυντικοῖς διὰ συνεσταλμένου τοῦ ι. ὤφειλεν οὖν τοῦ εἶμι τοῦ σημαίνοντος τὸ πορεύομαι τὸ παθητικὸν εἶναι διὰ τοῦ ι· καὶ ἐπειδὴ ἐνταῦθα οὐδὲν πλέον ἤμελλε σημαίνειν τὸ παθητικὸν τοῦ ἐνεργητικοῦ, καὶ τὸ παθητικὸν γὰρ ὁμοίως τὸ εἶμι τὸ πορεύομαι ἤμελλε δηλοῦν, τούτου χάριν ἐπιλέλοιπε τὸ παθητικόν, ὡς τὴν αὐτὴν τῶν ἐνεργητικῶν μέλλον ἔχειν σημασίαν. καὶ ἀπὸ τοῦ εἰμὶ τοῦ σημαίνοντος τὸ ὑπάρχω τὸ παθητικὸν εἰμαὶ ὤφειλεν εἶναι διὰ τοῦ ει, ἐπειδὴ καὶ τὸ πληθυντικὸν τὸ ἐνεργητικὸν ἐμὲν ἐστὶ διὰ τοῦ ε, ὅπερ κατὰ πλεονασμὸν τοῦ σ γίνεται ἐσμέν. ἀλλ' ἐπειδὴ τὰ ὑπαρκτικὰ οὐκ ἔχουσι παθητικόν· τὸ γὰρ ὑπάρχω οὐ κλίνεται εἰς παθητικὸν καὶ γίνεται ὑπάρχομαι, τούτου χάριν ἐπιλέλοιπε τὸ ἔμαι. ὁμοίως δὲ καὶ ἀπὸ τοῦ ἔμαι παθητικοῦ γέγονε παρατατικὸς ἤμην, ὡς ἐφεξῆς, εἰ Θεῷ φίλον, μαθησόμεθα.

Ζητεῖται δὲ περὶ τοῦ ἐπίσταμαι, ὅτι πόθεν γέγονε. καὶ λέγει ὁ Ἀπολλώνιος, ὅτι ἀπὸ τοῦ ἵστημι γέγονεν ἵσταμαι,

καὶ προσερχομένη ἡ ἐπὶ πρόθεσις, ὤφειλε τρέψαι τὸ π εἰς φ, ἵνα ᾖ ἐφίσταμαι, καὶ γὰρ τὸ ἵσταμαι δασύνεται, οἷον, καθίσταμαι, ὑφίσταμαι, ἀλλὰ γέγονεν ἐπίσταμαι, τοῦ π φυλαχθέντος Ἰωνικῶς. καὶ γὰρ τὸ ἥλιος δασύνεται, καὶ ὅμως ἀπηλιώτης Ἰωνικῶς ἐπεκράτησε λέγεσθαι διὰ τοῦ π, καὶ οὐκ ἀφηλιώτης διὰ τοῦ φ. ἀπηλιώτης ὁ ἄνεμος ὁ πνέων ἀπὸ ἀνατολῆς. καὶ πάλιν τὸ Ἥφαιστος δασύνεται, καὶ ὅμως

ἐπ' Ἡφαίστοιο θυρῆσιν

Ἰωνικῶς εἶπεν ὁ ποιητής. οὕτως οὖν, ὡς εἴρηται καὶ τὸ ἐπίσταμαι Ἰωνικῶς ἐφύλαξε τὸ π. εἰ οὖν οὕτως γέγονε ἀπὸ τοῦ ἵσταμαι ἢ ἀπὸ τοῦ ἱστῶ ἵστημι, ὃ σημαίνει τὸ γινώσκω, γέγονεν ἴσαμαι[q], καὶ ἐν πλεονασμῷ τοῦ τ ἵσταμαι, καὶ ἐκεῖθεν ἐπίσταμαι. καὶ εὐλόγως ἐφύλαξε τὸ π τῆς ἐπὶ προθέσεως, ἐπειδὴ τὸ ἴσημι ψιλοῦται. Ὁ δὲ Φιλόξενος λέγει ὅτι ἐστὶν εἴδω εἴσω, ὃ σημαίνει τὸ γινώσκω, ἀφ' οὗ τὸ ἱστὸς, ὃ σημαίνει τὸ ἐπιστήμων. γράφεται δὲ διὰ τοῦ ι τὸ ἱστὸς, ἐπειδὴ τὸ εἴδω ἐν ταῖς συνθέσεσι ταῖς ὀνοματικαῖς καὶ ταῖς παραγωγαῖς ταῖς ὀνοματικαῖς ἀποβάλλει τὸ ε, οἷον, ἴδμων, ἱστορία, νῆϊς ὁ ἄπειρος, ὁ τοῦ εἰδέναι ἐστερημένος, Πολυΐδος, ἔστι δὲ ὄνομα, μάντεως. τὸ γὰρ εἰδήμων γραφόμενον διὰ τῆς ει διφθόγγου. οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ ἐστὶν ἀπὸ τοῦ εἴδω βαρυτόνου ἀλλ' ἀπὸ τοῦ περισπωμένου τοῦ εἰδῶ, εἰδῇς, εἰδήμων· πρόσκειται δὲ ἐν ταῖς συνθέσεσι ταῖς ὀνοματικαῖς, διὰ τὸ εἴδω, ἀείδω. τοῦτο γὰρ συντεθὲν ἐφύλαξε τὴν ει δίφθογγον· ἀλλ' οὐκ ἔστι σύνθεσις ἐν ὀνόματι, ἀλλ' ἐν ῥήματι· ἔστι δὲ παρὰ τὸ α τὸ ἐπιτατικὸν μόριον, καὶ τὸ εἴδω τὸ σημαῖνον τὸ ἐπίσταμαι. οἱ γὰρ ᾄδοντες προγενεστέρων πραγμάτων εἰσὶν ἔμπειροι. ἐκ τοῦ οὖν ἱστὸς, ὃ σημαίνει τὸ ἐπιστήμων γέγονεν ἱστῶ, ἱστήσω, ἱστήμων καὶ ἐπιστήμων. ἐκ τούτου δὲ τοῦ ἱστῶ τοῦ σημαίνοντος τὸ γινώσκω γέγονεν ἵστημι καὶ ἵσταμαι, καὶ ἐκεῖθεν ἐπίσταμαι, ἐπίστασαι· καὶ εὐλόγως ἐφυλάχθη τὸ π, ἐπειδὴ ψιλοῦται αὕτη ἡ κίνησις ὡς ἐκ τοῦ εἴδω γεγενημένη, ὅπερ ψιλοῦται.

q Sic.

Εἴρηται τὰ ἔχοντα τὴν ἐνεργητικὴν μετοχὴν εἰς σ μετ' ὀξείας τάσεως τροπῇ τοῦ τ τοῦ ἐν τῷ τρίτῳ προσώπῳ εἰς σ ποιοῦσι τὰ δεύτερα πρόσωπα, οἷον, πεποίηται, πεποίησαι· πεποιηκὼς γὰρ ἡ ἐνεργητικὴ μετοχὴ εἰς σ μετ' ὀξείας τάσεως. καὶ δύναται, δύνασαι, ὅτι δυνὰς, καὶ ἐπίσταται, ἐπίστασαι, ὅτι ἐπιστάς. εἰσὶ ὡς ἀπὸ τοῦ δύνημι καὶ ἐπίστημι, καὶ δύναμαι καὶ ἐπίσταμαι· τὸ δὲ δύνῃ καὶ ἐπίστῃ κατὰ πάθος λέγουσιν, οἷον ὡς ἀπὸ τοῦ δύνασαι καὶ ἐπίστασαι, δύναιαι, ἐπίσταιαι Ἰωνικῶς, καὶ δύνεαι, ἐπίστεαι, καὶ κατὰ κρᾶσιν τοῦ ε καὶ α εἰς η δύνῃ, καὶ ἐπίστῃ, καὶ μένει τὸ ι προσγεγραμμένον.

Εἴρηται ὅτι τὰ εἰς μαι εἰς ται τὸ τρίτον ποιοῦσι, καὶ φυλάττουσι τὴν παραλήγουσαν, ἡνίκα ἐστὶν ἡ ἐνεργητικὴ μετοχὴ εἰς σ, οἷον, πεποίημαι, πεποίηται, ὅτι πεποιηκὼς ἡ ἐνεργητικὴ μετοχὴ εἰς σ· καὶ δίδομαι, δίδοται, ὅτι δίδους· καὶ ζεύγνυμαι, ζεύγνυται, ὅτι ζευγνύς· οὕτως οὖν καὶ τίθεμαι, τίθεται, ὅτι τιθεὶς ἡ ἐνεργητικὴ μετοχὴ εἰς σ· καὶ ἵσταμαι, ἵσταται, ὅτι ἱστὰς ἡ ἐνεργητικὴ μετοχὴ εἰς σ.

Ἰστέον ὅτι τὸ μὲν πρῶτον πρόσωπον τῶν δυϊκῶν οὐκ ἐπιλιμπάνει ἐνταῦθα, ἐπειδὴ τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν οὐκ ἔχει τὸ μ ἐπὶ τῆς τελευταίας συλλαβῆς οὐ τὸ μ. γέγονε δὲ ἀπὸ τοῦ πρώτου τῶν πληθυντικῶν τροπῇ τῆς θα εἰς θον, οἷον, τιθέμεθα, τιθέμεθον. τὸ δὲ δεύτερον τῶν δυϊκῶν ἀπὸ τοῦ δευτέρου τῶν πληθυντικῶν γέγονε τροπῇ τοῦ ε εἰς ον, οἷον, τίθεσθε τίθεσθον· τὸ δὲ τρίτον τῶν δυϊκῶν ὁμοφωνεῖ τῷ ἰδίῳ δευτέρῳ, ἐπειδὴ τὸ τρίτον τῶν πληθυντικῶν εἰς ται λήγει.

Εἴρηται ὅτι πᾶν πρῶτον πρόσωπον ἔχον τὸ μ κλιτικὸν τροπῇ τῆς ἐσχάτης εἰς μεθα τὸ πληθυντικὸν ποιεῖ, οἷον, τύπτομαι, τυπτόμεθα· ἐτυπτόμην, ἐτυπτόμεθα· οὕτως οὖν καὶ τίθεμαι, τιθέμεθα· καὶ δίδομαι, διδόμεθα, καὶ ζεύγνυμαι ζευγνύμεθα. μήδεις δὲ οἰέσθω ταῦτα ἐν τοῖς παθητικοῖς ἀπὸ παραγωγῆς ἔχειν τὸ μ, ὡς ἐν τοῖς ἐνεργητικοῖς. ἐν μὲν γὰρ τοῖς ἐνεργητικοῖς ἀπὸ παραγωγῆς ἔχουσι τὸ μ, οἷον, τιθῶ, τίθημι. ἐν δὲ

τοῖς παθητικοῖς ἀπὸ κλίσεως ἔχουσι τὸ μ. τροπὴ γὰρ παρηκολούθησεν ἐκεῖ τοῦ μ εἰς ἕτερον μ. ὅθεν καὶ ἡ αὐτὴ τροπὴ τῆς ἐσχάτης εἰς μεθα ποιοῦσι τὸ πληθυντικὸν ὁμοίως τοῖς ἔχουσι τὸ μ κλιτικόν.

Εἴρηται ὅτι πᾶν τρίτον ἑνικὸν ἔχον τὸ τ κλιτικὸν τρέπον τὴν τελευταίαν συλλαβὴν τὸ δεύτερον τῶν πληθυντικῶν ποιεῖ· καὶ εἰ μὲν καθαριεύει τὸ τ, καὶ σ προσλαμβάνει τὸ δεύτερον τῶν πληθυντικῶν, οἷον τύπτεται, τύπτεσθε· οὕτως οὖν καὶ τίθεται, τίθεσθε· ἵσταται, ἵστασθε· καὶ δίδοται, δίδοσθε· καὶ ζεύγνυται, ζεύγνυσθε· εἰ δὲ συμφώνῳ παραλήγεται, τηρεῖ αὐτὸ, πλὴν εἰ μήπω ψιλὸν ὂν διὰ ἀσυνταξίαν εἰς δασὺ τραπῇ.

Εἴρηται ὅτι πᾶν τριτὸν ἑνικὸν ἔχον τὸ τ κλιτικὸν πρὸ τοῦ τ λαμβάνον τὸ ν, καὶ τὴν παραλήγουσαν φυλάττον τοῦ ἰδίου πρώτου προσώπου ἑνικοῦ, τὸ πληθυντικὸν ποιεῖ.

Ἐνταῦθα περὶ τοῦ παθητικοῦ παρατατικοῦ διαλαμβάνει, καὶ λέγει ὅτι πᾶς ἐνεστὼς παθητικὸς τρέπον τὴν μαι εἰς μην τὸ παθητικὸν ποιεῖ· καὶ εἰ μὲν ἀπὸ συμφώνου ἄρχεται ὁ ἐνεστὼς, προσλαμβάνει ὁ παρατατικὸς τὸ ε, οἷον, τίθεμαι, ἐτιθέμην· εἰ δὲ ἀπὸ φωνήεντος ἄρχεται ὁ ἐνεστὼς, χρονικῶς αὔξεται ὁ παρατατικός· οἷον, ἵσταμαι, ἱστάμην· δυνατὸν δέ ἐστι καὶ ἀπὸ τοῦ παρατατικοῦ ἐνεργητικοῦ κανονίσαι τὸν παθητικὸν παρατατικὸν οὕτως· πᾶς ἐνεργητικὸς παρατατικὸς πρὸ τοῦ ν λαμβάνον τὸ μ καὶ η παθητικὸς γίνεται· οἷον, ἔτυπτον, ἐτυπτόμην· ἐβόων, ἐβοώμην· ἐπὶ δὲ τῶν εἰς μι, καὶ συστολὴ παρακολουθεῖ τῆς παραληγούσης, οἷον, ἐτίθην, ἐτιθέμην· ἵστην, ἱστάμην· ἐδίδων, ἐδιδόμην· ἐπήγνυν, ἐπηγνύμην· καὶ ἀπὸ τοῦ ἦν ἐγὼ ὁ παθητικὸς παρατατικὸς ἤμην· καὶ ὤφειλε συστεῖλαι τὴν παραλήγουσαν, ἀλλὰ λέγομεν ὅτι λόγῳ ἀρχούσης ἐφυλάχθη τὸ η· ἐπειδὴ γὰρ τοῦτο δισύλλαβόν ἐστι, καὶ τὴν αὐτὴν ἔχει ἄρχουσαν καὶ παραλήγουσαν, τούτου χάριν τῷ λόγῳ τῆς ἀρχούσης ἐφυλάξατο τὸ η, καὶ οὐ τῷ λόγῳ τῆς παραληγούσης συνέστειλεν αὐτό. Ὁ δὲ Φιλόπονος λέγει ὅτι τὸ κεχρεωστημένον η τῇ παραληγούσῃ ἡ κλίσις ἀναδέξατο.

Δεῖ δὲ γινώσκειν ὅτι ἐστὶν εἰμὶ, τοῦτο κατὰ τὸν παθητικὸν ἐνεστῶτα τῷ μὲν λόγῳ τῆς ἀρχούσης γίνεται εἶμαι διὰ τῆς ει διφθόγγου· ἡ γὰρ ει δίφθογγος φυλάττεται κατὰ τὴν ἄρχουσαν· οἷον, εἴργω, εἴργομαι· εἰκονίζω, εἰκονίζομαι· τὸ γὰρ εἰκάζω, ἤκαζον, καὶ εἴδειν, ᾔδειν Ἀττικῶς ἐξέτεινε τὸ ε εἰς η, ὡς τὸ ἔμελλον, ἤμελλον. τῷ δὲ λόγῳ τῆς παραληγούσης γίνεται ἧκα διὰ τοῦ ε. τὰ γὰρ εἰς μι βραχείᾳ θέλουσι παραλήγεσθαι ἐν τοῖς παθητικοῖς, οἷον, τίθεμαι, ἵσταμαι. τοῦτο κατὰ τὸν παρατατικὸν τῷ μὲν λόγῳ τῆς παραληγούσης γίνεται ἕμην, ἐτιθέμην, ἐδιδόμην· τῷ δὲ ει λόγῳ τῆς παραληγούσης ὤφειλεν εἶναι εἵμην διὰ τῆς διφθόγγου· ἡ γὰρ ει δίφθογγος φυλάττεται κατὰ τὴν ἄρχουσαν. πόθεν οὖν ἔχει τὸ η τὸ ἤμην; καὶ λέγει ὡς εἴρηται ὁ Φιλόπονος ὅτι τὸ κεχρεωστημένον τῇ παραγωγῇ, ἤγουν τῷ εἰμὶ, ἡ κλίσις ἀνεδέξατο, ἤγουν τὸ ἤμην. ἐμάθομεν γὰρ ἐν τοῖς προλαβοῦσιν ὅτι τὸ εἰμὶ ἀπὸ τοῦ ἔω τοῦ σημαίνοντος τὸ ὑπάρχω γινόμενον διὰ τοῦ η ὤφειλε γενέσθαι· τὸ γὰρ ε μεγεθυνόμενον ἐν τοῖς ῥήμασι διχῶς μεγεθύνεται· ἢ γὰρ διὰ τῆς προσθήκης τοῦ ι, οἷον, ἔχω, εἶχον· ἢ διὰ τοῦ τρέπεσθαι εἰς τὸ η· ὤφειλεν οὖν καὶ τὸ εἰμὶ ἀπὸ τοῦ ἔω γενόμενον τοῦ σημαίνοντος τὸ ὑπάρχω μᾶλλον τρέψαι τὸ ε εἰς τὸ η, καὶ γενέσθαι τὸ ἠμὶ διὰ τοῦ η, ἤπερ προσλαμβάνειν τὸ ι, καὶ γενέσθαι εἰμὶ διὰ τῆς ει διφθόγγου· ἐπειδὴ τὰ εἰς μι ὁριστικὰ δῆλον ὅτι οὐ θέλουσι διφθόγγῳ παραλήγεσθαι, χώρις τοῦ εἶμι τοῦ σημαίνοντος τὸ πορεύομαι· καὶ εἰμὶ δηλονότι τοῦ σημαίνοντος τὸ ὑπάρχω· περὶ οὗ καὶ ὁ λόγος ὤφειλεν ὡς εἴρηται διὰ τοῦ η γενέσθαι. ἀλλ' ἐπειδὴ ἠναγκάζετο λείψανόν τι φυλάξαι τῆς φωνῆς τοῦ πρωτοτύπου· αἱ γὰρ παράγωγοι λέξεις θέλουσι φυλάττειν λείψανον τῆς φωνῆς τοῦ πρωτοτύπου· οἷον, ἄρδω, ἀρδεύω· καὶ τούτου χάριν προσέλαβε τὸ ι καὶ ἐγένετο εἰμὶ διὰ τῆς ει διφθόγγου, ἵνα φυλάξῃ τὸ λείψανον τῆς φωνῆς τοῦ πρωτοτύπου, φημὶ δὴ τοῦ ἔω. εἰ γὰρ ἔτρεψε τὸ ε εἰς τὸ η οὐκ ἐφύλαττέ τι τῆς φωνῆς τοῦ πρωτοτύπου· τὸ οὖν η τὸ κεχρεωστημένον τῇ παραγωγῇ, φημὶ δὲ τὸ εἰμὶ ἡ κλίσις

ἀνεδέξατο ἤγουν τὸ ἤμην· καὶ ὅτι ἀπὸ τοῦ ἦν γέγονεν ἤμην λόγῳ ἀρχούσης, ὡς προείρηται φυλαχθέντος τοῦ η.

Ἰστέον δὲ ὅτι τὸ ἤμην ἐπὶ τοῦ ὑπῆρχον[r] ἀπηγόρευται· ἀντὶ γὰρ τοῦ ἤμην, ἦν ἐγὼ λέγουσι, ὡς Ἀριστοφάνης[s],

ἐγὼ θεοσεβὴς καὶ δίκαιος ὢν ἀνὴρ
κακῶς ἔπραττον καὶ πένης ἦν.

εὕρηται γὰρ τὸ ἤμην τὸ ἐπὶ τοῦ ὑπῆρχον, ὡς παρ' Εὐριπίδῃ[t] ἐν Ἑλένης ἀπαιτήσει

ἐγὼ δὲ προδότης οὐκ ἤμην τέκνων.

πρόσκειται τὸ ἐπὶ τοῦ ὑπῆρχον, ἐπειδὴ ἔστιν ἤμην καὶ ἐπὶ τοῦ ἐκαθεζόμην, ἀπὸ τοῦ ἧμαι τοῦ σημαίνοντος τὸ κάθημαι γεγονός. Ἰστέον δὲ ὅτι τὸ ἤμην, ὅτε μὲν σημαίνει τὸ ὑπῆρχον ψιλοῦται, ὅτε δὲ σημαίνει τὸ ἐκαθεζόμην δασύνεται.

Ἰστέον ὅτι τὸ μὲν δεύτερον πρόσωπον ἀπὸ τρίτου γέγονε τροπῇ τοῦ τ εἰς σ· ἡ γὰρ ἐνεργητικὴ μετοχὴ εἰς σ μετ' ὀξείας τάσεως, οἷον τιθείς· τὸ δὲ τρίτον ἀπὸ τοῦ πρώτου γέγονε τροπῇ τῆς μεν εἰς το. τούτων δὲ οὕτως ἐχόντων, τὸ ἐφάμην τύπον μὲν ἔχει παθητικὸν, σημασίαν δὲ ἐνεργητικήν· τὸ γὰρ εἶπον σημαίνει. τὸ δεύτερον πρόσωπον ἀναλόγως ἔφασο ἔχει τροπῇ τοῦ τ, τοῦ ἐν τρίτῳ προσώπῳ, εἰς σ· ἐπειδὴ ἡ ἐνεργητικὴ μετοχὴ ὁ φὰς ἐστὶν εἰς σ μετ' ὀξείας τάσεως· τοῦτο δὲ τὸ ἔφασο γίνεται κατὰ ἀποβολὴν τοῦ σ Ἰωνικῶς ἔφαο, ἐξ οὗ καὶ τὸ προστακτικὸν

φάο ἔπος φαόμενον δ' ἐπίκευθε. (Od. Π. 168.)

πάλιν ἐστὶν ἐκρεμάμην, ἐκρέματο, καὶ κατὰ τροπὴν τοῦ τ εἰς τὸ σ γίνεται τὸ δεύτερον πρόσωπον ἐκρέμασο· ἐπειδὴ ἡ ἐνεργητικὴ μετοχὴ ὁ κρεμάς ἐστιν εἰς σ μετ' ὀξείας τάσεως, ὥσπερ ὁ ἱστάς. εἰ γὰρ καὶ μὴ εὕρηται ἐν χρήσει, ἀλλ' οὖν δευτέρας ἐστὶ συζυγίας τῶν εἰς μι· οἷον, κρεμῶ, κρεμᾷς, κρέμημι· ὥσπερ ἱστῶ, ἱστᾷς, ἵστημι. καὶ κρέμαμαι καὶ ἐκρεμάμην· καὶ λοιπὸν τὸ ἐκρέμασο γίνεται κατὰ ἀποβολὴν

[r] Cod. εἰπῆρχον. [s] Plut. v. 28. [t] Leg. Σοφοκλεῖ, sed Εὐριπίδῃ Etym. M. p. 430, 15. qui e Chœrobosco hausit. consentit Cod. Barocc. 116.

τοῦ σ Ἰωνικῶς ἐκρέμαο, καὶ κατὰ κρᾶσιν Ἀττικὴν τοῦ α καὶ ο εἰς ω ἐκρέμω

ἢ οὐ μέμνῃ ὅτ' ἐκρέμω ὑψόθεν, ἐκ δὲ ποδοῖιν (Il. O. 18.)

μηδεὶς δὲ οἰέσθω τὸ ἐκρέμα ὡς ἀπὸ τοῦ εἰς ω εἶναι, ὡς ἀπὸ τοῦ κρεμῶ, κρεμᾶς, ἐπειδὴ κρεμῶμαι καὶ ἐκρεμώμην εἶχεν εἶναι τὸ παθητικὸν, ὥσπερ βοῶμαι, ἐβοώμην· νῦν δὲ κρέμαμαι καὶ ἐκρεμάμην ἐστὶν, ὥσπερ ἵσταμαι, ἱστάμην. ἄλλως τὲ εἰ ἦν ἀπὸ τοῦ εἰς ω, ἐκρεμῶ εἶχεν εἶναι περισπωμένως, ὥσπερ ἐβοῶ, νῦν δὲ ἐκρέμω ἐστὶ παροξυτόνως.

Ἰστέον ὅτι τὸ τρίτον τῶν δυϊκῶν οὐχ ὁμοφωνεῖ τῷ ἰδίῳ δευτέρῳ, ἐπειδὴ τὸ τρίτον τῶν πληθυντικῶν οὔτε εἰς ι λήγει, οὔτε εἰς ται, ἐτίθεντο γάρ ἐστι· γέγονε δὲ τὸ τρίτον τῶν δυϊκῶν ἀπὸ τοῦ ἰδίου δευτέρου τροπῇ τοῦ ο εἰς η.

Ἐνταῦθα περὶ τοῦ παθητικοῦ παρακειμένου τῶν εἰς μι διελαμβάνει, καὶ λέγει ὅτι πᾶς ἐνεργητικὸς παρακείμενος ἐπὶ τῶν εἰς μι τρέπων τὴν τελευταίαν συλλαβὴν εἰς μαι, καὶ τὴν παραλήγουσαν συστέλλων, παθητικὸς παρακείμενος γίνεται. οἷον, δέδωκα, δέδομαι· πέπωκα, πέπομαι· ἐξ οὗ τὸ ἐπόθην· βέβηκα, βέβαμαι, ἐξ οὗ τὸ ἐβάθην καὶ παρεβάθην· ἕστηκα ὅσον κατὰ τὴν ἀναλογίαν ἀπὸ τοῦ ἵστημι, στῶ· καὶ ἕσταμαι ὁ παθητικὸς παρακειμένος· πρόσκειται ὅσον κατὰ τὴν ἀναλογίαν, ἐπείδη ἕστακα ἐστὶν ὁ ἐνεργητικὸς παρακείμενος τοῦ ἵστημι πρὸς ἀντιδιαστολὴν τοῦ ἕστηκα μέσου παρακειμένου τοῦ ὄντος ἀπὸ τοῦ ἑστήκω ἐνεστῶτος, ὡς ἐν τοῖς προλαβοῦσιν εἴρηται· τέθεικα, τέθεμαι· καὶ πλεονασμῷ τοῦ ι τέθειμαι διὰ τῆς ει διφθόγγου· οὐ γὰρ δυνάμεθα τὸ τέθειμαι Βοιωτικῶς λέγειν, ὥσπερ τὸ ἐνεργητικὸν τὸ τέθεικα τὸ διὰ τῆς διφθόγγου, ἐπειδὴ τὸ μὲν τέθεικα εὐεργητικὸν τὸ διὰ τῆς ει διφθόγγου ἀπὸ τοῦ τέθηκα κοινοῦ γέγονε τοῦ διὰ τοῦ η κατὰ τροπὴν Βοιωτικὴν τοῦ η εἰς τὴν ει δίφθογγον, ὥσπερ Λάχης, Λάχεις· τὸ δὲ παθητικὸν οὐκ ἔστι τέθημαι διὰ τοῦ η, ἵνα τὸ τέθειμαι τὸ διὰ τῆς ει διφθόγγου Βοιωτικὴν τροπὴν εἴπωμεν κατὰ κρᾶσιν τοῦ η εἰς τὴν ει δίφθογγον.

Ἰστέον ὅτι ἀπὸ τοῦ τέθειμαι παρακειμένου γέγονεν ἐτεθεί-

μην ὁ ὑπερσυντελικὸς τροπῇ τῆς μαι εἰς μην κατὰ τῆς ἀρχούσης συλλαβικῶς μεγεθυνθείσης· πῶς δὲ κανονίζεται ὁ ὑπερσυντελικὸς εἰς ω μεμεθήκαμεν.

Ἰστέον ὅτι ἀπὸ τοῦ τέθειμαι παρακειμένου, ὁ γὰρ τέθειμαι κατὰ πλεονασμὸν τὸ ι ἔχει, γέγονεν ὁ παθητικὸς πρῶτος ἀόριστος ἐτέθην, τροπῇ τῆς μαι εἰς θην, καὶ ἀποβολῇ τοῦ κατ' ἀρχὴν συμφώνου. πῶς δὲ κανονίζεται ὁ παθητικὸς πρῶτος ἀόριστος ἐν τοῖς εἰς ω μεμαθήκαμεν.

Δεῖ δὲ γινώσκειν ὅτι ἀπὸ τοῦ τέθεμαι παρακειμένου τραπείσης τῆς μαι συλλαβῆς εἰς θην ἐθέθην ὤφειλεν εἶναι ὁ παθητικὸς πρῶτος ἄοριστος, ἀλλὰ διὰ τὴν κακοφωνίαν τῆς ἐπαλληλίας τοῦ δασέως θ τροπὴ παρηκολούθησε τοῦ πρώτου θ εἰς τ, καὶ γέγονεν ἐτέθην, ὥσπερ τὸ τέθυμαι, ἐθύθην καὶ ἐτύθην· εἰ δέ τις εἴποι διατί γὰρ τὸ πρῶτον θ ἐτράπη, καὶ μὴ τὸ τελευταῖον; λέγομεν ὅτι οὐκ ἠδύνατο τὸ τελευταῖον θ τραπῆναι, ἐπειδὴ ὁ πρῶτος ἀόριστος ὁ παθητικὸς εἰς θην θέλει λήγειν· οἷον, ἐτύφθην.

Τούτων οὕτως ἐχόντων, τὸ ἐγνώσθην καὶ ἠδυνάσθην μακρᾷ παραληγόμενα οὐκ εἰσὶν ἀπὸ τῶν εἰς μι, ἀλλ' ἀπὸ τῶν εἰς ω, εἰ γὰρ ἦσαν ἀπὸ τῶν εἰς μι, οὕτως ἤμελλον εἶναι· γνῶμι, γνώσω, ἔγνωκα, ἔγνομαι, ἐγνόσθην διὰ τοῦ ο. ὥσπερ δίδωμι, δώσω, δέδωκα, δέδομαι, ἐδόθην. καὶ πάλιν ἀπὸ τοῦ δύνημι, δυνήσω, δεδύνηκα, εἶχεν εἶναι δεδύναμαι, ἐδυνάθην, ὥσπερ βίβημι, βήσω, βέβηκα, βέβαμαι, ἐβάθην, ἐξ οὗ τὸ παρεβάθην· ἀλλ' ὡς εἴρηται ἀπὸ τῶν εἰς ω εἰσίν. καὶ τὸ μὲν ἐγνώσθην γέγονε τοῦτον τὸν τρόπον. ἔστι γνώω τῆς ἕκτης συζυγίας, ἐξ οὗ τὸ ὑποτακτικὸν παρὰ τῷ ποιητῇ

ἵνα γνώωσι καὶ οἵδε (Il. A. 302.)

καὶ τούτου ὁ μέλλων γνώσω· εἶτα ὁ παρακείμενος ὁ ἐνεργητικὸς ἔγνωκα, ὁ παθητικὸς ἔγνωσμαι· καὶ λοιπὸν ὁ παθητικὸς πρῶτος ἀόριστος ἐγνώσθην. τὸ δὲ ἠδυνάσθην γέγονε τοῦτον τὸν τρόπον ὡς ἀπὸ τοῦ δυνάζω, δυνάσω, δεδύνακα, δεδύνασμαι, καὶ ἐδυνάσθην· καὶ κατὰ ἔκτασιν Ἀττικὴν τοῦ ε εἰς η,

ἠδυνάσθην· ὥσπερ ἔμελλον, ἤμελλον· πάλιν ὡς ἀπὸ τοῦ δυνῶ δυνᾷς περισπωμένου τῆς δευτέρας συζυγίας γίνεται δυνήσω, δεδύνηκα, δεδύνημαι, ἐδυνήθην, καὶ κατὰ ἔκτασιν Ἀττικὴν τοῦ ε εἰς τὸ η ἠδυνήθην. Ἀόριστος δεύτερος ἐν τοῖς παθητικοῖς τῶν εἰς μι οὐκ ἔστιν· ἐπειδὴ προσελήφθη ὁ χρόνος ἐν τοῖς ἐνεργητικοῖς· καὶ γὰρ ὁ δεύτερος ἀόριστος ὁ παθητικὸς μακροκαταληκτεῖν θέλει. ἐπειδὴ οὖν ὁ δεύτερος ἀορίστος ὁ ἐνεργητικὸς μακροκαταληκτεῖ ἐν τοῖς εἰς μι· οἷον, ἔστην, ἔγνων, ἔδων· τούτου χάριν, ὡς προληφθέντος τοῦ χρόνου, ἤγουν τῆς μακροκαταληξίας ἐν τοῖς ἐνεργητικοῖς, ἐπιλέλοιπε τὸ παθητικόν· ὁ μέντοι ἔστην δεύτερος ἐνεργητικὸς, ὡς καὶ ὁ τεχνικός φησι, τὴν μὲν φωνὴν ἔχει ἐνεργητικὴν ὥσπερ τὸ ἔθην καὶ ἔβην· ὡς γὰρ ἀπὸ τοῦ θήσω καὶ βήσω, ἔθην καὶ ἔβην· οὕτω καὶ ἀπὸ τοῦ στήσω, ἔστην· τὴν δὲ σημασίαν καὶ τὴν σύνταξιν παθητικὴν ἔχει· ἔστην γὰρ ὑπὸ σοῦ φαμὲν, ὥσπερ ἐστάθην ὑπὸ σοῦ· καὶ οὐκ ἔστην σε, ὥσπερ ἔστησά σε, καὶ ἔβην σε, καὶ ἔθην σε.

Ἰστέον ὅτι ὥσπερ ὁ ἔστην δεύτερος ἀόριστος ὁ ἐνεργητικὸς τῇ μὲν φωνῇ ἐνεργητικός ἐστι, τῇ συντάξει παθητικὸς, οὕτως καὶ τὸ ἤλων δεύτερος ἀόριστος ἐνεργητικὸς ἀπὸ τοῦ ἁλόσω μέλλοντος, τῇ μὲν φωνῇ ἐνεργητικὸς, ἤλων γὰρ ὑπὸ σοῦ φαμὲν, καὶ οὐχ ἤλων σε, οὗτος δὲ ὁ ἤλων δεύτερος ἀόριστος ὁ ἐνεργητικὸς κατὰ διάλυσιν τοῦ η εἰς τὸ ε καὶ α γίνεται ἑάλων· ὥσπερ ἀπὸ τοῦ ἥδω τοῦ σημαίνοντος τὸ εὐφρανοῦμαι, γίνεται ἧδον, ὁ δεύτερος ἀόριστος ὁ ἐνεργητικὸς, καὶ κατὰ διάλυσιν τοῦ η εἰς ε καὶ α ἕαδον, ἕαδες, ἕαδε, καὶ κατὰ πλεονασμὸν τοῦ υ εὔαδον.

Ἰστέον ὅτι ὁ πρῶτος μέσος ἀόριστος ἐκ τοῦ πρώτου ἀορίστου γίνεται τοῦ ἐνεργητικοῦ προθέσει τῆς μην, ἐθήκα, ἐθήκατο, ἐθηκάμεθον, ἐθήκασθον, ἐθηκάσθην, ἐθηκάμεθα, ἐθήκασθε, ἐθήκαντο.

Ἰστέον ὅτι καὶ ὁ μέσος δεύτερος ἀόριστος ἀπὸ τοῦ δευτέρου ἀορίστου τοῦ ἐνεργητικοῦ γίνεται προσθέσει τοῦ μ καὶ συστολῇ τῆς παραληγούσης, ἤγουν τοῦ ἐν τῇ παραληγούσῃ

τοῦ δευτέρου ἀορίστου τοῦ ἐνεργητικοῦ φωνήεντος, οἷον, ἔδων, ἐδόμην· ἔστην, ἐστάμην· ἔφην, ἐφάμην· ὁ δὲ τεχνικὸς ἀπὸ τοῦ παθητικοῦ πρώτου ἀορίστου κακονίζει τὸν παρόντα δεύτερον ἀόριστον τροπῇ τοῦ θ εἰς μι, λέγων ὅτι ὁ εἰς θην ἀόριστος ἐν τοῖς εἰς μι τρέπων τὸ θ εἰς μ, μέσον ἀόριστον ποιεῖ· δηλονότι δευτέρον· οἷον, ἐτέθην, ἐτέμην, καὶ ὑποστρέφει τὸ παραλῆγον τ εἰς τὸ ἀνάλογον θ, καὶ γίνεται ἐθέμην· εἰρήκαμεν γὰρ ὅτι ὁ ἐθέθην ὤφειλεν εἶναι ὁ παθητικὸς πρῶτος ἀόριστος, ἀλλὰ διὰ τὴν ἐπαλληλίαν τοῦ δασέως θ ἐτράπη τὸ παραλῆγον θ εἰς τὸ τ, καὶ γέγονεν ἐτέθην· ἐν οὖν τὸ ἐθέμην προσῆλθε τὸ ἀνάλογον θ, ἐπειδὴ οὐκ εὑρίσκετο ἔτι ἀλλεπαλληλία τοῦ θ. πάλιν ἐδόθην, ἐδόμην· ἐστάθην, ἐστάμην· ἐφάθην, ἐφάμην· ἐπτάθην, ἐπτάμην· γέγονε δὲ τοῦτο τοῦτον τὸν τρόπον· ἔστιν ἐνεστὼς τῆς δευτέρας συζυγίας τῶν εἰς μι ἵπτημι, ἐξ οὗ ὁ παθητικὸς ἐνεστὼς ἵπταμαι· τούτου ὁ μέλλων πτήσω, καὶ ὁ δεύτερος ἀόριστος ὁ ἐνεργητικὸς ἔπτην, εἶτα ὁ ἐνεργητικὸς παρακείμενος ἔπτηκα, καὶ ὁ παθητικὸς ἔπταμαι. καὶ λοιπὸν ὁ παθητικὸς πρῶτος ἀόριστος ἐπτάθην· καὶ ὁ μέσος δεύτερος ἀόριστος ἐπτάμην· εἴτε ἀπὸ τοῦ ἐπτάθην τροπῇ τοῦ θ εἰς μ· εἴτε ἀπὸ ἔπτην δευτέρου ἀορίστου ἐνεργητικοῦ, πρὸ τοῦ ν προσελθόντος τοῦ μ καὶ η, καὶ τῆς παραληγούσης συσταλείσης.

Τούτων οὕτως ἐχόντων, φησὶν ὁ τεχνικὸς τὸ ἠκάμην καὶ ἐθηκάμην ἡμαρτῆσθαι, ὡς κατὰ συνεκδρομὴν ποιήσαντα ἕτερον ἀόριστον πρῶτον, ὥσπερ ἔγραψα, ἐγραψάμην. τοῦτο δὲ φησὶν ὁ τεχνικὸς, δοξάζων ἕνα μόνον εἶναι τοῖς εἰς μι μέσοις ἀορίστοις, ὥσπερ καὶ ἕνα παθητικόν. οὐκ ἄλλως δοξάζει ὁ τεχνικὸς λέγων ἡμαρτῆσθαι καὶ παρανενομεῖσθαι τὸ ἠκάμην καὶ ἐθηκάμην ἀπὸ τοῦ ἧκα καὶ ἔθηκα προσθέσει τῆς μην γενομένοις ὁμοίως τοῖς εἰς ω· εὑρίσκομεν γὰρ καὶ ἄλλους τοιούτους ἀορίστους μέσους ἐπὶ τῶν εἰς μι κατὰ τὸν εἰρημένον τρόπον ἀπὸ τῶν ἐνεργητικῶν πρώτων ἀορίστων γενομένους· οἷον ἀπὸ τοῦ ἵστημι, ἔστησα, γίνεται πρῶτος ἀόριστος μέσος ἐστησάμην· καὶ πάλιν ἀπὸ τοῦ βίβημι, ἔβησα, τοῦ σημαινον-

τος τὸ πορευόμαι, γίνεται ἐβησάμην, ἐξ οὗ τὸ τρίτον παρὰ ποιητῇ

βῆσαντ' ἀφ' ἵππέων

καὶ ἐν συνθέσει παρὰ τῷ αὐτῷ

Κλίμακα δ' ὑψηλὴν προσεβήσατο οἷο δόμοιο (Od. A. 330.)

εἰσὶν οὖν οὗτοι πρῶτοι μέσοι ἀόριστοι ἀπὸ τῶν ἐνεργητικῶν πρώτων ἀορίστων γενόμενοι προσθέσει τῆς μην, ὡς ἐν τοῖς εἰς ω μεμαθήκαμεν.

Ἰστέον ὅτι ἀπὸ τοῦ τρίτου προσώπου γέγονε τοῦ ἔθετο, τροπῇ τοῦ τ εἰς τὸ σ· ἡ γὰρ ἐνεργητικὴ μετοχὴ εἰς σ μετ' ὀξείας τάσεως ἐστίν· οἷον, θείς· καὶ πάλιν, ἔδοτο, ἔδοσο, ὅτι δοὺς ἐνεργητικὴ μετοχή. ταῦτα δέ φημι τοῦ ἔθεσο καὶ ἔδοσο κατὰ ἀποβολὴν τοῦ σ καὶ κράσει τῶν φωνηέντων γίνονται ἔθου καὶ ἔδου· ὡς παρὰ Σοφοκλεῖ[t].

ἐπῄνεσ'[u] ἔργον οὐ πρόνοιαν ἣν ἔθου.

Ἰστέον ὅτι ἀπὸ τοῦ παθητικοῦ πρώτου ἀορίστου γέγονεν ὁ τεθήσομαι παθητικὸς μέλλων πρῶτος κατὰ τὸ τρίτον πρόσωπον, προσελθόντος τοῦ σομαι, καὶ τῆς ἐν ἀρχῇ κλιτικῆς ἐκτάσεως ἀποβληθείσης· οἷον, ἐτέθη, τεθήσομαι· πῶς δὲ κανονίζονται οἱ παθητικοὶ μέλλοντες ἐν τοῖς εἰς ω μεμαθήκαμεν.

Ἰστέον ὅτι δεύτερος μέλλων παθητικὸς ἐν τοῖς εἰς μι ἐκ τοῦ δευτέρου ἀορίστου παθητικοῦ γίνεται, ὡς ἐν τοῖς εἰς ω μεμαθήκαμεν.

Ἰστέον ὅτι δεύτερος μέλλων παθητικὸς ἐν τοῖς εἰς μι ἐκ τοῦ δευτέρου ἀορίστου παθητικοῦ γίνεται, ὡς ἐν τοῖς εἰς ω μεμαθήκαμεν.

Ἰστέον ὅτι ὁ μέσος μέλλων πρῶτος ἐκ τοῦ πρώτου μέλλοντος τοῦ ἐνεργητικοῦ κανονίζεται, προσθέσει τῆς μαι καὶ συστολῇ τοῦ ω εἰς ο, οἷον, δώσω, δώσομαι· κτήσω, κτήσομαι.

Ἰστέον δὲ ὅτι ὁ δεύτερος μέσος μέλλων οὐκ ἔστιν ἐν τοῖς εἰς μι ὡς προείρηται, ἐκ δὲ τοῦ δευτέρου μέλλοντος τοῦ ἐνερ-

[t] Aj. v. 536. [u] Cod. επήνε.

γητικοῦ γίνεται ὁ δεύτερος μέσος μέλλων, ὡς ἐν τοῖς εἰς ω μεμαθήκαμεν.

Ἰστέον ὅτι ὁ μετ' ὀλίγον μέλλων ἐκ τοῦ δευτέρου προσώπου τοῦ παρακειμένου γίνεται, πρὸ τῆς αι διφθόγγου προσερχομένου τοῦ ο καὶ μ· οἷον, ἕστασαι, ἑστάσομαι· δέδοσαι, δεδόσομαι· τέθεισαι, τεθείσομαι.

Ἰστέον ὅτι ὁ μὲν τεχνικὸς φησὶν ὡς τὰ ἔχοντα τὴν μετοχὴν εἰς σ μετ' ὀξείας τάσεως καὶ διὰ ντ κλινομένην, εἰς ναι ποιοῦσι τὸ ἀπαρέμφατον, οἷον, νυγεὶς, νυγῆναι· τιθεὶς, τιθῆναι· διδοὺς, διδόναι. Χρὴ δὲ γινώσκειν ὅτι εἰ καὶ μὴ διὰ τοῦ ντ κλίνεται ἡ μετοχὴ, εἰς σ δὲ λήγει μετ' ὀξείας τάσεως, εἰς ναι ποιοῦσι τὸ ἀπαρέμφατον· οἷον, πεποιθὼς, πεποιθέναι. κρεῖττον οὖν οὕτως λέγειν, ὅτι τὰ ἔχοντα τὴν μετοχὴν εἰς σ μετ' ὀξείας τάσεως εἰς ναι ποιοῦσι τὸ ἀπαρέμφατον ἐπὶ τῶν εἰς μι, καὶ συστολὴ παρακολουθεῖ δηλονότι τῆς παραληγούσης κατὰ τὰ ἀπαρέμφατα ἐν τῷ ἐνεστῶτι καὶ τῷ παρατατικῷ, οἷον, ἐτίθην, τιθεὶς, τιθέντος, τιθέναι· καὶ ἵστην, ἱστὰς, ἱστάντος, ἱστάναι. πρόσκειται ἐν τῷ ἐνεστῶτι καὶ τῷ παρατατικῷ, διὰ τὸν δεύτερον ἀόριστον. τὰ γὰρ ἀπαρέμφατα τῶν εἰς μι τοῦ δευτέρου ἀορίστου τοῦ ἐνεργητικοῦ οὐ συστέλλει τὴν παραλήγουσαν· ἔστη, στὰς, στῆναι· ἔγνω, γνοὺς, γνῶναι· ἔφη, φὰς, φῆναι· ἥλω, ἁλοὺς, ἁλῶναι. σεσημείωται τὸ δοῦναι, θεῖναι, εἶναι· ὃ σημαίνει τὸ ἀπολύσαι, ἐξ οὗ τὸ ἀφεῖναι· ὅτι ἀπαρέμφατα ὄντα δευτέρου ἀορίστου ἐνεργητικοῦ οὐκ ἐφύλαξαν τὸ φωνῆεν τοῦ ἀορίστου, ἀλλὰ διὰ διφθόγγου ἐγένοντο. ἔδων γὰρ διὰ τοῦ ω, καὶ δοῦναι διὰ τῆς ου διφθόγγου. περὶ δὲ τούτων, φημὶ δὴ τοῦ δοῦναι, θεῖναι, εἶναι, ἐν τοῖς ἀπαρεμφάτοις τῶν εἰς ω μεμαθήκαμεν ἐν τῇ περὶ τοῦ ἐνεργητικοῦ παρατατικοῦ διδασκαλίᾳ. διὰ τοῦτο δὲ τὰ ἀπαρέμφατα τῶν εἰς μι κατὰ μὲν τὸν ἐνεστῶτα καὶ παρατατικὸν συστέλλουσι τὴν παραλήγουσαν· κατὰ δὲ τὸν ἀόριστον τὸν ἐνεργητικὸν οὐ συστέλλουσι τὴν παραλήγουσαν, ἐπειδὴ καὶ ἐν τοῖς ὁριστικοῖς, ὡς ἐκεῖσε μεμαθήκαμεν, ὁ μὲν ἐνεστὼς καὶ παρατατικὸς τὸν εἰς μι συστέλλουσι

τὴν παραλήγουσαν ἐν τοῖς πληθυντικοῖς, οἷον, τίθημι, τίθεμεν· δίδωμι, δίδομεν· ὁ δὲ δεύτερος ἀόριστος ὁ ἐνεργητικὸς οὐ συστέλλει τὴν παραλήγουσαν ἐν τοῖς πληθυντικοῖς. οἷον, ἔστην, ἔστημεν· ἔγνων, ἔγνωμεν· σεσημειωμένου τοῦ ἔδομεν, ἔθεμεν, ἕμεν. θέλουσι δὲ τὰ εἰς ναι ἀπαρέμφατα τὴν παραλήγουσαν φυλάττειν τοῦ πρώτου προσώπου τῶν πληθυντικῶν, τοῦ ἰδίου ὁριστικοῦ· οἷον, ἐτύφθημεν, τυφθῆναι· οὕτως οὖν καὶ ἐτίθεμεν, τιθέναι· καὶ ἵσταμεν, ἱστάναι· καὶ ἐδίδομεν, διδόναι· καὶ ἐζεύγνυμεν, ζευγνύναι, διὰ συνεσταλμένου τοῦ υ· καὶ ἔστημεν, στῆναι· καὶ ἔβημεν, βῆναι· καὶ ἔγνωμεν, γνῶναι· καὶ ἥλωμεν, ἁλῶναι· καὶ ἐβίωμεν, βιῶναι· περὶ γὰρ τοῦ ἔδομεν, δοῦναι· καὶ ἔθεμεν, θεῖναι· καὶ ἕμεν, εἶναι, ὅτι οὐκ ἐφύλαξαν τὴν παραλήγουσαν τοῦ πρώτου προσώπου τῶν πληθυντικῶν τοῦ ἰδίου ὁριστικοῦ καὶ διὰ τῆς ει διφθόγγου ἐγένοντο. καὶ ὑπὲρ τοῦ παρακειμένου καὶ ὑπερσυντελικοῦ. τετύφομεν γὰρ διὰ τοῦ α τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν τοῦ ὁριστικοῦ, καὶ τετυφέναι διὰ τοῦ ε ἐν τοῖς εἰς ω μεμαθήκαμεν.

Ἰστέον δὲ ὅτι τὸ εἶναι τὸ ἐπὶ τοῦ ὑπάρχειν ὤφειλεν εἶναι ἔναι διὰ τοῦ ε, καὶ οὐ διὰ τῆς ει διφθόγγου. ἐπειδὴ τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν τοῦ ἰδίου ὁριστικοῦ, φημὶ δὴ τοῦ εἰμὶ, ἐμὲν ἐστὶν, ὅπερ κατὰ πλεονασμὸν τοῦ σ γίνεται ἐσμέν.

Ἔστιν οὖν εἰπεῖν ὅτι εὕρηται καὶ εἰμὲν διὰ τῆς ει διφθόγγου κατὰ πλεονασμὸν τοῦ ι

ἡμεῖς δὲ εἰμὲν τοίοι.

οὐκ ἄτοπον οὖν ἐκ τοῦ εἰμὲν τοῦ διὰ τῆς διφθόγγου γενέσθαι τὸ εἶναι ἐπὶ τοῦ ὑπάρχειν διὰ τῆς ει διφθόγγου. τὸ δὲ εἶναι ἀπαρέμφατον τὸ ἐπὶ τοῦ πορευθῆναι, ἐξ οὗ τὸ ἀπεῖναι, καὶ αὐτὸ διὰ τῆς ει διφθόγγου ἔχει τὴν παραλήγουσαν, ὀφεῖλον διὰ τοῦ ι εἶναι, πρὸς τὸ ἴμεν πρῶτον πρόσωπον πληθυντικὸν τοῦ ἰδίου ὁριστικοῦ. εἰρήκαμεν γὰρ ὅτι τὰ μεν ἑνικὰ τοῦ σημαίνοντος τὸ πορεύομαι διὰ τῆς ει διφθόγγου γράφονται· τὰ δὲ δυϊκὰ καὶ τὰ πληθυντικὰ διὰ τοῦ ι.

Τούτων οὕτως ἐχόντων φησὶν ὁ τεχνικὸς ἕτερον κανόνα.

κανονίζονται τὰ ἐνεργητικὰ ἀπαρέμφατα τοῦ ἐνεστῶτος καὶ παρατατικοῦ τῶν εἰς μι· πᾶν ὁριστικὸν πληθυντικὸν ἐνεργητικὸν τῶν εἰς μι χρόνου ἐνεστῶτος, τροπῇ τῆς μεν εἰς ναι ποιεῖ τὸ ἀπαρέμφατον· οἷον, τίθεμεν, τιθέναι· παρακείμενος καὶ ὑπερσυντελικὸς τεθεικέναι· ὥσπερ ἐν τοῖς εἰς ω ὁριστικοῖς ὁ ἐνεργητικὸς παρακείμενος κατὰ τὸ τρίτον αὐτοῦ πρόσωπον προσλαμβάνον τὴν ναι τὸ ἀπαρέμφατον ποιεῖ· οὕτως καὶ ἐν τοῖς εἰς μι γίνεται.

Μέσον δὲ ἀπαρέμφατον ἐν τοῖς εἰς μι οὐκ ἔστιν εὑρεῖν, ἐπειδὴ οὔτε ὁριστικὸς μέσος παρακείμενος.

Ἀόριστος πρῶτος οὐκ ἔστιν οὐδεμία κλίσις μετὰ τὰ ὁριστικά· ἤδη καὶ ἐν τοῖς εἰς ω μεμαθήκαμεν, ὅτι ὁ ἔθηκα, ἔδωκα, καὶ ὁ ἧκα πρῶτοι ἀόριστοι σεσημείωνται· καὶ ὅτι μετὰ τὰ ὁριστικὰ οὐκ ἐκλίθησαν· οὔτε γὰρ εἰς τὰς λοιπὰς ἐγκλίσεις κλίνονται δηλονότι μετὰ τῶν ὁριστικῶν· οὔτε εἰς τὰς μετοχὰς γίνεται τὸ ἀπαρέμφατον τοῦ πρώτου ἀορίστου· καὶ ἐν τοῖς εἰς μι, ὥσπερ ἐν τοῖς εἰς ω ἀπαραλλάκτως. καθάπερ γὰρ ἀπὸ τοῦ ἔτυψα ὁριστικοῦ πρώτου ἀορίστου γίνεται τὸ ἀπαρέμφατον τύψαι, οὕτως καὶ ἀπὸ τοῦ ἔβησα, καὶ ἔστησα, καὶ ἔφησα ἀορίστων γίνεται τὰ ἀπαρέμφατα, βῆσαι, καὶ στῆσαι, καὶ φῆσαι. οὗτοι γὰρ οἱ ἀόριστοι οὐχ ἡμάρτηνται, ὥσπερ ὁ ἔδωκα, καὶ ὁ ἔθηκα, καὶ ὁ ἧκα.

Ἀόριστος δεύτερος θεῖναι. Λέγει ὁ τεχνικὸς ὅτι ἀναλόγως μὲν τῇ μετοχῇ εἰς σ οὔσῃ ὀξυτόνῳ, οἷον, θεὶς, εἶς, εἶναι, ἐπὶ τὸ ἀπαρέμφατον. ἔδει μέντοι αὐτὸ θῆναι γενέσθαι διὰ τοῦ η· τὸ γὰρ τρίτον πρόσωπον τοῦ δευτέρου ἀορίστου τοῦ ἐνεργητικοῦ προσθέσει τῆς ναι, καὶ συστολῇ τῆς παραληγούσης, τὸ ἀπαρέμφατον ποιεῖ, οἷον, ἔστην, στῆναι· ἔβην, βῆναι· ἔγνων, γνῶναι· ἀλλ' ἐμάθομεν ὅτι ἡμάρτηται τὸ θεῖναι, δοῦναι, εἶναι.

Μέλλων πρῶτος θήσειν, ὥσπερ ἐπὶ τῶν εἰς ω τὸ ἀπαρέμφατον ἐνεργητικὸν τοῦ πρώτου μέλλοντος κανονίζεται ἀπὸ τοῦ τρίτου προσώπου τῶν ἑνικῶν προσθέσει τοῦ ν, οἷον τύψει, τύψειν, οὕτως καὶ ἐπὶ τῶν εἰς μι ἀπαραλλάκτως[x].

[x] Cod. ἀπαράκτως.

Δεύτερος μέλλων ἐνεργητικὸς ἀπαρέμφατος ἐν τοῖς εἰς μι οὐκ ἔστιν, ἐπειδὴ οὐδὲ ὁριστικὸς δεύτερος μέλλων ἐνεργητικός ἐστιν ἐν τοῖς εἰς μι.

Ἀπαρέμφατα παθητικὰ χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ—τίθεσθαι.

Ἐμάθομεν ὅτι πᾶν τρίτον πρόσωπον παθητικὸν ἢ μέσον ἔχον τὸ μ κλιτικὸν, τρέπον τὴν ἐσχάτην εἰς θαι, καὶ τὴν κατὰ ἀρχὰς κλιτικὴν ἔκτασιν συστέλλον, τὸ ἀπαρέμφατον ποιεῖ· καὶ εἰ μεν καθαριεύει τὸ τ, καὶ σ προσλαμβάνει· εἰ δὲ συμφώνῳ παραλήγοιτο, τηρεῖ τὸ σύμφωνον· χωρὶς εἰ μή πω ψιλὸν εἴη· τότε γὰρ δι' ἀσυνταξίαν εἰς τὸ ἀντίστοιχον δασὺ τρέπεται.

Παρακείμενος καὶ ὑπερσυντελικὸς—τεθεῖσθαι· ἀπὸ τοῦ τέθειται γέγονε τεθεῖσθαι, ὥσπερ ἀπὸ τοῦ πεποίηται, πεποιῆσθαι. διατί δὲ καταβιβάζει τὸν τόνον, ἐν τοῖς εἰς ω μεμαθήκαμεν.

Ἀόριστος πρῶτος—τεθῆναι. ἀπὸ τοῦ ἐτέθη γέγονε τεθῆναι· εἰς σ γάρ ἐστι μετ' ὀξείας τάσεως ἡ μετοχή· οἷον, τεθεὶς, καὶ εὐλόγως εἰς ναι ποιεῖ τὸ ἀπαρέμφατον.

Ἰστέον δὲ ὅτι ἐν τοῖς εἰς μι οὐκ ἔστιν ἀπαρέμφατον δευτέρου παθητικοῦ ἀορίστου, ἐπειδὴ οὔτε ὁριστικὸς εὑρίσκεται παθητικὸς δεύτερος ἀόριστος ἐν τοῖς εἰς μι, δι' ἣν ἔγνωμεν αἰτίαν.

Μέσος ἀόριστος—θέσθαι. ἀπὸ τοῦ ἔθετο ἐγένετο θέσθαι, ὥσπερ ἀπὸ τοῦ ἐλάβετο, λαβέσθαι.

Ἰστέον δὲ ὅτι παρέλιπεν ὁ τεχνικὸς τὸ ἀπαρέμφατον τοῦ μέσου πρώτου ἀορίστου. τὸ γὰρ θέσθαι δευτέρου μέσου ἀορίστου ἐστίν. ἔστιν οὖν τὸ ἀπαρέμφατον τοῦ πρώτου μέσου ἀορίστου ἀπὸ τοῦ ἐστήσατο, στήσασθαι· ὡς ἀπὸ τοῦ ἐποιήσατο, ποιήσασθαι· ὁ γὰρ ἐθηκάμην πρῶτος μέσος ἀόριστος οὐκ ἔχει ἀπαρέμφατον. ἐμάθομεν γὰρ ἐν τοῖς προλαβοῦσιν ὅτι ἔθηκα, ἔδωκα, ἧκα οὐ κλίνεται μετὰ τὰ ὁριστικά· οὔτε γὰρ εἰς τὰς λοιπὰς ἐγκλίσεις κλίνονται μετὰ τὴν ὁριστικὴν, οὔτε εἰς τὰς μετοχάς.

Μέλλων πρῶτος παθητικὸς—τεθήσεσθαι· ἀπὸ τοῦ τεθήσεται γέγονε τεθήσεσθαι, ὥσπερ ἀπὸ τοῦ τυφθήσεται, τυφθήσεσθαι. Δεύτερος μέλλων παθητικὸς ἐν τοῖς εἰς μι οὐκ ἔστιν ἀπαρέμφατον, δι' ὅτι οὐδὲ ὁριστικὸς εὑρίσκεται παθητικὸς δεύτερος μέλλων ἐν τοῖς εἰς μι, ὡς ἔγνωμεν.

Μέσος μέλλων πρῶτος—θήσεσθαι. ἀπὸ τοῦ θήσεται γέγονε τὸ ἀπαρέμφατον θήσεσθαι.

Ἰστέον δὲ ὅτι μέσου δευτέρου μέλλοντος ἐν τοῖς εἰς μι οὐκ ἔστιν ἀπαρέμφατον, ἐπεὶ οὐδὲ ὁριστικὸς μέλλων μέσος δεύτερος εὑρίσκεται ἐν τοῖς εἰς μι.

Μετ' ὀλίγον μέλλων—τεθεῖσεσθαι. ἀπὸ τοῦ τεθείσεται γέγονε τεθείσεσθαι. Ἰστέον δὲ ὅτι συνέπεσεν [y] ἐνταῦθα κατὰ φωνὴν τὸ ἀπαρέμφατον τοῦ παθητικοῦ πρώτου μέλλοντος, καὶ τὸ ἀπαρέμφατον τοῦ μετ' ὀλίγου μέλλοντος, ἀλλὰ κατὰ γραφὴν διαστέλλονται.

Περὶ Προσταχτικῶν.

Προστακτικὰ ἐνεργητικὰ χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ. Ἰστέον ὅτι τὰ προστακτικὰ τῶν εἰς μι τοῦ ἐνεστῶτος καὶ παρατατικοῦ διχῶς κανονίζονται. κανονίζονται γὰρ ἐκ τοῦ παρατατικοῦ τῷ κοινῷ λόγῳ· τουτέστιν ὥσπερ τὰ εἰς ω τοῦ τρίτου προσώπου τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν ἀποβάλλοντα, οἷον, ἐτίθει, τίθει σύ· ἵστην, ἵστη σύ· ἐπίμπλη, πίμπλη σύ. γίνονται δὲ καὶ τῷ λόγῳ τῆς μετοχῆς εἰς θι. καθόλου γὰρ πᾶσα μετοχὴ εἰς σ λήγουσα μετ' ὀξείας τάσεως διὰ τοῦ ντ κλινομένη, εἰς θι ποιεῖ τὸ προστακτικόν· οἷον, ἐτύφθη, τυφθεὶς, τυφθέντος, τύφθηθι, καὶ διὰ τὴν ἐπαλληγίαν τῶν δασέων κατὰ μετάθεσιν τοῦ θ εἰς τὸ τ τύφθητι· τὰ δὲ εἰς μι κατὰ τὸν ἐνεστῶτα καὶ παρατατικόν· καὶ συστέλλουσι τὴν παραλήγουσαν ἐν τοῖς προστακτικοῖς πρὸς τὴν παραλήγουσαν τοῦ πρώτου προσώπου τῶν πληθυντικῶν τοῦ ἰδίου ὁριστικοῦ, οἷον, ἱστάς· ἱστάντος, ἵσταμεν,

y Cod. συνέπεν.

ἵσταθι· δίδους, διδόντος, δίδομεν, δίδοθι· τὸ γὰρ παρὰ τῷ ποιητῇ,

δίδωθι δέ μοι κλέος ἐσθλόν. (Od. Γ. 380.)

ποιητικῶς ἐξέτεινε τὸ ο εἰς τὸ ω. πρόσκειται κατὰ ἐνεστῶτα καὶ παρατατικὸν διὰ τὸν δεύτερον ἀόριστον· τὰ γὰρ προστακτικὰ τῶν εἰς μι τοῦ δευτέρου ἀορίστου οὐ συστέλλουσι τὴν παραλήγουσαν τῶν πληθυντικῶν· οἷον, στὰς, στάντος, ἔστημεν, στῆθι· βὰς, βάντος, ἔβημεν, βῆθι· γνοὺς, γνόντος, ἔγνωμεν, γνῶθι· σεσημείωται τὸ δὸς, θεὶς, ἕς· ἐξ οὗ τὸ ἄφες καὶ πρόες, ὅτι ταῦτα ἔχοντα τὴν μετοχὴν εἰς σ μετ' ὀξείας τάσεως διὰ τοῦ ντ κλινομένην· οἷον, δοὺς, δόντος· θεὶς, θέντος· εἷς ἕντος, ἐξ οὗ τὸ ἀφεὶς ἀφέντος, οὐκ ἔχουσιν εἰς θι τὸ προστακτικὸν, δὸς γὰρ καὶ θὲς καὶ ἓς τὰ προστακτικὰ τούτων· τὸ δὲ ἓς, ὡς εἴρηται, σημαίνει τὸ πέμψον, ὡς παρὰ τῷ ποιητῇ

ἀλλὰ σὺ μὲν νῦν τήνδε θεῷ πρόες (Il. A. 127.)

Τούτων οὕτως ἐχόντων, τὸ ἴθι, ὃ σημαίνει τὸ πορεύου· οἷον,

ἀλλ' ἴθι μή μ' ἐρέθιζε (Il. A. 32.)

ἀπὸ τοῦ εἶμι τοῦ σημαίνοντος τὸ πορεύομαι γέγονεν. ἔστι γὰρ ἴμεν τὸ πληθυντικὸν διὰ τοῦ ι, ὡς ἐν τοῖς προλαβοῦσιν ἐμάθομεν· καὶ λοιπὸν ἐκεῖθεν τὸ προστακτικὸν τροπῇ τῆς μεν εἰς θι γίνεται ἴθι· ὥσπερ ἵσταμεν, ἵσταθι· τὸ δὲ ἴθι τὸ σημαῖνον τὸ ὕπαρχε γέγονεν οὕτως. ἔστιν εἰμὶ ὃ σημαίνει τὸ ὑπάρχω· τούτου τὸ πληθυντικὸν ἐμὲν, ὅπερ κατὰ πλεονασμὸν τοῦ σ γίνεται ἐσμέν· ἀπὸ τοῦ ἐμὲν ἀναλόγως γέγονε προστακτικὸν ἔθι, καὶ πλεονάσαντος τοῦ σ, ἐτράπη τὸ ε εἰς ι, καὶ γέγονεν ἴσθι, ἀντὶ τοῦ ὕπαρχε. ὥσπερ ἐπὶ τοῦ ἔχω καὶ πλεονάζει τὸ σ, καὶ τρέπεται τὸ ε εἰς τὸ ι, καὶ γίνεται ἴσχω· πολλάκις γὰρ πλεονάζοντος συμφώνου τρέπεται τὸ ε εἰς τὸ ι, ὥσπερ ἐπὶ τοῦ μένω, μίμνω· τέκω, τίκτω. τοῦτο δὲ τὸ ἴσθι τὸ σημαῖνον τὸ ὕπαρχε κατὰ τὸ τρίτον πρόσωπον τὸ ὀφειλόμενον ε ἀναδέχεται καὶ γίνεται ἔστω· τὸ δὲ ἴσθι τὸ σημαῖνον τὸ γίνωσκε γέγονεν οὕτως. ὥσπερ ἀπὸ τοῦ ἵστημι, ἵσταμαι καὶ ἵσταθι, οὕτω καὶ ἀπὸ τοῦ ἴσημι τοῦ σημαίνον-

τος τὸ γινώσκω ὥσπερ Δωρικῶς γίνεται ἴσαμι, ὡς δηλοῖ ὁ Θεόκριτος λέγων (V. 119.)

καλῶς τοῦτό γε μάλα ἴσαμι.

καὶ γίνεται τὸ πληθυντικὸν ἴσαμεν, καὶ κατὰ συγκοπὴν τοῦ α ἴσμεν· ἐκ δὲ τούτου γίνεται τὸ προστακτικὸν ἴσαθι, καὶ κατὰ συγκοπὴν τοῦ α ἴσθι· καὶ λοιπὸν τροπῇ τοῦ θι εἰς τω τὸ τρίτον ἴστω.

Εἴρηται ὅτι τὰ εἰς θι προστακτικὰ τροπῇ τοῦ θι εἰς τω τὸ τριτὸν πρόσωπον ποιοῦσιν, οἷον, δίδοθι, διδότω· γνῶθι, γνώτω· ἴθι, ἴτω· στῆθι, στήτω· οὕτως οὖν καὶ τίθετι, τιθέτω· τὸ γὰρ τ ἐνταῦθα δυνάμει θ ἐστί.

Ἰστέον ὅτι ὥσπερ ἀπὸ τοῦ ἔτυψα γίνεται τύψον, οὕτω καὶ ἀπὸ τοῦ ἔθηκα ὤφεῖλε γενέσθαι θῆκον· ἀλλ' ὡς ἐμάθομεν τὸ ἔθηκα, ἔδωκα, ἧκα μετὰ τὰ ὁριστικὰ οὐ κλίνονται· κλίνομεν οὖν ἀντ' αὐτοῦ τοῦ θῆκον, στῆσον, στησάτω, στήσατον, στησάτων, στήσατε, στησάτωσαν.

Ἰστέον ὅτι ὁ ἔχων τὴν μετοχὴν εἰς σ μετ' ὀξείας τάσεως καὶ διὰ τοῦ ντ κλινομένην, οἷον θεὶς, θέντος, εἰς θι ὤφειλεν ἔχειν τὸ προστακτικὸν, ἀλλ' ἐμάθομεν ὅτι σεσημείωται καὶ αὐτὸ, καὶ τὸ δὸς καὶ τὸ ἕς· ταῦτα μετ' ὀξείας τάσεως ἔχουσι τὴν μετοχὴν εἰς σ, καὶ διὰ τοῦ ντ κλινομένην, οἷον δοὺς, δόντος· εἷς, ἕντος· ἐξ οὗ τὸ ἀφείς, ἀφέντος.

Δεῖ δὲ γινώσκειν ὅτι ἀόριστον μόνον λέγομεν ἐνταῦθα, οὐ μὲν ἀόριστον καὶ μέλλοντα, ἐπεὶ ὡς ἐμάθομεν, οὐκ ἔστιν ἐν τοῖς εἰς μι δεύτερος μέλλων ὁριστικὸς ἐνεργητικὸς, θέτον, θέτων, θέτε, θέτωσαν.

Περὶ παθητικοῦ χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ.—τίθεσο. Ἰστέον ὅτι ἀπὸ τοῦ δευτέρου προσώπου τοῦ παθητικοῦ παρατατικοῦ γέγονε κατὰ ἀποβολὴν τῆς ἐν ἀρχῇ κλιτικῆς ἐκτάσεως οἷον, ἵστασο καὶ δίδοσο.

Παρακειμένου καὶ ὑπερσυντελικοῦ—τέθεισο. Ἀπὸ τοῦ ἐτέθεισο γέγονε τεθεῖσο, τεθείσθω· τέθεισθον, τεθείσθων· τέθεισθε, τεθείσθωσαν. Ἀορίστου πρώτου καὶ μέλλοντος. Τέθητι—Ἔστιν ἐτέθην, καὶ ἡ μετοχὴ τεθεὶς, τεθέντος, εἰς

σ μετ' ὀξείας τάσεως, καὶ διὰ τοῦ ντ κλινομένη· καὶ γίνεται τὸ προστακτικὸν εἰς θι, ἀλλὰ κατὰ τὴν ἐπαλληλίαν τῶν δασέων τέθητι, τραπέντος τοῦ θ εἰς τ.

Ἰστέον δὲ ὅτι ἐν τοῖς εἰς μι προστακτικὸν δευτέρου ἀορίστου παθητικοῦ καὶ δευτέρου μέλλοντος οὐκ ἔστιν, ἐπειδὴ οὔτε ὁριστικός ἐστιν, ὡς ἐμάθομεν.

Μέσου ἀορίστου δευτέρου—θοῦ. Ἐμάθομεν ἀνωτέρω ὅτι τὸ δεύτερον πρόσωπον τοῦ ἐθέμην διχῶς λέγεται. λέγεται γὰρ ἔθεσο καὶ ἔθου κατὰ ἀποβολὴν καὶ κρᾶσιν φωνηέντων· ἐκ τοῦ οὖν πεπονθότος, φημὶ δὲ τοῦ ἔθου, γίνεται τὸ προστακτικὸν [1] κατὰ ἀποβολὴν τῆς ἐν ἀρχῇ κλιτικῆς ἐκτάσεως, θοῦ· ἐξ οὗ τὸ κατάθου· φημὶ γὰρ ἐκ τοῦ ἔθεσο μὴ γενέσθαι τὸ προστακτικόν.

Ἰστέον δὲ ὅτι τὸ θοῦ δευτέρου μέσου ἀορίστου ἐπὶ τὸ προστακτικὸν οὐ μὴν καὶ μέλλοντος· ἐν γὰρ τοῖς εἰς μι οὐκ ἔστιν ὡς ἐμάθομεν δεύτερος μέσος μέλλων ὁριστικός· ὁριστικοῦ δὲ μὴ ὄντος, οὔτε προστακτικὸν ἐστίν· τὸ δὲ προστακτικὸν τοῦ πρώτου ἀορίστου καὶ μέλλοντος οὐ παρέθετο· ἐπειδὴ, ὡς ἐμάθομεν τὸ ἔθηκα ὡσαύτως δὲ καὶ τὸ ἔδωκα καὶ ἧκα, μετὰ τὰ ὁριστικὰ οὐ κλίνονται. οὔτε γὰρ εἰς τὰς μετοχὰς κλίνονται, οὔτε εἰς τὰς λοιπὰς ἐγκλίσεις· τὸ μέντοι ἐστησάμην δύναται κατὰ ἀναλογίαν ἔχειν τὸ προστακτικὸν τὸ στῆσαι σύ, ὥσπερ τὸ ἐποιησάμην, ποιῆσαι σύ.

Περὶ Εὐκτικῶν.

Εὐκτικὰ ἐνεργητικὰ χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ. τιθείην. Εἴρηται ὅτι τὰ ἔχοντα τὴν μετοχὴν εἰς σ μετ' ὀξείας τάσεως καὶ διὰ τοῦ ντ κλινομένην, εἰς ην καθαρὸν ἔχουσι τὸ εὐκτικόν· τιθείς, τιθέντος, τιθείην· καὶ ἱστὰς ἱστάντος, ἱσταίην· δούς, δόντος, δοίην· καὶ στάς, στάντος, σταίην· καὶ βάς, βάντος, βαίην. πῶς δὲ κανονίζομεν εἴπομεν καὶ περὶ τῶν εὐκτικῶν τῆς τετάρτης συζυγίας τῶν εἰς μι, ὅτι ταῦτα οὐ παραλήγονται διφθόγγῳ, ζευγνύην καὶ

[1] Cod. προστακτόν.

πηγνύην· χωρὶς τοῦ ι. ἀποροῦσι δέ τινες λέγοντες, εἰ ἄρα τὸ ο διὰ τῆς προσθήκης τοῦ υ πέφυκε μεγεθύνεσθαι, οἷον τύπτοντος, τύπτουσα, διατί ἐπὶ τοῦ δόντος, δοίην, καὶ γνόντος, γνοίην τὸ ι προσῆλθε, καὶ οὐ τὸ υ· ἔστιν οὖν εἰπεῖν ὅτι διὰ τοῦτο προσῆλθε τὸ ι καὶ οὐ τὸ υ, ἐπειδὴ τὰ εὐκτικὰ διφθόγγῳ θέλουσι παραλήγεσθαι, τῇ μέτα τοῦ ι· οἷον, τύπτοιμι, τυφθείην, ἱσταίην· οὕτως οὖν καὶ δοίην καὶ γνοίην διὰ διφθόγγου τῆς μετὰ τοῦ ι.

Παρακείμενος καὶ ὑπερσυντελικός.—τεθείκοιμι. Ὥσπερ ἀπὸ τετυφότος γέγονε τετύφοιμι, καὶ ἀπὸ τοῦ τεθεικότος, τεθείκοιμι. Ἰστέον ὅτι καὶ εἰς σ μετοχὴ μετ᾽ ὀξείας τάσεως ἐστιν, ἀλλ᾽ οὐ κλίνεται διὰ τοῦ ντ, ἵνα γένηται εἰς ην καθαρὸν τὸ εὐκτικόν. Δεῖ δὲ καὶ τοῦτο γινώσκειν, ὅτι ἐν τοῖς προλαβοῦσιν ἐμάθομεν, ὡς ἡ μὲν ἀναλογία ἀπαιτεῖ τὸ τέθηκα διὰ τοῦ η γράφεσθαι· θήσω γὰρ ὁ μέλλων διὰ τοῦ ην· ἐπεκράτησε δὲ κατὰ Βοιωτοὺς διὰ τῆς ει διφθόγγου γράφεσθαι.

Ἰστέον ὅτι κατὰ ἀναλογίαν τὸ ἔθηκα ὤφειλε ποιῆσαι τὸ εὐκτικὸν θήκαιμι· ὥσπερ τὸ ἔτυψα, τύψαιμι· ἀλλ᾽ ὡς ἐμάθομεν, τὸ ἔθηκα, ἔδωκα, ἧκα μετὰ τὰ ὁριστικὸν οὐ κλίνονται· οὔτε γὰρ εἰς μετοχὰς κλίνονται, οὔτε εἰς τὰς λοιπὰς ἐγκλίσεις· κλίνομεν οὖν ἀντ᾽ αὐτῶν τὸ στήσαιμι, στήσαις, στήσαι, στήσαιτον, στησαίτην, στήσαιμεν, στήσαιτε, στήσαιεν, εἴρηται.

Ἰστέον ὅτι ὥσπερ ἀπὸ τοῦ τυφθεὶς, τυφθέντος γέγονε τυφθείην, οὕτω καὶ ἀπὸ τοῦ θεὶς, θέντος γέγονε θείην· καὶ ἀπὸ τοῦ στὰς, στάντος γέγονε σταίην. καὶ ἀπὸ τοῦ δὸς, δοντὸς γίνεται δοίην. καὶ κατὰ ἔκτασιν τοῦ ο δῴην, προσγραμμένου τοῦ ι·

δῴη κῦδος ἀρέσθαι. (Il. Π. 88.)

Μέλλων πρῶτος—θήσοιμι.

Ἰστέον ὅτι ὥσπερ ἀπὸ τοῦ τύψων, τύψοντος γίνεται τὸ εὐκτικὸν τύψοιμι, οὕτως καὶ ἀπὸ τοῦ θήσων, θήσοντος γίνεται τὸ εὐκτικὸν θήσοιμι.

Δεῖ δὲ καὶ τοῦτο γινώσκειν, ὅτι καὶ ἐν τοῖς εὐκτικοῖς οὐκ ἐπιλιμπάνει ὁ μέλλων τοῦ τίθημι, θήσοιμι γάρ ἐστιν, ὥσπερ ἐπιλιμπάνει ἐν τοῖς προστακτικοῖς καὶ ἐν τοῖς ὑποτακτικοῖς· οὔτε γὰρ θῆκον λέγομεν, οὔτε ἐὰν θήκω, καὶ τοῦτο εὐλόγως. καὶ γὰρ ἐν μὲν τοῖς εὐκτικοῖς οὐ συνέζευκται τῷ ἀορίστῳ ὁ μέλλων, ἵνα τοῦ ἀορίστου ἐπιλιμπάνοντος συνεπιλείψῃ καὶ ὁ μέλλων. ἐν δὲ τοῖς προστακτικοῖς καὶ ὑποτακτικοῖς ὁ ἀόριστος καὶ ὁ μέλλων συνεζευγμένοι εἰσί· καὶ λοιπὸν τοῦ ἔθηκα ἐπιλιμπάνοντος μὴ δυναμένου κλίνεσθαι μετὰ τὰ ὁριστικὰ, συνεπιλείπασι καὶ οἱ συνεζευγμένοι αὐτῶν μέλλοντες, θήσοις, θήσοι, θήσοιτον, θησοίτην, θήσοιμεν, θήσοιτε, θήσοιεν.

Εὐκτικὰ παθητικὰ χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ. Τιθείμην. Ἰστέον ὅτι ἀπὸ τοῦ ἐτιθέμην γέγονε τιθείμην, ἀποβολῇ τῆς ἐν ἀρχῇ κλιτικῆς ἐκτάσεως, καὶ τοῦ ι πρὸ τοῦ μ προσελθόντος· καὶ πάλιν ἀπὸ τοῦ ἱστάμην, ἱσταίμην· καὶ ἀπὸ τοῦ ἐδιδόμην, διδοίμην· τὸν δὲ κανόνα ἐν τοῖς εἰς ω εἰρήκαμεν.

Δεῖ δὲ γινώσκειν ὅτι τὰ εὐκτικὰ τῆς τετάρτης συζυγίας τῶν εἰς μι οὐκ ἔχουσι πρὸ τοῦ τὸ ι· ζευγνύμην γὰρ καὶ πηγνύμην χωρὶς τοῦ ι· ἐπειδὴ οὐδέποτε μετὰ τῆς υι διφθόγγου σύμφωνον εὑρίσκεται ἐπιφερόμενον, οἷον, αἴθυια.

Τεθείμην ἀπὸ τοῦ τέθειμαι γέγονε τεθείμην, τεθεῖο, τεθεῖτο, τεθείμεθον, τεθεῖσθον, τεθείσθην, τεθείμεθα, τέθεισθε, τεθεῖντο. Τεθείην· ὥσπερ ἀπὸ τοῦ τυφθεὶς, τυφθέντος γέγονε τυφθείην, οὕτως καὶ ἀπὸ τοῦ τεθεὶς, τεθέντος γέγονε τεθείην, τεθείης, τεθείη, τεθείητον, τεθειήτην, τεθείημεν, τεθείητε, τεθείησαν.

Θείμην—ἀπὸ τοῦ ἐθέμην γέγονε θείμην τὸ εὐκτικὸν, θεῖο, θεῖτο, θείμεθον, θεῖσθον, θείσθην, θείμεθα, θεῖσθε, θεῖντο.

Ὑποτακτικὰ ἐνεργητικὰ χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ. Ἐὰν τιθῶ. Εἴρηται ὅτι τὰ ἔχοντα τὴν μετοχὴν εἰς σ μετ' ὀξείας τάσεως, καὶ διὰ τοῦ ντ κλινομένην, εἰς ω μετὰ περισπωμένου ἔχουσι τὸ ὑποτακτικὸν, τιθεὶς, τιθέντος, ἐὰν τιθῶ.

Δεῖ δὲ γινώσκειν ὅτι τὰ ὑποτακτικὰ τοῦ ἐνεστῶτος καὶ παρατατικοῦ τῶν εἰς μι ὁμοφωνοῦσι τοῖς ἰδίοις πρωτοτύποις, οἷον, τιθῶ, ἐὰν τιθῶ.

Ἰστέον δὲ ὅτι ἡ τετάρτη συζυγία οὐκ ἔχει ὑποτακτικά· καὶ τὴν αἰτίαν ἐν τοῖς εἰς ω εἰρήκαμεν.

Φησὶν ὁ τεχνικὸς ὅτι τὰ δεύτερα καὶ τρίτα πρόσωπα τῶν εἰς μι, ἐπὶ τοῦ ἐνεστῶτος καὶ παρατατικοῦ δηλονότι, ἐπὶ μὲν τῆς πρώτης συζυγίας διὰ τοῦ η καὶ ι ἐκφέρεται· οἷον, ἐὰν τιθῶ, ἐὰν τιθῇς, ἐὰν τιθῇ· ἐπὶ δὲ τῆς δευτέρας διὰ τῆς αι διφθόγγου προσγραφομένου τοῦ ι, μὴ συνεκφωνουμένου δὲ, ἐὰν ἱστῶ, ἐὰν ἱστᾷς, ἐὰν ἱστᾷ· ἐπὶ δὲ τῆς τρίτης διὰ τοῦ ω μεγάλου, οἷον, ἐὰν διδῶ, ἐὰν διδῷς, ἐὰν διδῷ. ὡς καὶ Εὐριπίδης

δύναμιν ἣν διδῷ θεός. (Orest. 684.)

ταῦτα δὲ πάντα ἀκριβῶς εἴρηται ἐν τοῖς εἰς ω.

Ἀορίστου πρώτου καὶ μέλλοντος—Θήσω. Ἰστέον ὅτι ὥσπερ ἀπὸ τοῦ ἔτυψα γίνεται ἐὰν τύψω, οὕτως καὶ ἀπὸ τοῦ ἔθηκα ἔδει γενέσθαι ἐὰν θήκω. ἀλλ' ὡς πολλάκις εἴρηται, τὸ ἔθηκα, ἔδωκα, ἧκα οὐ κλίνεται μετὰ τὰ ὁριστικά· τοῦ οὖν ἀορίστου κωλυομένου κλίνεσθαι, ἐνταῦθα εἰκότως καὶ ὁ μέλλων κωλύεται ἔχειν ὑποτακτικὰ, ἐπειδὴ συνημμένος ἐστὶ τῷ ἀορίστῳ. ἐν γὰρ τοῖς ὑποτακτικοῖς ὁ ἀόριστος καὶ ὁ μέλλων ὁμοῦ εἰσί. κλίνομεν οὖν ἀντ' αὐτοῦ τὸ ἐὰν στήσω, εἴρηται.

Ἀόριστος δεύτερος—Ἐὰν θῶ. Ἰστέον ὅτι ὡς ἀπὸ τοῦ τυφθεὶς, τυφθέντος γίνεται ἐὰν τυφθῶ, οὕτως καὶ ἀπὸ τοῦ θεὶς, θέντος γίνεται ἐὰν θῶ.

Δεῖ δὲ γινώσκειν ὅτι ἐπὶ τῶν ὑποτακτικῶν τοῦ δευτέρου ἀορίστου τῶν εἰς μι τὰ δεύτερα καὶ τρίτα πρόσωπα ἐπὶ μὲν τῆς πρώτης καὶ δευτέρας συζυγίας διὰ τοῦ η καὶ ι ἐκφέρεται· οἷον, ἐὰν θῇς ἐὰν θῇ· ἐὰν στῇς, ἐὰν στῇ. Ἐπὶ δὲ τῆς τρίτης διὰ τῆς ωι διφθόγγου, ἐὰν δῷς, ἐὰν δῷ· ἐὰν γνῷς, ἐὰν γνῷ·

γνῷ δὲ καὶ Ἀτρείδης εὐρυκρείων Ἀγαμέμνων.

Δεῖ δὲ γινώσκειν ὅτι ἀόριστον δεύτερον μόνον λέγομεν καὶ οὐ μέλλοντα, ἐπειδὴ δεύτερος μέλλων οὐκ ἔστιν ἐν τοῖς ὁριστικοῖς.

Ὑποτακτικὰ παθητικὰ χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ. Ἐὰν τιθῶμαι. Ἰστέον ὅτι ἐκ τοῦ ἐτιθέμην γέγονεν ἐὰν τιθῶμαι, τροπῇ τῆς ἐσχάτης εἰς μαι· καὶ τὰ παραλήγοντα τῶν

φωνηέντων εἰς ω, καὶ ἀποβολῇ τῆς ἐν ἀρχῇ κλιτικῆς ἐκτάσεως· τὸν δὲ κανόνα εἰρήκαμεν ἐν τοῖς εἰς ω.

Δεῖ δὲ γινώσκειν ὅτι τὰ εἰς μι κατὰ τὸν ἐνεστῶτα τῶν ὑποτακτικῶν παθητικῶν προπερισπῶνται· οἷον, ἐὰν τιθῶμαι, ἐὰν διδῶμαι· χωρὶς εἰ μήπω εὑρεθῇ τὸ ἐνεργητικὸν ἐν χρήσει· ἐὰν γὰρ μὴ εὑρεθῇ τὸ ὑποτακτικὸν ἐν χρήσει, τότε τὸ παθητικὸν προπαροξύνεται· οἷον, ἐὰν δύνωμαι· ἐὰν κρέμωμαι· οὐκ ἔστι γὰρ τὸ δύνημι καὶ τὸ κρέμημι ἐν χρήσει. περὶ τῶν δευτέρων καὶ τρίτων προσώπων εἴρηται ἐν τοῖς εἰς ω.

Παρακείμενος καὶ ὑπερσυντελικὸς—Ἐὰν τεθῶμαι. Ἰστέον *ὅτι ἀπὸ τεθείμαι παθητικοῦ παρακειμένου γίνεται τὸ ὑποτακτικὸν, τροπῇ τῆς παραληγούσης εἰς ω, ἐὰν τεθῶμαι. ὁ μέντοι* Ἀπολλώνιος *οὐχ οὕτω κανονίζει, ἀλλὰ φησὶ ἀπὸ τοῦ ἐνεργητικοῦ γίνεσθαι προσθέσει τῆς μαι· οἷον, ἀπὸ τοῦ τεθείκω, ἐὰν τεθείκωμαι· ἐὰν δεδώκω, ἐὰν δεδώκωμαι. ἐλέγκει δὲ αὐτὸν ὁ* Ἡρωδιανὸς, *λέγων ὅτι οὐ καλῶς δοξάζει. οὐδὲ γὰρ φησὶν εὕρηται παντελῶς ἐν χρήσει τὸ ἐὰν τεθείκωμαι καὶ ἐὰν δεδώκωμαι· ἀλλ' ἐὰν τεθῶμαι, καὶ ἐὰν δεδῶμαι. ἄλλως τε εἰ ὑπῆρχεν ἀληθὴς ὁ λόγος τοῦ* Ἀπολλωνίου, *καὶ ἀπὸ τῶν ὑποτακτικῶν ἐνεργητικῶν τοῦ παρακειμένου καὶ ὑπερσυντελικοῦ ἐγίνετο τὸ ὑποτακτικὸν παθητικὸν προσθέσει τῆς μαι, ὤφειλεν ἐὰν τετύφωμαι εἶναι, καὶ μὴ ἀναπληροῦσθαι διὰ μετοχῆς· διὰ τὸν τέτυμμαι παθητικὸν παρακείμενον ἔχειν πρὸ τοῦ μ σύμφωνον· καὶ πάλιν ἐὰν μεμνήκαμαι ὤφειλεν εἶναι, καὶ οὐχὶ ἐὰν μέμνωμαι ἀπὸ τοῦ μέμνημαι.*

Ἀορίστου πρώτου καὶ μέλλοντος.—Ἐὰν τεθῶ. Ἰστέον *ὅτι ἀπὸ τοῦ τεθεὶς τεθέντος γέγονεν ἐὰν τιθῶ, ἐὰν τεθῇς, ἐὰν τεθῇ· ἐὰν τεθῆτον ἐὰν τεθῆτον, ἐὰν τεθῶμεν, ἐὰν τεθῆτε, ἐὰν τεθῶσιν εἴρηται.*

Μέσου ἀορίστου καὶ μέλλοντος. Ἐὰν θῶμαι. Ἰστέον *ὅτι ἀπὸ τοῦ ἐθέμην γέγονεν ἐὰν θῶμαι, τροπῇ τῆς ἐσχάτης εἰς μαι, καὶ τοῦ ἐν τῇ παραληγούσῃ φωνήεντος εἰς ω, καὶ ἀποβολῇ τῆς ἐν ἀρχῇ κλιτικῆς ἐκτάσεως.* Δεῖ *δὲ γινώσκειν ὅτι μέσου ἀορίστου μόνον ὤφειλεν εἰπεῖν, οὐ μὴν καὶ μέλλον-*

τος, ἐπεὶ δεύτερος μέλλων οὐκ ἔστιν ὡς εἴρηται· παρέλειπε δὲ ὁ τεχνικὸς τὸ ὑποτακτικὸν τοῦ μέσου πρώτου ἀορίστου καὶ μέλλοντος, ἐπειδὴ ὡς πολλάκις εἴρηται, τὸ ἔθηκα καὶ ἔδωκα καὶ ἧκα ἡμάρτηται· ἀντ' αὐτοῦ δὲ κλίνεται τὸ ἐὰν στήσωμαι.

Μετοχαὶ ἐνεργητικαὶ[a] χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ.—Τιθείς. Εἴρηται ὅτι πᾶν ῥῆμα ὁριστικὸν εἰς ν λῆγον μετὰ φυσικῆς μακρᾶς, μὴ ἔχον τὸ μ κλιτικὸν, εἰς σ μετ' ὀξείας τάσεως ποιεῖ τὴν μετοχήν. Ἰστέον δὲ ὅτι ἐν τοῖς εἰς μι κατὰ τὸν ἐνεστῶτα καὶ παρατατικὸν καὶ τὸν δεύτερον ἀόριστον τὸν ἐνεργητικὸν, ἐπὶ μὲν τῆς πρώτης συζυγίας διὰ τῆς ει διφθόγγου ἐκφέρεται ἡ μετοχὴ, οἷον, ἐτίθην, ὁ τιθείς· ἵην, ὁ ἱείς. Ἐπὶ τῆς δευτέρας συζυγίας εἰς ας ἐστὶν ἡ μετοχὴ διὰ ἐκτεταμένου τοῦ α· οἷον ἵστην, ἱστάς· ἔστην, στάς· ἔπτην, πτάς. Ἐπὶ δὲ τῆς τρίτης συζυγίας εἰς ους ἐστὶν ἡ μετοχὴ, οἷον, ἐδίδων, διδούς· ἥλων, ἁλούς. Ἐπὶ δὲ τῆς τετάρτης συζυγίας εἰς υς ἐστὶν ἡ μετοχὴ διὰ ἐκτεταμένου τοῦ υ, ἔδυν, δὺς, καὶ ὑποδύς. εὐλόγως δὲ ἐπὶ τῆς πρώτης συζυγίας τῶν εἰς μι διὰ διφθόγγου ἐστὶν ἡ μετοχὴ, ἐπειδὴ καὶ ἡ ἐντέλεια τοῦ πρωτοτύπου τὸ ε ἔχει· οἷον, τιθέω. τὸ δὲ ε διὰ τῆς προσθήκης τοῦ ι πέφυκε μεγεθύνεσθαι, οἷον τυφθέντος, τυφθεῖσα. οὐκ ἐδύνατο γὰρ τὸ η τοῦ ἰδίου ὁριστικοῦ, φημὶ δὴ τοῦ τίθημι, καὶ γενέσθαι εἰς ης διὰ τοῦ η· ἐπειδὴ θέλουσιν αἱ μετοχαὶ κατάληξιν ἁρμόζουσαν τριγενέος, καὶ κλίσιν τὴν διὰ τοῦ ντ. εἰς ης δὲ οὐκ ἔχομεν ὀνόματα, φημὶ δὴ διὰ τοῦ η, κλινομένου διὰ τοῦ ντ καὶ ποιοῦντος τριγένειαν, οἷον, λέβης, λέβητος· τὰ γὰρ εἰς ης διὰ τοῦ εος κλινόμενα ἔχουσι μὲν τριγένειαν, οἷον, ὁ εὐσεβὴς ἡ εὐσεβὴς, τὸ εὐσεβές· οὐκ ἔχουσι δὲ κλίσιν ἁρμόζουσαν μετοχαῖς, φημὶ δὴ τὴν διὰ τοῦ ντ. Τὰ γὰρ εἰς ης οὐδέποτε κλίνονται διὰ τοῦ ντ· τὸ γὰρ φθογγὴς, φθογγῆντος, καὶ τιμὴς, τιμῆντος, πεπονθότα εἰσίν. Ἡ δὲ δευτέρα συζυγία εἰκότως διὰ τοῦ α ἔχει τὴν

[a] Cod. Μετοχιτὰ ἐνεργητικὰ, sed rect. in marg.

μετοχὴν, οἷον, ἵστημι, ἱστάς· ἐπειδὴ ἡ ἐντέλεια τοῦ πρωτοτύπου τὸ α ἔχει. ἔχομεν δὲ καὶ εἰς ας ὀνόματα κλινόμενα διὰ τοῦ ντ, καὶ ποιοῦντα τριγένειαν· οἷον, ἅπας, ἅπαντος, ἅπασα, ἅπαν. περὶ δὲ τῆς μετοχῆς τῆς τρίτης συζυγίας τῶν εἰς μι λέγομεν, ὅτι διὰ τοῦτο οὐκ ἐφύλαξε τὸ ω τοῦ δίδωμι, ἐπειδὴ οὐκ ἔχομεν εἰς ω ὀνόματα κλινόμενα διὰ τοῦ τος, καὶ ποιοῦντα τριγένειαν, οἷον, ἱδρὼς, ἱδρῶτος. ὅθεν καὶ τὴν μετοχὴν τοῦ παρακειμένου καὶ ὑπερσυντελικοῦ ἐδείξαμεν ἀνάγκῃ εἰς ως γενομένην, ἐπειδὴ ἐκ τοῦ ὑποτακτικοῦ ἐγένετο τοῦ ἐὰν τετύφω. μὴ δυναμένη οὖν ἡ μετοχὴ τῆς τρίτης συζυγίας τῶν εἰς μι γενέσθαι εἰς ως, ἐφύλαξε τὸ ο ὑπάρχον ἐν τῇ ἐντελείᾳ τοῦ πρωτοτύπου, φημὶ δὴ τοῦ διδόω, καὶ προσέλαβεν τὸ υ, καὶ ἐγένετο διὰ τῆς ου διφθόγγου διδούς· τὸ γὰρ ο διὰ τῆς προσθήκης τοῦ υ πέφυκε μεγεθύνεσθαι· οἷον, τύπτοντος, τύπτουσα. Ἡ δὲ μετοχὴ τῆς τετάρτης συζυγίας τῶν εἰς μι εἰκότως ἔχει τὸ υ ἐκτεταμένον, ἐπειδὴ καὶ τὸ πρωτότυπον ἔχει αὐτό.

Ἄξιον δὲ ἐπιζητῆσαι, εἰ ἄρα τὰ εἰς ους καὶ τὰ εἰς υς ὀνόματα οὐ κλίνεται διὰ τοῦ ντ, πλὴν τοῦ ὀδοὺς, ὀδόντος, οἷον, βοῦς, βοός· ἡδὺς, ἡδέος· τὸ γὰρ πλακοῦς, πλακοῦντος, καὶ Σιμοῦς, Σιμοῦντος πεπονθότα εἰσίν· ἀπὸ γὰρ τοῦ πλακόεις καὶ Σιμόεις γεγόνασι.

Πῶς αἱ εἰς ους καὶ εἰς υς μετοχαὶ ἐκλίθησαν διὰ τοῦ ντ, οἷον, διδοὺς, διδόντος· πηγνὺς, πηγνύντος; ἔστιν οὖν εἰπεῖν ὅτι κατὰ συνεκδρομὴν ἐγένοντο τῶν ἄλλων μετοχῶν. ἐπειδὴ πᾶσα μετοχὴ περιττοσυλλάβως κλινομένη, διὰ τοῦ ντ κλίνεται, χωρὶς τῶν εἰς ως μετοχῶν τοῦ παρακειμένου καὶ ὑπερσυντελικοῦ· αὗται γὰρ διὰ καθαροῦ τοῦ τος κλίνονται. καὶ ἡ αἰτία εἴρηται ἐν τοῖς εἰς ω.

Ἰστέον ὅτι ὥσπερ ἀπὸ τοῦ τέτυφα γίνεται τετυφὼς, τετυφυῖα, τετυφὸς, οὕτω καὶ ἀπὸ τοῦ τέθεικα γίνεται τεθεικὼς, τεθεικυῖα, τεθεικός.

Ἰστέον ὅτι ὥσπερ ἀπὸ τοῦ ἐποίησα γίνεται ποιήσας, οὕτω καὶ ἀπὸ τοῦ ἔθηκα ὤφειλε γενέσθαι θήκας, θηκάντος· ἀλλ'

ὡς εἴρηται πολλάκις, τὸ ἔθηκα, ἔδωκα, ἧκα μετὰ τὰ ὁριστικὰ οὐ κλίνονται, οὔτε εἰς τὰς μετοχὰς, οὔτε εἰς τὰς λοιπὰς ἐγκλίσεις. ἀπὸ μέντοι τοῦ ἔστης γίνεται στήσας, στήσασα, στῆσαν.

Ἰστέον ὅτι ὥσπερ ἀπὸ τοῦ ἐτίθην γίνεται τιθεὶς, τιθεῖσα, τιθὲν, οὕτω καὶ ἀπὸ τοῦ ἔθην γίνεται θεὶς, θεῖσα, θέν.

Ἰστέον ὅτι ὥσπερ ἀπὸ τοῦ τύψω γίνεται τύψων, τύψουσα, τύψον, οὕτω καὶ ἀπὸ τοῦ θήσω γίνεται θήσων, θήσουσα, θῆσον.

Ἰστέον ὅτι ὥσπερ ἀπὸ τοῦ τύπτομαι γίνεται τυπτόμενος τυπτομένη, τυπτόμενον, οὕτως καὶ ἀπὸ τοῦ τίθεμαι γίνεται τιθέμενος, τιθεμένη, τιθεμένον.

Τεθεὶς, τεθεῖσα, τεθέν. ὥσπερ ἀπὸ τοῦ ἐτύφθην γέγονε τυφθεὶς, τυφθεῖσα, τυφθέν. οὕτω καὶ ἀπὸ τοῦ ἐτέθην γέγονε τεθεὶς, τεθεῖσα, τεθέν.

Θέμενος, θεμένη, θέμενον, ἀπὸ τοῦ ἐθέμην γέγονε· παρείασε δὲ ὁ τεχνικὸς τὴν μετοχὴν τοῦ μέσου ἀορίστου, ἐπειδὴ ὡς πολλάκις ἐμάθομεν, τὸ ἔθηκα, ἔδωκα, ἧκα μετὰ τὰ ὁριστικὰ οὐ κλίνονται, οὔτε γὰρ εἰς τὰς μετοχὰς, οὔτε εἰς τὰς λοιπὰς ἐγκλίσεις τὰς μετὰ τὰ ὁριστικά. ἀπὸ δὲ τοῦ ἔθηκα ἐστὶν ἐθηκάμην ἀόριστος μέσος πρῶτος. καὶ πῶς ἔχει κλιθῆναι εἰς μετοχάς; ἀπὸ μέντοι τοῦ ἐστησάμην γίνεται στησάμενος, ὥσπερ καὶ ἀπὸ τοῦ ἐτυψάμην, τυψάμενος.

Τεθησόμενος, τεθησομένη, τεθησόμενον. ὥσπερ ἀπὸ τοῦ τυφθήσομαι γέγονε τυφθησόμαι, γέγονε τυφθησόμενος, τυφθησομένη, τυφθησόμενον.

Θησόμενος, θησομένη, θησόμενον· ὥσπερ ἀπὸ τοῦ τύψομαι γέγονε τυψόμενος, τυψομένη, τυψόμενον· οὕτως καὶ ἀπὸ τοῦ θήσομαι γέγονε θησόμενος, θησομένη, θησόμενον. μετοχὴ μέσου μέλλοντος δευτέρου οὐκ ἔστιν.

Τέλος τῶν εἰς μι ῥημάτων.

Seq. eod. Cod. Τοῦ Ἀπολλωνίου περὶ Συντάξεως, sed quod non revera Apollonii est, sed anonymi Chris-

tiani satis amplus de Syntaxi tractatus; in quo autem exempla, e Libanio, Luciano, Aristide et hujusce farinæ auctoribus, semper fere derivantur. deinceps—Γεωργίου γραμματικοῦ τοῦ Χοιροβοσκοῦ περὶ τῶν ποιητικῶν τροπῶν. E quo quod ad Allegoriam attinet excerpere juvat, ut conferatur cum illis quæ exstant in ejusdem argumenti opusculo, quod vulgo Tryphoni assignatur [a].

Ἀλληγορία μὲν οὖν ἐστι λόγος ἕτερόν τι λέγων, καὶ ἑτέρου ἔννοιαν παριστῶν, ὡς τὸ λεγόμενον ἐν τῇ θείᾳ γραφῇ· ἐν οἷς πρὸς τὸν ὄφιν φησὶν ὁ Θεός· "ἐπικατάρατος σὺ ἀπὸ πάντων τῶν κτήτων." ὁ γὰρ λόγος πρὸς τὸν ὄφιν ἐστιν, ἐπὶ δὲ τοῦ διαβόλου ἀναλόγως αὐτὸν ἐκλαμβάνομεν, ἤγουν ἀλληγορικῶς. παραλαμβάνεται δὲ αὕτη καὶ διὰ σεμνότητα καὶ δι' εὐλάβειαν· σεμνότητα μὲν, ὡς ἔχει τὰ περὶ τῆς Ἥρας, ἐν οἷς φησὶν ὁ Ζεὺς πρὸς αὐτήν.

ἦ οὐ μέμνησ' ὅτ' ἐκρέμω ὑψόθεν, ἐκ δὲ ποδοῖϊν
ἄκμονας ἧκα δύο, περὶ δὲ χρύσειον δεσμὸν ἴηλα. (Il. O. 18.)

ἧς ἡ ἔννοια αὕτη· τῷ πέρατι τοῦ ἄερος, εἰς ὃν ἡ Ἥρα ἀλληγορεῖται, ἧτε γῆ καὶ τὸ ὕδωρ συνάπτονται, ἃ καὶ ἄκμονας ὡς βαρύτερα τῶν ἄλλων στοιχείων λέγει. χρύσειον δὲ δεσμὸν, τὴν περικεχυμένην τῷ ἀέρι αὐγὴν ἐκ τοῦ ἡλιακοῦ φωτὸς, ᾧ ἥνωται ὁ ἀήρ. Δι' εὐλάβειαν δὲ, ὡς τὸ

λῦσε δὲ παρθενίην ζώνην (Od. Λ. 244.)

ἀντὶ τοῦ ἔφθειρεν. ὡς καὶ παρὰ Καλλιμάχῳ·

τὸ πῦρ δέ τ' ἀνέκαυσας ἔρος οὐ πολλῇ κεχώρηκε φλογί

καὶ πάλιν,

ἴσχε δὲ δρόμου μαργῶντας ἵππους·
μὴ δευτέραν κάμψῃς, μήτι παρὰ νύσσῃ
δίφρον ἄξωσιν, ἐκ δὲ κύμβαχος κυβιστῇς [b].

ταῦτα οὐ κυρίως εἴρηται. οὔτε γὰρ περὶ πυρὸς, οὔτε ἱπποδρομίας ὁ λόγος αὐτῷ, ἀλλ' ὥσπερ αἰδούμενος εἰπεῖν ὃ ἐβούλετο, τῇ ἀλληγορίᾳ ἐχρήσατο.

[a] Vid. nos in Mus. Philolog. t. ii. p. 433. [b] Cod. κυβιστής.

Cod. Canon. 23. Chart. form. 12. Sæc. xiv. Continet Const. Manassis Hist. Chronol. tum in fine,

Περὶ Νουμίων. Νουμαίος ὁ βασιλεὺς Ῥώμης πρῶτος τῇ ἰδίᾳ εἰκόνι ἐχάραξεν, ὃς καὶ νουμία ἐκλήθησαν.

Ἐπὶ τῆς βασιλείας Κυροπαλάτου[c] καὶ Εἰρήνης εὑρέθησαν γράμματα κεκολαμένα. χὲ $\overset{\chi'}{\mu\acute{\epsilon}}$.

Πολιτείαν ἔσαξε Ῥαδάμανθος Κρῆς· ἐκκλησίαν Ἀρκάδες. Σύνοδον Ἑλλήνων καὶ δίκας Ἀμφιτρύων· μελισσῶν καρπὸς Ἀρισταῖος. Δικαστήριον ἐν Ἀρείῳ πάγῳ πρῶτον ἐγένετο, καὶ ἐκρίθη Ἄρης ὑπὸ Ποσειδόνος τὸν υἱὸν αὐτοῦ Ἀλιρρόθιον ἀποκτείνας.

Γράμματα εὗρον Φοίνικες καὶ Σύροι. Τῶν Ἑλληνικῶν γραμμάτων τὴν σύνταξιν Παλαμήδης ἐποιήσατο. ἦσαν δὲ δέκα καὶ ὀκτώ. προσεῦρε τούτοις Σιμωνίδης Κῖος τέσσαρα. η, σ, υ, ω. καὶ Ἐπίχαρμος Συρακούσιος δύο. γ, ε.

Μουσικὴν καὶ παιδείαν Μοῦσαι· λύραν καὶ σύριγγα πολυκάλαμον Ἑρμῆς· σύριγγα πλατεῖαν Σάτυρος Φρύξ· αὐλοὺς Ἀθηνᾶ· τρίχορδον καὶ τὴν ἐναρμονίαν Ὕαγνις Φρύξ· κρούματα Ὄλυμπος Μύσος· ᾠδὴν πρὸς κιθάραν Λῖνος· ὕμνους πρῶτος Στησίχορος Ἱμεραῖος[d]. **tum seq. tropor. poet. enumeratio. dein Anonymi sententiæ quæ ex Epicteto videntur depromptæ.**

Μηδέποτε ἐπὶ μηδενὸς εἴπῃς ὅτι ἀπώλεσα αὐτό· ἀλλ' ὅτι[e] ἀπέδωκα. τὸ παιδίον ἀπέθανεν; ἀπεδόθη. τὸ χωρίον ἀφῃρέθη; ἀπεδόθη. τί δέ σοι μέλλει διά τινός σε ὁ δοὺς ἀπῄτησεν; ὅταν δίδοται, ὡς ἀλλοτρίου ἐπιμελοῦ· ὡς τοῦ πανδοχείου οἱ παρίοντες. εἰ προκόψαι θέλεις, ἄφες τοιούτους ἐπι. λογισμούς. ἀμελήσω τῶν ὑμῶν· οὐχ ἕξει διαστροφάς· ἂν μὴ κολάσω τὸν παῖδα, πονηρὸς ἔσται. κρεῖσσον γάρ ἐστι λιμῷ ἀποθανεῖν ἄλυπον καὶ ἄφοβον γενόμενον, ἢ ζῆν ἐν ἀφθόνοις ταρασσόμενον. Κρεῖσσον δὲ καὶ τὸν παῖδα κακὸν εἶναι, ἢ σὲ κακοδαίμονα.

[c] $\overset{\tau o\upsilon}{\kappa\upsilon\rho\delta}$. [d] Cod. μεραῖος. [e] Cod. ἀλλότι.

Post hæc quædam ad res physicas spectantia.

Νεποδῶν τῶν ἐστερημένων ποδῶν—καὶ ἄξιον ἀπορῆσαι πῶς κινοῦνται πόδας μὴ ἔχοντα; λυτέον δὲ οὕτως. ὅτι διὰ τοῦ οὐραίου μέρους καὶ τῶν πτερύγων. ὄπισθεν μὲν γάρ τι τῶν ζώων οὐ κινεῖται. ἀλλ' οὐδὲ ὄπισθεν, ἐπεὶ μὴ δὲ ἔμπροσθεν· εἰ γὰρ καὶ ἔμπροσθεν κινοῦνται τὰ ζῶα, ἀλλ' οὖν τῷ δεξιῷ καὶ τῷ ἀριστερῷ. κινουμένων γὰρ τῶν χειρῶν καὶ τῶν ποδῶν συγκινούμεθα καὶ ἡμεῖς· ὥς τε καὶ οἱ ἰχθύες τῇ δεξιᾷ καὶ ἀριστερᾷ πτέρυγι κινοῦνται· καὶ τῷ οὐραίῳ καὶ αὐτῷ διαιρουμένῳ, εἴ τις ἐθέλοι προσχεῖν εἰσδύς. δῆλον δὲ κἀντεῦθεν, ὥσπερ εἴ τις κόψει πόδα τινὸς, οὐκ ἂν ὁ κολοβωθεὶς τοῦ μέρους τοῦ σώματος κινηθήσεται, οὕτω καὶ εἴ τις πτέρυγας τοῦ ἰχθύος ἀφέληται, ἀκίνητον τοῦτον εἰργάσατο.

Διατί οἱ ἰχθύες κατὰ κεφαλὴν ποιοῦνται τὴν κίνησιν; Ἰστέον ὅτι τοῖς ἰχθύσι τὸ ὀξὺ τῆς καρδίας πρὸς τῇ κεφαλῇ ἐστι· διὸ καὶ κατὰ κεφαλὴν ποιοῦνται τὴν κίνησιν· τοῖς δὲ τετράποσι ζώοις πρὸς τῷ στήθει· διὸ καὶ κατὰ στῆθος πορεύονται· ἡμεῖς δὲ πρὸς τοῖς δεξιοῖς μέρεσι· διότι ὅπερ εἶπον τῷ δεξιῷ καὶ τῷ ἀριστερῷ κινούμεθα.

Πελαργὸς πτηνὸν κάλλιστον· ἡνίκα γὰρ ἔλθῃ τὸ ἔαρ ἀφίπτανται πάντες ὁμοῦ στρατολογήσαντες καὶ ἄλλων ὀρνέων διαφορὰς χῆνας ἀγρίους, νήσσας καὶ πᾶν εἶδος ὀρνέων, ἀπό τε τῆς Αἰγύπτου καὶ Λιβύης καὶ Συρίας. ἀφίπτανται δὲ καὶ ἔρχονται εἰς Λυκίαν εἰς τὸν λεγόμενον Ξάνθον ποταμόν· καὶ συνάπτουσι πόλεμον ἐκεῖσε μετὰ τῶν κοράκων καὶ κολοιῶν καὶ κορωνῶν καὶ γυπῶν, καὶ τῶν λοιπῶν σαρκοβόρων ὀρνέων· δεῖ γὰρ κἀκεῖνα ἐπιστάμενα τὸν καιρὸν εὑρεθῆναι πάντα τῶν μετὰ πελεκάνων τὰ στρατεύματα, καὶ τῶν γεράνων καὶ τῶν λοιπῶν ἐνύδρων καὶ τῶν ὀσπρεοφάγων ἐν τῷ ἑνὶ μέρει τοῦ χείλους τοῦ ποταμοῦ. παρατάσσονται δὲ τὰ τῶν κοράκων καὶ γυπῶν καὶ ὅλων τῶν σαρκοφάγων ὀρνέων, ἐκ τοῦ ἑτέρου χείλους τοῦ ποταμοῦ. ὅλον δὲ τὸν ἕκτον μῆνα εἰς τὸν πόλεμον καρτεροῦσι. οἴδασι δὲ τὰς ἡμέρας ἐν αἷς ὀφείλουσι συγκροῦσαι· καὶ ἔστιν ἀκοῦσαι κραυγῆς ἕως τῶν οὐρανῶν, καὶ

ἰδεῖν ἐν τῷ ποταμῷ τιτρωσκομένων τῶν ὀρνέων καὶ πτερῶν ἀμυθήτων ἀπόρροιαν· ὅθεν οἱ Λύκιοι εἰς τὰς στρωμνὰς αὐτῶν κέχρηνται τοῖς τούτων πτεροῖς· μετὰ δὲ τὴν ἐπάνοδον τοῦ πολέμου ἴδῃς ἂν τετραυματισμένας τὰς κορώνας καὶ τὰ λοιπὰ τῶν σαρκοβόρων ὀρνέων πλήθη, ὁμοίως καὶ τῶν πελαργῶν καὶ τῶν πελεκάνων οὐκ ὀλίγα πλήθη τῶν σὺν αὐτοῖς ὀρνέων. πολλὰ δὲ καὶ ἐν τῷ ποταμῷ πίπτουσιν νεκρά· σημεῖον δέ ἐστιν ὁ πρὸς ἀλλήλους πόλεμος, καὶ ἡ ἐξοπέτρων[m] νίκη πᾶσιν ἀνθρώποις· ἐὰν γὰρ τὸ τῶν πελαργῶν στράτευμα νικήσῃ, πλῆθος καὶ εὐθηνία σίτου καὶ τῶν ἄλλων σπερμάτων· ἐὰν δὲ τὸ τῶν κοράκων νικήσῃ, πλῆθος ἔσται προβάτων καὶ βοῶν καὶ τῶν ἄλλων τετραπόδων.

Οἱ δὲ πελαργοὶ ἔχουσι καὶ ἄλλο φυσικὸν ἐξαίρετον. ὅτε γὰρ οἱ γονεῖς αὐτῶν γηράσωσι, καὶ οὐ δύνανται ἵπτασθαι, τὰ τέκνα ἑκατέρωθεν τῶν μασχαλῶν βαστάζει· μεταφέρουσιν ἀπὸ τόπου εἰς τόπον, καὶ οὕτω τρέφουσιν· ἐὰν δὲ μὴ βλέπωσιν, ψωμίζουσιν αὐτοὺς τὰ τέκνα· καὶ λέγεται ἡ παρ' αὐτῶν ἀμοιβὴ καὶ ἀπόδωσις ἀντιπελάργωσις.

Seq. πρὸς τὸν ἐν φιλοσόφοις μεγα * * * * κάλλος καὶ ἁγιώτατον ἱερομόναχον Νικήφορον τὸν Βλεμίδην περὶ εὐγενείας.

Inc. Ἀλλ' ὦ τῆς εὐταξίας καὶ εὐβουλίας τῶν στρατηγῶν ὦ τῆς τῶν οἰκονόμων δικαιοσύνης τε καὶ φρονήσεως, fr. duo pag.

Cod. Barocc. 162. Chart. cont. Procl. Comment. in Alcib. Plat. xiv. Sæc. et vers. fin. Schol. in A. Iliad. et Paraphr. quæ in Catalog. tribuuntur Andreæ Dono. de hoc autem silet codex, cujus hæc pars xv. Sæc. est.

Ὦ θεὰ Καλλιόπη εἰπὲ ἀκριβῶς ἐν ἐμμελείᾳ ποιητικῇ τὰ κατὰ τὴν μῆνιν τοῦ Ἀχιλλέως τοῦ υἱοῦ τοῦ Πηλέως. κ. τ. λ. Paraphr. in marg. descripta. Schol. interiore pagina exarata sunt.

[m] Sic. leg. ἐξ ὁποτέρων.

Ζητεῖται δὲ τοῦτο. διατί ἀπὸ τῆς μήνιδος ἤρξατο ὁ ποιητὴς, τοῦ δυσφήμου ὀνόματος; καὶ λέγομεν, διὰ δύο ταῦτα. κ. τ. λ.

Διατί δὲ ἀπὸ τῶν τελευταίων ἤρξατο ὁ ποιητὴς τοῦ πολέμου γράφειν; καὶ λέγομεν, ὅτι ἅπας μὲν ὁ χρόνος ὁ πρὸ τοῦδε οὐκ ἔσχεν οὕτω συνεχεῖς τὰς μάχας κ. τ. λ.

Διατί φαίνεται προστάσσων τῇ Μούσῃ τῇ θεᾷ, καὶ οὐχ ὡς εὐχόμενος αὐτῇ; καὶ λέγομεν ὅτι τὰ προστακτικὰ ἐνταῦθα ἀντὶ εὐκτικῶν λαμβάνονται κ. τ. λ.

Ἰστέον δὲ καὶ τοῦτο· ὅτι δύο εἴδη θεῶν εὑρίσκομεν παρὰ τῷ ποιητῇ· τὸ μὲν συντελοῦν εἰς τὴν ποίησιν, καὶ πάθεσιν ὑποκείμενον παντοδαποῖς· τὸ δὲ ἀκήρατον· περὶ οὗ φησί·

θεοὶ ῥεῖα ζώοντες. (Il. Z. 138.)

Ἀχιλῆος: Ἰστέον δὲ ὅτι ὥσπερ ὁ Ὀδυσσεὺς ποτὲ μὲν ἐκφέρεται διὰ δύο σσ παρὰ τῷ ποιητῇ, ποτὲ δὲ δι' ἑνὸς, οὕτω καὶ Ἀχιλλεὺς, ποτὲ μὲν δι' ἑνὸς, ὡς ἐν τῷ Ἀχιλῆος, ποτὲ δὲ διὰ δύο, ὡς ἐν πλείοσι τόποις.

Ἐπαγωνίζονται δὲ ἄλλοι μὲν τοῦ ἑνὸς λ, ἕτεροι δὲ τῶν δύο λλ· καὶ τὰ μὲν δύο τιθέντες, ἢ ἀπὸ τοῦ ἄχος ἴαλλειν, τουτέστι λύπην ἐμβάλλειν, ἐτυμολογοῦσιν, ὅτι ἔμελλε λυπεῖν φερωνύμως τοὺς καταπονουμένους, ὡς καὶ Ἀπόλλων δοκεῖ τισὶν ὀνομάζεσθαι ἐκ τοῦ ἀπόλλειν, ἢ κατὰ πλεονασμὸν τοῦ ἑτέρου λ, διὰ τὸ ἐμφανοτερον, ὥσπερ γίνεται καὶ ἐπὶ τοῦ ἀλλὰ συνδεσμοῦ καὶ ἐπὶ ἑτέρων πολλῶν.

Οἱ δὲ συνηγοροῦντες τῷ ἑνὶ λ, φασὶν οὕτως· πρῶτον μὲν ἀπὸ τῆς ἀναλογίας, ἵνα ᾖ ὅμοιον τῷ Ἰλεὺς, βασιλεύς· εἶτα καὶ ἐκ τῆς ἐτυμολογίας. Ἀχιλεὺς γὰρ ἀπὸ τοῦ εἶναι ἄχος τοῖς Ἰλεῦσιν ἤγουν τοῖς Τρωσὶ κατὰ φερωνυμίαν· ὑπὸ γὰρ θείας προνοίας, ὡς ἔφη Καλλίμαχος [n], ἐκλήθη οὕτως. ἢ ἀπὸ τοῦ α στερητικοῦ μορίου, καὶ τοῦ χιλὸς, ὅ ἐστιν ἡ τροφὴ τῶν σπορίμων· οὐ γὰρ δημητρίῳ καρπῷ ἐτρέφετο ὁ Ἀχιλλεὺς, ἀλλὰ μυελοῖς ζώων καὶ δημῷ προβάτων, ὅτε ἦν βρέφος· εἶτα

[n] καθά τις ἔφη Eustath. Il. A. p. 11, 27. Bas.

κρέασι τοῖς ἐκ τοῦ κυνηγεῖν, ὅτε ὁ Χείρων ἐπαιδαγωγεῖ αὐτὸν καὶ ἐξέτρεφε, καὶ εἰς ἐπιστήμην τῶν τακτικῶν ἀγαγὼν, ἄριστον πολεμιστὴν εἰς Τροίαν ἀπέστειλεν ἡπηνήτην[o] ὄντα κατὰ τὴν ἱστορίαν.

Ἄιδειν τὸ ψάλλειν σημαίνει καὶ τὸ φημίζειν· καὶ παθητικῶς ᾄδεται μέλος, ἤγουν ψάλλεται· καὶ ᾄδεται λόγος, ἤγουν φημίζεται καὶ περιλαλεῖται.

Ἀπὸ τοῦ ᾄδειν τὸ ψάλλειν, λέγεται ᾄδειν καὶ τὸ ἐμμέτρως καὶ ἐμμέλως λέγειν· καθὸ λέγονται καὶ οἱ ποιηταὶ ᾄδειν, μετρικῆς καὶ ἐμμελικῆς χάριτος φροντίζοντες, καὶ ἔτι συγγραφεῖς καὶ ῥήτορες ἐν ἐπαίνου μοίρᾳ· τούτοις γὰρ εἰ καὶ μὴ μέτρα εἰσὶ τεταγμένα, ἀλλ' οὖν ὁ λόγος εὔρυθμος ἐστὶν ἄλλως αὐτοῖς καὶ πλησίον μέτρου.

Οὐλομένην: παρὰ τὸ ὀλοὸν καὶ τὸ μένος συντίθησιν ὁ Πορφύριος[p] τὸν οὐλόμενον καὶ τὴν οὐλομένην μῆνιν· ἔστι γάρ, φησιν, οὐλόμενος μὲν, ὁ ἔχων ὀλοὸν μένος ἤγουν σθένος· τουτέστι ὁ κεκτημένος φθαρτικὴν ἀρετήν· ἀρετὴ γὰρ τὸ σθένος ἤγουν ἡ δύναμις. οὐλομένη δὲ μῆνις ἡ γεγεννημένη ἐξ ὅλου μένους· οὐ γὰρ αὐτὴ εἶχε τὸ οὐλοὸν μένος ἀλλ' ὁ Ἀχιλλεὺς ὁ χρησάμενος αὐτῇ. Οὐ δοκεῖ δὲ ἀκριβῶς ἔχειν τὴν ἀπόδοσιν ταύτην· λέγεται γὰρ καὶ οὐλόμενον γῆρας· καὶ οὐλομένη πενία, καὶ οὐλόμενον Πάριν, ὁ Εὐριπίδης φησὶν, (Orest. 1364.) ἐφ' ὧν οὐκ ἔχει χώραν οὐδεμίαν ταῦτα σημαινόμενα. τῷ μὲν γὰρ Παρίδι σθένος οὐδεὶς μαρτυρεῖ. πενία δὲ καὶ γῆρας, πῶς ἂν εἴη κατὰ ταῦτα οὐλόμενα. εἰ δὲ ἐπὶ τούτων βιάσαιτό τις τὸν λόγον μεταφέρων τὸ σημαινόμενον ἐπὶ τῆς βλαπτικῆς ἁπλῶς ὁρμῆς καὶ δραστηριότητος, ἀλλ' ἐπὶ τοῦ Πάριδος κατ' οὐδεμίαν ἁρμόσειεν ἂν μηχανήν. Ἔστι δὲ ταῦτα μᾶλλον ὡς ἔοικεν ὀνόματα μετοχικὰ ἀπὸ τοῦ ὄλω· ὁ μέλλων ὀλῶ, ὁ ἀόριστος πρῶτος ὦλα· ὁ δεύτερος ὦλον, ὁ μέσος δεύτερος ἀόριστος ὠλόμην· ἀφ' οὗ οὐλόμενος καὶ οὐλομένη· καὶ δηλοῖ τὸν ἀπωλείας ἄξιον, καὶ τὴν ἀπω-

[o] leg. ὑπηνήτην cum Eustath. [p] Cf. Eustath. p. 12, 9.

λείας ἀξίαν. ὀνόματα δὲ εἶπον μετοχικὰ ἀλλ' οὐ μετοχὰς, ἐπεὶ εἰ ἦσαν μετοχαὶ, ἔμενον ἂν ἐπὶ τοῦ σημαινομένου τῆς μετοχῆς· καὶ ἦν ἂν οὐλόμενος ὁ φθαρεὶς, καὶ οὐλομένη ἡ φθαρεῖσα· νῦν δὲ, ἐπειδὴ μετέπεσον ἐφ' ἕτερον σημαινόμενον ἀπέστησαν καὶ τοῦ εἶναι μετοχαί.

Διὸς δὲ ἐτελείετο βουλή: οἱ μὲν λέγουσιν, ὅτι τὴν γῆν βαρουμένην ὑπὸ πολυπληθυίας ἀνθρώπων, καὶ μηδεμιᾶς οὔσης εὐσεβείας, αἰτῆσαι τὸν Δία κουφισθῆναι τοῦ ἄχθους· καὶ πρῶτον μὲν ἠθέλησε τὸ χαλκοῦν γένος ἀπολέσαι· ὁ δὲ Δευκαλίων ὁ υἱὸς τοῦ Προμηθέως βασιλεύων τῶν περὶ τὴν Φθίαν τόπων ἔσχε γυναῖκα Πύρραν τὴν θυγατέρα Ἐπιμηθέως καὶ Πανδώρας· ἣν Πανδώραν ἔπλασαν οἱ θεοὶ πρώτην γυναῖκα· καὶ ἐπειδὴ ὡς εἶπον ὁ Ζεὺς ἠθέλησε τὸ χαλκοῦν γένος ἀπόλεσαι ὑποθεμένου Προμηθέως, ὁ Δευκαλίων τεκτηνάμενος λάρνακα καὶ τὰ ἐπιτήδεια ἐνθέμενος ταύτῃ μετὰ Πύρρας ἀνέβη· τότε ὁ Ζεὺς πολὺν ὑετὸν ἀπὸ τοῦ οὐρανοῦ χέας, τὰ πλεῖστα μέρη τῆς Ἕλλαδος κατέκλυσεν. τότε καὶ τὰ στενώματα τὰ ὄντα κατὰ τὴν Θεσσαλίαν καὶ τὰ Τέμπεα διέστη. καὶ πάντα τὰ ἐκτὸς τοῦ Ἰσθμοῦ καὶ τῆς Πελοποννήσου συνεχέθη. Δευκαλίων δὲ διὰ τοῦ ὕδατος ἐν τῇ λάρνακι φερόμενος ἐφ' ἡμέρας ἐννέα καὶ νύκτας τοσαύτας τῷ Παρνασῷ περιίσχει· καὶ τῶν ὄμβρων παῦλαν λαβόντων ἐκβὰς ἔθυσε Διὶ Φυτίῳ· τότε ὁ Ζεὺς πέμψας Ἑρμῆν πρὸς αὐτὸν ἐπέτρεψε ζητῆσαι ὅτι βούλεται. ὁ δὲ ᾔτησε γενέσθαι πάλιν ἀνθρώπους· καὶ Διὸς εἰπόντος ὑπὲρ κεφαλὴν ἔβαλεν ὀπίσω λίθους· καὶ οὓς μὲν ἔβαλεν ὁ Δευκαλίων ἄνδρες ἐγένοντο, οὓς δὲ ἡ Πύρρα, γυναῖκες. καὶ πάλιν τῶν ἀνθρώπων ζώντων ἐν ἀσεβείᾳ ἠθέλησεν ὁ Ζεὺς ποιῆσαι τὸν Θηβαϊκὸν πόλεμον, δι' οὗ πολλοὺς ἀπώλεσε πάνυ. ὕστερον δὲ πάλιν χρησάμενος ὁ Ζεὺς συμβούλῳ τῷ Μώμῳ, ἐπειδὴ οἷός τε ἦν κεραυνοῖς φθεῖραι πάντας, ὑπὸ τούτου ἐκωλύθη· ὑποθεμένου δὲ τοῦ Μώμου τῷ Διῒ γνώμας δύο, τὴν θνητογαμίαν τῆς Θέτιδος καὶ θυγατρὸς καλὴν γένναν, ἤγουν τῆς Ἑλένης, θυγάτηρ ἦν αὕτη Διὸς, ἐγένετο πόλεμος μέγας τοῖς Ἕλλησι καὶ τοῖς

βαρβάροις. ὑφ' οὗ συνέβη κουφισθῆναι τὴν γῆν. Καὶ ταῦτα μὲν οὕτω, τὰ παρὰ τοῖς νεωτέροις ἱστορούμενα περὶ τῆς τοῦ Διὸς βουλῆς. κατὰ δὲ Ἀρίσταρχον, βουλὴν εἶναι λέγει Διὸς τὴν ὑπόσχεσιν, ἣν ὑπέσχετο τῇ Θέτιδι ἐκδικῆσαι τὴν τοῦ παιδὸς αὐτῆς ἀτιμίαν, τοῦ Ἀχιλλέως δηλονότι· καθάπερ καὶ τὰ κεφάλαια ἐν τῷ προοιμίῳ κεῖνται τῆς ποιήσεως.

Στέμματ' ἔχων ἐν χερσὶν ἑκατηβόλου Ἀπόλλωνος: Ἰστέον ὅτι Λάδων ὁ ἐν Ἀρκαδίᾳ ποταμὸς τῇ γῇ συγγενόμενος ἐγέννησε Δάφνην πάνυ ὡραῖαν κατὰ τὸ εἶδος· ταύτης ἐρασθεὶς ὁ Ἀπόλλων ἐδίωκεν αὐτὴν, καὶ παραμυθουμένη τὸν Ἀπόλλωνα φυτὸν ὁμώνυμον τῇ κόρῃ ἀνέδωκεν, ὃ δάφνη καλεῖται· ἔστι δὲ ἀειθαλὲς, ὅτι καὶ ἡ κόρη ἄφθαρτος ἐκ τοῦ Ἀπόλλωνος ἔμεινεν. ὁ Ἀπόλλων δὲ ἰδὼν τὸ γεγονὸς κατεπλάγη, καὶ πλέξας στέφανον ἐκ τῶν φύλλων τοῦ φυτοῦ ἐστεφάνωσε τὴν αὐτοῦ κεφαλὴν, διὰ τὸν ἔρωτα τῆς κόρης· ὅθεν καὶ ἐν τῷ ναῷ τοῦ Ἀπόλλωνος στέμματα ἦσαν ἀπὸ δάφνης κατεσκευασμένα· ὅθεν καὶ οἱ ἱερεῖς αὐτοῦ κατέχοντες ταῦτα ἱκέτευον· καὶ οἱ μάντεις δι' εὐφροσύνην τοῦ Ἀπόλλωνος δάφνας ἤσθιον.

Ἀτρείδα δὲ μάλιστα δύο: Δοκεῖ παρέλκειν τὸ δύω· πάντως γὰρ ὁ ἀκούσας

Ἀτρείδα κοσμήτορε λαῶν (Il. A. 16.)

δύω νοεῖ· εἰ καὶ μὴ ῥητῶς τὸ δύο πρόσκειται· τοιοῦτον ἐστὶ καὶ τὸ δύω δοῦρε καὶ ἄλλα ὅμοια· καλοῦσι δὲ τοῦτο τὸ σχῆμα ἀδολεσχίαν οἱ σοφοί· ὅτε ἀπό τινος λέξεως ἐντελῶς διδούσης τὸν νοῦν εὑρεθῇ τιθέμενον ἄλλο ἐκ περισσοῦ ἐκφωνούμενον, καὶ γίνεται διττολογία· τοιοῦτόν ἐστι καὶ παρ' Ἀριστοφάνει[q] τὸ

διὰ μικρὸν ἀργυρίδιον

τὸ γὰρ εἰπεῖν ἀργυρίδιον τὸ μικρὸν καὶ ὀλίγον δηλοῖ· ἄρα παρελκόντως κεῖται τὸ μικρόν· ἀλλ' ἔχουσι ἀπολογίαν τὰ

[q] Eustath. p. 20, 2. παρὰ τῷ κωμικῷ. addend. ergo fragm. Aristoph.

τοιαῦτα, οὐ μόνον τὸν συνήθη τῇ ποιήσει πλεονασμὸν, ἀλλὰ τὴν ἀπὸ τῆς τοιαύτης προσθήκης σαφήνειαν· οἴδαμεν γὰρ τὸν ποιητὴν καθόλου οὐδεμίαν προσθήκην ἀπορρίπτοντα κενῶς.

Ἱστὸν ἐποιχομένην: Ἰστέον ὅτι αἱ παλαιαὶ γυναῖκες ἑστῶσαι ὕφαινον, καὶ ἐπιπορευόμεναι τὸν ἱστὸν, ὅθεν καὶ ὁ ποιητὴς ἐποιχομένην φησίν. ἐκ δὲ γυναικός τινος Αἰγυπτίας ἔμαθον ὕστερον αἱ τῶν Ἑλλήνων γυναῖκες ὑφαίνειν καθεζόμεναι.

Ἑέλδωρ· τὸ ἐπιθύμημα: ἔστιν ἕλδω τὸ ἐπιθυμῶ· ὅπερ γέγονεν ἀπὸ τοῦ ἕλκω. κατὰ μετάθεσιν τοῦ κ εἰς δ· εἰς ὃ γάρ τις ἐπιθυμεῖ, ἐκεῖ καὶ ἕλκεται· ἐκ τοῦ ἕλδω οὖν γίνεται ἕλδωρ, καὶ πλεονασμῷ τοῦ ε ἐέλδωρ: ἢ παρὰ τὸ θέλω, γίνεται δέλω κατὰ τροπὴν τοῦ θ εἰς δ κατὰ Μακεδόνας· καὶ καθ' ὑπέρθεσιν ἕλδω, καὶ πλεονασμῷ ἑτέρου ε, ἐέλδω· ὅθεν ὄνομα ἐέλδωρ.

Ἀλλ' ἄγε δή τινα μάντιν ἐρείομεν ἢ ἱερῆα: Οὐ περιεκτικὸν ὄνομα ἐνταῦθα τοῦ ἱερέως καὶ τοῦ ὀνειροπόλου ἀξιοῖ ὁ Πορφύριος εἶναι τὸν μάντιν· ἐπιχειρεῖ δὲ τοῦτο διὰ τῶν τοιούτων ἀποδεικνύναι. φησὶ μέν· ὁ Ὅμηρος ὁπόταν τὸ γένος προείπῃ καὶ τὸ περιεκτικὸν τινῶν εἴωθεν ἐπιφέρειν καὶ τὰ περιεχόμενα εἴδη, οὐ μέντοι διὰ τοῦ διαζευκτικοῦ συνδεσμοῦ, ὅς οὐκ ἔστι συναγωγὸς, ἀλλὰ διὰ τοῦ τε τοῦ συμπλεκτικοῦ τε καὶ ἀναφορικοῦ, ὥσπερ ἐν τούτοις·

καὶ πολλὰ δὲ ἀγάλματ' ἀνῆψε Od. Γ. 274.

τίνα οὖν ταῦτα;

ὑφάσματά τε χρυσόν τε.

διὰ τῶν τοιούτων ἀποδείκνυσιν. ἴσως δὲ οὐκ ἀσφαλῶς· τότε γὰρ ὁ Ὅμηρος τὰ περιεχόμενα εἴδη ἐπιφέρει διὰ τοῦ τε συνδέσμου, ὅτε συνηγμένως αὐτὰ δηλοῦν βούλεται· οὐ μὴν ὅτε διῃρημένως· ἡ διαίρεσις γὰρ τὸν διαζευκτικὸν σύνδεσμον ἀπαιτεῖ, εἴτε εἴδη εἰσὶ τὰ ἐπιφερόμενα, εἴτε ὀνόματα καὶ ἄλλον ἔχοντα τρόπον· ἐνταῦθα δὲ τὴν διαίρεσιν ἀπαιτοῦντος τοῦ λόγου, οὐδὲν κωλύει τὸ μὲν εἶναι περιεκτικὸν, τὰ δὲ καὶ περιεχόμενα καὶ διὰ τοῦ ἢ ἐπιφερόμενα· μάντιν γάρ φησιν

ἐρείομεν· εἶτα ἐπιφέρει ἢ ἱερῆα ἢ καὶ ὀνειροπόλον· ἕνα τινα δηλονότι τούτων· οὐ μέντοι καὶ ἀμφοτέρους ἐξ ἀνάγκης· εἰ δὲ εἶχεν ὁ λόγος ταύτην τὴν ἀνάγκην, τοῦτο δὲ οὐδαμόθεν ἐνταῦθα δείκνυται, διὰ τοῦ τέ ἂν ἐπέφερεν· ἢ ἄλλον τρόπον εἶχεν ἂν ἡ διάνοια τοῦ λόγου, ὡς ὁ Πορφύριος ἀξιοῖ.

Ἄχος δὲ γίνεται ἀπὸ τοῦ α τοῦ σημαίνοντος τὸ κακὸν, καὶ τοῦ ἔχω· ὁ γὰρ λύπην ἔχων κακὸν ἔχει· ὁ δὲ Γεώργιος ὁ Χοιροβοσκὸς ἐτυμολογεῖ ἀπὸ τοῦ χῶ, ὃ δηλοῖ τὸ χωρῶ· γίνεται χος, καὶ μετὰ τοῦ α στερητικοῦ ἄχος· ἤγουν τὸ μὴ χωρούμενον διὰ τὴν λύπην.

Ἰστέον δὲ ὅτι τὸ "οὐ ἕθεν," οὐκ ἔστιν ἀπὸ τοῦ ἕθεν κατὰ Δημόνικον· ἀλλ' ἀπὸ τοῦ οὗ τῆς γενικῆς τοῦ τρίτου προσώπου τῶν ἀντωνυμιῶν, ὃ σημαίνει τοῦ αὐτοῦ· γίνεται οὔεν, ἤγουν οὐδαμῶς, καὶ μετὰ τὴν ἔγκλισιν παρηκολούθησε πάθος, καὶ ἐγένετο οὔεθεν.

Ἰστέον ὅτι τὸ ἄρνυμαι τρία δηλοῖ κατὰ Ἀπίωνα τὸν διδάσκαλον· τὸ λαμβάνω, τὸ τιμωροῦμαι, καὶ τὸ ἀντικαταλλάσσομαι καὶ δίδωμι· ἐνταῦθα δὲ τὸ καταλλάσσομαι καὶ πραγματεύομαι δηλοῖ.

Ἰστέον ὅτι οἱ βασιλεῖς ἐκ τῆς σειρᾶς τοῦ Διὸς εἰσὶν, οἱ δὲ κιθαρισταὶ καὶ μουσικοὶ καὶ ἀοιδοὶ ἐκ τοῦ Ἀπόλλωνος καὶ τῶν Μουσῶν εἰσὶν, ὡς φησὶν Ἡσίοδος,

> ἔκπαστοι Μουσάων καὶ ἐκηβόλου Ἀπόλλωνος
> ἄνδρες ἀοιδοὶ ἐπὶ χθονὶ καὶ κιθαρισταὶ,
> ἐκ δὲ Διὸς βασιλῆες. (Theog. 94.)

Ἰστέον ὅτι κατὰ τὸν Πορφύριον, ἑταῖροι λέγονται οἱ προς[r] κατὰ φιλίαν, φίλοι δὲ λέγονται οἱ οἰκεῖοι καὶ κατὰ γένος προσήκοντες· ἔται δὲ λέγονται οἱ συνέστιοι φίλοι· γείτονες δὲ οἱ μένοντες πλησίον.

Λάσιον μὲν τὸ δασὺ καὶ τριχῶδες· οἱ γὰρ φυσικοὶ λέγουσιν, αἰτία γίνεται ἡ θέρμη τῆς ἐκφύσεως τῶν τριχῶν· τινὲς δὲ λέγουσιν ὅτι λάσιον μὲν τὸ ἁπλῶς τρίχας ἔχον· οὐ τὸ δασύτριχον δὲ, καὶ ἀπὸ τούτου δῆλον·

[r] Leg. προσήκοντες.

ἐκ μὲν γὰρ λασίοιο δασύτριχος εἶχε τράγοιο
κνακὸν δέρμα— (Theocr. VII. 16.)

εἰ γὰρ τὸ λάσιον τὸ δασύτριχον ἐδήλου, εἰπὼν δὴ ἐνταῦθα λασίοιο οὐκ ἂν ἐπῆγε δασύτριχος· λέγεται μὲν οὖν κυρίως τὸ λάσιον ἐπὶ τοῦ τρίχας ἔχοντος ἁπλῶς, καταχρηστικῶς δέ ἐστιν, ὅτε καὶ ἐπὶ τοῦ δασείας αὐτὰς ἔχοντος· καθὸ λέγεται πώγων λάσιος.

Ἰστέον ὅτι ἀπὸ τοῦ ὑφαιρῶ γίνεται ὕφρις, καὶ τροπῇ τοῦ φ εἰς β ὕβρις· ὑφαιρεῖ γὰρ ἡ ὕβρις κρυφίως πως τὴν τιμὴν τοῦ ἀνθρώπου, ὁ Χοιροβοσκὸς ἐτυμολογεῖ ἀπὸ τοῦ ὑβάλω, ὃ δηλοῖ τὸ ἐμποδίζω· γίνεται μὲν ὕβαλις, καὶ κατὰ συγκοπὴν ὕβλις, καὶ τροπῇ τοῦ λ εἰς ρ, ὕβρις· ἐμποδίζει γὰρ ἡ ὕβρις τὴν τιμὴν μὴ αὐξάνεσθαι.

Μετὰ δαίμονας ἄλλους—*Οὕτω καλεῖ τοὺς θεούς· ἔμπειροι γὰρ πάντων καὶ ἴδριες εἰσὶν αὐτοί· ὅτι διαιτηταὶ εἰσὶ καὶ διοικηταὶ τῶν ἀνθρώπων. Ἀλκμὰν ὁ λυρικός φησιν*

οἱ ἔθεν πάλλοις ἔπαλλε δαίμονας

ἐδάσατο τοὺς μερισμοὺς καὶ τὰς διαιτήσας αὐτῶν. Ἡσίοδος δὲ δαίμονας καλεῖ τοὺς ἐκ τῆς ζωῆς μεταστάντας, ὄντας δὲ ἐπὶ τῆς τοῦ Κρόνου βασιλείας τοῦ χρυσοῦ γένους, λέγων αὐτοὺς φύλακας θνητῶν ἀνθρώπων· φασὶ μέν τινες ὅτι τὸ σχῆμα τοῦτο ἐστὶ μετωνυμία· ἤγουν τοὺς δαίμονας ἐνταῦθα μετωνυμικῶς ἐκάλεσεν ἀντὶ τοῦ τὸν τόπον τῶν δαιμόνων.

Ὦ πόποι: Ἐπίρρημα μέν ἐστιν ἐκ παραλλήλου, ἀντὶ τοῦ φεῦ φεῦ, ἔστι δὲ πρωτόθετον καὶ ὠνοματοπεποιημένον, ὥσπερ καὶ τὸ ποποῖ καὶ τὸ ὀτοττοῖ, καὶ τὸ παπαὶ καὶ τὸ φεῦ. Φασὶ δέ τινες ὅτι οἱ παλαιοὶ τῶν γραμματικῶν τὸ ὦ πόποι ἐδάσυνον καὶ περιέσπων ὡς ἐπίρρημα ἐνθουσιαστικόν· οἱ δὲ μεταγενέστεροι οὔτε δασύνουσιν, οὔτε περισπῶσιν, ἵνα μὴ συνεμπέσῃ τῷ ὑποτακτικῷ ἄρθρῳ τῷ ᾧ, καὶ ῥήματι τινὶ ὤ, ὃ δηλοῖ τὸ πέμπω, ὃ καὶ μετὰ τῆς ἀπὸ προθέσεως γράφεται ἐν συνθέσει, οἷον ἀφῶ. Τινὲς δὲ τὸ ὦ πόποι οὐ λέγουσιν εἶναι ἐπίρρημα, ἀλλ' ὄνομα καὶ ἐπίρρημα ἀντὶ τοῦ ὦ θεοί, εὕρομεν γὰρ ἐν πολλοῖς τὸ πόποι ἀντὶ τοῦ θεοὶ, κατὰ ἀφαί-

ρεσιν· τουτέστιν ὢ ἔποποι καὶ ἔφοροι, καὶ διοπτεύοντες πάντα θεοί· ὅθεν καὶ διόπτης καὶ ἐπόπτης παρ' Αἰσχύλῳ. ἡ τῶν πολλῶν δὲ γνώμη τὸ ὢ τοποι ἀντὶ τοῦ φεῦ, φεῦ, λαμβάνει· τὸ δὲ τοιοῦτον σχῆμα καλεῖται σχετλιασμὸς καὶ πάθος ψυχῆς ἐπὶ δεινοῖς τισὶ γινόμενον.

Ἰστέον ὅτι τιμῆς ἁπάσης ὑπέρτερον ἀξίωμα ὁ βασιλεὺς ἔχει· ὅθεν καὶ θεὸς ἐπίγειος παρὰ πολλοῖς νομίζεται εἶναι· καὶ γὰρ Ξέρξην ἐκεῖνον τὸν μέγαν, θεὸν ἐκάλουν ἐπίγειον οἱ Πέρσαι· διὸ καὶ Ἑλλησπόντου καταστρέψαντος τὴν διὰ τῶν πλοίων γενομένην γέφυραν αὐτῷ· ἔτυψαν αὐτὸν ῥάβδῳ λέγοντες ταῦτα· ἁλμηρὲ ποταμὲ, πῶς ἐτόλμησας καταστρέψαι τὴν γέφυραν τοῦ ἐπιγείου θεοῦ;

Ἰστέον ὅτι τὸ καθίζω πολυσημάντους ἔχει τὰς διαθέσεις— ὁ ὑπερσυντελικὸς ἥσμην, ἧσο, ἧστο· οἷον,

ἐπὶ ἀπλοκάμῳ δὲ μετώπῳ
ἧστο σαοφροσύνη κουροτρόφος.

Παρὰ θῖν' ἁλὸς ἀτρυγέτοιο: ἀτρύγετος ἐστὶν ἡ μὴ ἔχουσα τρύγα· τρὺξ γάρ ἐστιν ὕλη τις ἐν τῷ πυθμένι τοῦ ἀγγείου. τὴν δὲ θάλασσαν ἀτρύγετον φησὶν, ὅτι ἐστὶ βαθεῖα, καὶ τὸν αὐτῆς πυθμένα δυσκόλως δυνάμεθα εὑρεῖν· καὶ ἀπὸ τοῦ περιεχομένου, ὅ ἐστιν ἡ τρὺξ, νοοῦμεν τὸ περιέχον, ὅ ἐστιν ὁ πυθμήν· ἁλὸς τοίνυν ἀτρυγέτου, τουτέστι τῆς μὴ ἐχούσης πυθμένα ἤγουν τῆς βαθυτάτης ὑπερβολικῶς· ὁ δὲ Χοιροβοσκὸς φησὶ τὴν θάλασσαν εἶπεν ὁ Ὅμηρος ἀτρύγετον διὰ τὸ μὴ τρυγᾶσθαι· πικρὰ γάρ ἐστι καὶ οὐδεὶς ἀντλεῖ ὕδωρ ὥστε πιεῖν.

Cod. Barocc. 116. Chart. Sæc. XIV. Excerpt. e Schol. Chœrobosc. in Theodos. Can. f. 63.

Ἰστέον δὲ ὅτι τὰ εἰς ω λήγοντα ῥήματα ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν πρὸς ἀντιδιαστολὴν τῶν εἰς ω θηλυκῶν ὀνομάτων· πολλὰ γὰρ εὑρίσκομεν ῥήματα καὶ ὀνόματα τὰ εἰς ω λήγοντα θηλυκὰ, ἅτινα ἐκ τούτων διαστέλλονται· τὰ γὰρ εἰς ω λήγοντα θηλυκὰ ὀξύνονται, τῶν ῥημάτων μὴ ὀξυνομένων· οἷον, κλείω, Κλειώ· καλύψω, Καλυψώ· πείθω, Πειθώ· εἴκω καὶ εἰκώ·

τὰς εἰκοὺς τῶν ἐγχέλεων[r]

εἴκω δέ ἐστι τὸ ὁμοιῶ· εἰκὼ δὲ ἡ εἰκών·

τὰς εἰκοὺς τῶν ἐγχέλεων

οἱονεὶ τὰς εἰκόνας καὶ ὁμοιώσεις.

f. 64. a. Ταῦτα δὲ (ῥήματα) ἐν τῇ συνθέσει ὑπερβαίνοντα τὴν μονοσυλλαβίαν βαρύνονται· ὡς τὸ σπὲς, ὡς ἐν τῷ ἐνίσπες καὶ ἐπίσπες· καὶ τὸ σχὲς, ὡς ἐν τῷ ἐπίσχες καὶ κατάσχες· τὸ δὲ φρὲς, σημαίνει τὸ φέρε ὡς ἐν τῷ εἴσφρες τὸ δὲ ἓς, σημαίνει δὲ τὸ ἀπόλυσον, ὡς ἐν τῷ ἄφες, πρόες,

ἀλλὰ σὺ μὲν νῦν τήνδε θεῷ πρόες (Il. A. 127.)

οἱονεὶ προπέμψον· τὸ δὲ δὸς, ὡς ἐν τῷ σύνδος, παράδος· τὸ δὲ θὲς, ὡς ἐν τῷ παράθες, ἐπίθες· ταῦτα μὲν ἐν τούτοις.

f. 64. b. Ἀπὸ δὲ τοῦ φημὶ γίνεται φὴς φησὶ, καὶ κατὰ ἀποκοπὴν φῆς * * * γὰρ φῆ Ταργήλιος ἀντὶ τοῦ φησί, τὸ δὲ Ταργήλιον ὄνομα δαίμονός ἐστί· φατὸν, φατὸν, φαμὲν, φατὲ, φασί· καὶ τὸ φαθὶ προστακτικὸν ὀξύτονα εἰσὶν, οἷον παρὰ Ἀριστοφάνει ἐξόπισθεν ἀντὶ τοῦ φασί τοῦ * * μὲν ἀντὶ τοῦ εἰπέ· τὸ δὲ λαβὲ καὶ ἰδὲ παρ' ἡμῶν μὲν βαρύνεται, οἷον, λάβε, ἴδε, παρὰ δὲ τοῖς Ἀττικοῖς ὀξύνεται· λαβὲ γὰρ καὶ ἰδὲ λέγουσιν ὀξυτόνως· τὰ δὲ κατὰ διάλεκτον οὐ θέλομεν συναριθμεῖν, ἐπειδὴ πολλὰ εὑρίσκομεν καὶ μᾶλλον παρὰ τοῖς Δωριεῦσιν κατὰ πάθος ὀξυνόμενα· τὸ γὰρ δασμηφορεῖν ἀπο-

[r] Aristoph. Nub. 551.

βάλλει τὸ ι παρὰ τοῖς Δωριεῦσι, καὶ γίνεται ἐν ὀξείᾳ τάσει δασμηφορέν· δασμηφορὲν δέ ἐστι τὸ φέρειν τὰ δημόσια· τοιοῦτοι δέ εἰσιν οἱ Δωριεῖς· λέγω δὲ πολλάκις εὑρίσκονται ἀποβάλλοντες τῆς ει διφθόγγου τὸ ι, οἷον, συρίζεις, συρίσδες παρὰ Θεοκρίτῳ, (I. 3.)

ἀδὺ δὲ καὶ τὺ
συρίσδες.

Fol. 73. ἀθάρη, ἔστι δὲ σιτῶδές τι ἑψητὸν, ὃ ἐν τῇ συνηθείᾳ ἀθαρὸν καλοῦσι—Ὀλύκρη πόλις, Ἀντισάρη πόλις, καὶ παρὰ τῷ ποιητῇ τὸ Ἱρὴ, ἔστι δὲ ὄνομα πόλεως, οἷον

Καρδαμύλην, Ἐνοπήν τε καὶ Ἱρὴν ποιήεσσαν. (Il. I. 150.)

ταῦτα δὲ Ἰωνικῶς φασὶν εἶναι.

Τὰ δ' ἀπὸ τοῦ ο ἀρχόμενα ῥήματα τὸ ο εἰς ω μεγεθύνουσι τὴν ἄρχουσαν ἐν τῷ παρατατικῷ· οἷον, ὀμνύω, ὤμνυον· ὁμολογῶ, ὡμολόγουν· ὁρῶ, ὥρουν, καὶ πλεονασμῷ τοῦ ε, ἑώρουν. τὸ δὲ ε ποτὲ μὲν εἰς η τρέπεται, ποτὲ δὲ καὶ τὸ ι προσλαμβάνει· ταῦτα μὲν εἰς η· οἷον, ἐλέγχω, ἤλεγχον· ἐλαύνω, ἤλαυνον· ὑπὲρ δύο συλλαβὰς τρέπουσι τὸ ε εἰς τὸ η ἐν τῷ παρατατικῷ, οἷον, ἑρμηνεύω, ἡρμήνευον· ἑτοίμαζω, ἡτοίμαζον· ἐρεθίζω, ἠρέθιζον· ἐλαύνω, ἤλαυνον· ἐρευνῶ, ἠρεύνων· ἐλεῶ, ἠλέουν· ἐρωτῶ, ἠρώτουν. χωρὶς τοῦ ἐθίζω, εἴθιζον· τοῦτο γὰρ διὰ τῆς ει διφθόγγου γράφεται. καὶ τοῦ ἐργάζομαι, εἰργαζόμην· ὅπερ καὶ διφορεῖται· τινὲς μὲν γὰρ διὰ τῆς ει διφθόγγου γράφουσιν αὐτὸ, τινὲς δὲ διὰ τοῦ η· καὶ χωρὶς τοῦ ἑστιῶ, εἱστίων· σημαίνει δὲ τὸ ἀριστοποιῶ, ὡς παρὰ Μενάνδρῳ

ἑστιῶν τοὺς φίλους.

καὶ χωρὶς τοῦ ἐρύω, εἴρυον.

εἴρυσαν ἠνορέῃ πίσυνοι καὶ κάρτει χειρῶν (Il. Θ. 226.)

παρὰ τῷ ποιητῇ· καὶ τὸ ἑλκύω εἷλκυον, καὶ τὸ εἱλκύσασκε. καὶ τὸ εἰρπύζω, εἴρπυζον.

Τὰ δὲ δισύλλαβα, εἰ μὲν περισπᾶται, καὶ αὐτὰ τρέπουσι τὸ ε εἰς ἦτα· ἐρῶ, ἐρᾷς, ἤρων· ἑψῶ, ἑψεῖς, ἥψουν. ἐλῶ, ἐλᾷς, ἤλων· σημαίνει δὲ τὸ ἤλαυνον· ἑλκῶ, ἑλκεῖς, εἵλκωσα ἀντὶ τοῦ ἐτραυμάτισα. χωρὶς τοῦ ἐῶ, ἐᾷς, εἴων· τοῦτο γὰρ διὰ

τῆς ει διφθόγγου γράφεται· καὶ τὸ ἐρῶ, ἐρεῖς, εἶρουν, τοῦ σημαίνοντος τὸ λέγω, ἐξ οὗ καὶ ὁ παρακείμενος εἴρηκε· τὸ γὰρ ἕτερον σημαινόμενον λέγω δὲ τὸ ἐρῶ, ἐρᾷς, τουτέστι τὸ ἐρωτικῶς ἔχω διὰ τοῦ η γίνεται κατὰ τὸν παρῳχημένον, οἷον ἤραρον, ἤρων ἁρμολογῶ

καὶ νῦν δ' ἐρῶ

παρὰ Μενάνδρῳ· καὶ χωρὶς τοῦ εἷλκυον ἀμφοτέρως. τοῦτο γὰρ διὰ τῆς ει διφθόγγου ἐκφέρεται. ἔστι δὲ ὡς ἀπὸ τοῦ ἑλκῶ, ἑλκεῖς, καὶ σημαίνει τὸ ἔσυρον· τὸ δὲ κατὰ τὸν πρῶτον ἀόριστον διὰ τοῦ η· οἷον,

Λητὼ δὲ ἤλκυσεν (Od. Λ. 579.)

ἀντὶ τοῦ ἔσυρεν.

Fol. 78. Καὶ τὸ οἰκουρῶ, οἰκούρουν. καὶ τὸ οἰμώζω, οἴμωζον. ᾠκούρουν καὶ ᾤμωζον. δεῖ δὲ λέγειν παρὰ Σοφοκλῇ ἐν Τραχινίαις, (834.)

ἰδὼν δὲ ὁ παῖς ᾤμοξε.

Fol. 81. Τὸ δὲ ὀψείω, ὅπερ σημαίνει τὸ ἐπιθυμίαν ἔχω θεωρῆσαι, ὀφεῖλεν εἶναι ἐν τῷ παρατατικῷ ὤψειον διὰ τῆς ει διφθόγγου, ἐπειδὴ ὁ ἐνεστὼς διὰ τῆς ει διφθόγγου ἔχει τὴν παραλήγουσαν, ἐγένετο ὤψεον παρὰ Σώφρονι κατὰ ἀποβολὴν τοῦ ι· οἷον,

ἔγω[s] δέ τοι καὶ πάλαι[t] ὤψεον

ἀντὶ τοῦ ἐγὼ δὲ καὶ πάλαι ἐπιθυμῶ θεωρῆσαι· ἐπὶ δὲ τούτων φημὶ δὴ τὸ ἑώρταζον καὶ ὤψεον, ἐν τῷ ῥηματικῷ Ἀπολλωνίου, εἰ Θεῷ φίλον, μαθησόμεθα.

Fol. 90. Ἐὰν δὲ ἀπὸ βραχείας ἄρχεται ὁ παρατατικὸς ἀναδιπλασιάζεται ὁ παρακείμενος. ἀναδιπλασιασμὸς δὲ λέγεται, ὅτε τὸ ἑξῆς τῆς λέξεως σύμφωνον δὶς παραλαμβάνεται, ὡς ἔτυπτον, τέτυφα· ἐπάτουν, πεπάτηκα· ἐνόουν, νενόηκα· ἐλάλουν, λελάληκα[x]· ἔσειον, σέσεικα· ἔθυον, τέθυκα· ἐχειροτόνουν, κεχειροτόνηκα· τῶν δασέων εἰς τὰ ψιλα ἀντίστοιχα τραπέντων διὰ τὴν κακοφωνίαν· ἐὰν δὲ εὑρεθῇ ἐν

αι

[s] Cod. ἔχω. [t] Cod. πάλιν. ap. Apollon. de Pron. p. 63. Bekker. ἐγὼν δέ τυ καὶ πάλαι ὤψειον. [x] Cod. ἐλάληκα.

τῷ παρατατικῷ ἄφωνον πρὸ ἀμεταβόλου τῷ λόγῳ τῆς κοινῆς ἤγουν τῆς βραχείας ἀναδιπλασιάζεται ὁ παρακείμενος, οἷον, ἔγραφον, γέγραφα· ἔγλυφον, γέγλυφα· ἔκλαιον, κέκλαυκα· ἐκράτουν, κεκράτηκα· ἔπλυνον, πέπλυκα· ἔκρινον, κέκρικα· ἔκλινον, κέκλικα· δεῖ προσθεῖναι χωρὶς τῶν ἐχόντων τὸ γ καὶ τὸ ν, ταῦτα γὰρ οὐκ ἀναδιπλασιάζονται κατὰ τὸν παρακείμενον· ἔγνωκα καὶ οὐ γέγνωκα· ἐγνώρικα καὶ οὐ γεγενώρικα· ἐγνωσιμάχηκα καὶ οὐ γεγνωσιμάχηκα· γνωσιμαχεῖν δὲ ἐστὶ τὸ γινώσκειν ὅτι πρὸς κρείττονας μάχεσθαι. τὸ ἐγλυμένοι καὶ ἐβλαστηκότες παρ' Εὐπολίδι[y] διπαράλογά εἰσι. γεγλυμένοι γὰρ δεῖ λέγειν καὶ βεβλαστηκότες. οὐ γὰρ ἄρχονται ταῦτα ἀπὸ τοῦ γν· ἵνα μὴ ἀναδιπλασιασθῶσι. ταῦτα μὲν ἐν τούτοις.

Fol. 91. Ἰστέον δὲ ὅτι ἀντὶ τοῦτο, φημὶ δὴ τὸ ἐλαφρότερος καὶ ἐρυθρότερος καὶ εὐτεκνότατος καὶ δυσποτμότατος παρὰ τοῖς Ἀθηναίοις καὶ διὰ τοῦ ω μεγάλου, ὡς παρὰ τῷ Εὐριπίδῃ ἐν Ἑκάβῃ·

παιδὸς θανούσης εὐτεκνοτάτην δέ σε
πασῶν γυναικῶν δυστυχεστάτην ὁρῶ.

Fol. 92. Πολλάκις εὑρίσκεται καὶ ἐν μέτρῳ τὸ μν ἀποτελοῦν κοινὴν συλλαβὴν, οἷον, ὡς παρὰ Καλλιμάχῳ·

τῶς μὲν ὁ Μνησάρχεος ἔφη ξένος[z]

καὶ παρὰ Κρατίνῳ[a]

ἀλλοτριογνώμοις[b] ἐπιλήσμοσι, μνημονικοῖσιν·

Ibid. ἄλλως τε δὲ πολλάκις εὑρίσκονται ἐν τοῖς μέτροις ἀποτελοῦντα τὴν κοινὴν συλλαβὴν τὸ κτ καὶ πτ· ὡς παρ' Ὁμήρῳ, οἷον,

Αἰγυπτίῃ τῇ πλεῖστα δόμοις ἐνὶ κτήματα κεῖται. (Od. Δ. 225.)

τὸ δὲ κτ, ὡς παρὰ τῷ Ῥινθωνι[c],

Ἱππώνακτος τὸ μέτρον οὐδέν μοι μέλλει.

εἰκότως οὖν καὶ τὸ πέπτωκα καὶ κέκτημαι τῷ λόγῳ τῆς κοινῆς ἀνεδιπλασιάσθησαν. περὶ τῆς κοινῆς συλλαβῆς κατὰ

y Pleniora hæc quam p. 184. hujus vol. e Cod. Barocc. 194.
z Bekker. An. p. 1176. a Cod. κρατίνη. b Cod. ἀλλοτρίεον ὤμοις. c Cod. ὀρνιθανι.

ἀκρίβειαν ἐν τοῖς μέτροις Ἡφαιστίωνος μαθησόμεθα. ταῦτα μὲν ἐν τούτοις.

Fol. 93. Σημειούμεθα παρὰ τῷ ποιητῇ

τά μοι ῥερυπωμένα κεῖται· (Od. Z. 59.)

καὶ τὸ ῥέριφθα ἔπος παρὰ τῷ σοφῷ Πινδάρῳ, καὶ τὸ ῥεραπισμένω νῶτον παρὰ τῷ Ἀνακρέοντι[d].

Fol. 95. Λέγει δὲ ὁ Ἡρωδιανὸς ὅτι εὑρίσκεται χρῆσις τῆς διὰ τοῦ ε γραφῆς, ὡς παρὰ Ἀριστοφάνη ἐν Ὄρνισι

ἡμεῖς δὲ πρεσβευτέον καὶ κεχήνετε

ἀντὶ τοῦ κεχήνατε.

Fol. 97. Ἰστέον ὅτε πανταχοῦ συνεσταλμένον ἔχει τὸ α· οἷον τετύφατε, τέτυφας, τετύφατον, τετύφαμεν, τετύφατε· ἐν δὲ τῷ τρίτῳ προσώπῳ τῶν πληθυντικῶν ἐκτεταμένον αὐτὸ ἔχει· οἷον τετύφασι—Ἰστέον δὲ ὅτι πολλάκις ἐπὶ τούτων οἱ ποιηταὶ συστολὰς ἐποιήσαντο, αἷς οὐ δεῖ χρήσασθαι· Ὅμηρος,

τιμὴν δὲ λελόγχασιν ἶσα θεοῖσι·

Ξενοφάνης,

ἐξ ἀρχῆς καθ' Ὅμηρον ἐπεὶ μεμαθήκασι πάντες·

καὶ πάλιν ὁ αὐτὸς

ὁππόσα δὴ[e] θνητοῖσι πεφήνασιν εἰσοράασθαι·

Ἀντίμαχος

Οἱ δὲ πάροιθε πόνοιο νενεύκασιν ἄλλος ἐπ' ἄλλῳ.

ταῦτα δὲ πάντα παραλόγως συνέστειλεν ἡ τῶν μέτρων ἀνάγκη[f]. ἐνιοῖς ἡ πρᾶξις περὶ Ἀττικοῦ παρακειμένου.

Fol. 106. Σπανίως γὰρ εὑρίσκεται δισύλλαβος παρακείμενος ἐν χρήσει· σπάνιον δὲ εἶπε, διὰ τὸ

οἶδ' ἐπὶ δεξιά, οἶδ' ἐπ' ἀριστερὰ νωμῆσαι βῶν
ἀζαλέην. (Il. H. 238.)

καὶ διὰ τὸ εἶκα, ὃ σημαίνει τὸ ὁμοιῶ· οἷον εἶκας παρὰ Ἀλκμᾶνι, ἄντι τοῦ ὅμοιος εἶ[g].

[d] Cf. Bekker. Anec. p. 1287. et p. 185. hujus Vol. e Cod. Barocc. 194. [e] Cod. ὁσπσ. [f] Omnia hæc desumta ex Herodiano περὶ διχρόνων et Drac. Straton. p. 33. [g] Cf. Bekker An. p. 1294. et p. 378. hujus Vol.

Ὁ δὲ Ἀλέξανδρος ὁ Κοτυαεὺς θαυμασίως αὐτὸ σχηματίζει[h]—καὶ ἔστιν εἰπεῖν ὅτι διὰ τοῦτο οὐκ ἐγένετο δείχω διὰ τοῦ χ, ἐπειδὴ τῇ ει διφθόγγῳ παραλήγεται· τὰ δὲ εἰς χω ῥήματα θέλουσι τῇ ει διφθόγγῳ παραλήγεσθαι, πλὴν τοῦ στείχω· λείχω· οἷον· ἴσχω· κιχῶ· ἔχω· ἠχῶ· οἰχῶ· ἐξ οὗ καὶ τὸ οἴχομαι καὶ ὀμιχῶ· σημαίνει δὲ τὸ οὐρῶ· οἷον, ὡς παρ' Ἱππώνακτι

ὤμιξεν αἷμα καὶ χολὴν ἐτίλλησε.

τὸ δὲ ὤμιξεν ὡς ἀπὸ βαρυτόνου τοῦ ὀμίχω, ὥσπερ ἔχω, ἕξω. τρέχω, θρέξω.

Fol. 107 b. Ἰστέον δὲ ὅτι φαίνεται ὁ Ἡρωδιανὸς λέγων ἐν τοῖς Ἐπιμερισμοῖς, ὅτι τὸ σύνοιδα οὐκ ἔστιν Αἰολικὸν ἀλλὰ ψευδαιολικόν· αἱ γὰρ δίφθογγοι Αἰολικαὶ οὐδέποτε τοῖς Αἰολεῦσι διαλύονται· οἷον, τὸ τάλας καὶ μέλας οἱ Αἰολεῖς τάλαις καὶ μέλαις καὶ ὄνοιρος λέγουσιν, καὶ οὐ διαλύουσι τὴν ει δίφθογγον ἐπὶ τούτων· ἐπειδὴ Αἰολικαὶ εἰσὶν αἱ δίφθογγοι· κατὰ γὰρ τὴν τῶν Αἰολέων διάλεκτον γεγόνασι· τὸ δὲ Προίτου καὶ κοίλου διαλύουσι καὶ λέγουσι Προΐτου καὶ κοΐλου. ἐπειδὴ αἱ δίφθογγοι αὗται οὐκ εἰσὶν Αἰολικαὶ ἀλλὰ κοιναί· εἰ οὖν τὸ σύνοιδα διαλύουσι συνοΐδα λέγοντες, δηλονότι οὐκ ἔστι ἡ οι δίφθογγος Αἰολικὴ ἀλλὰ ψευδαιολική.

Τούτων οὕτως ἐχόντων δεῖ γινώσκειν ὅτι τὸ δεύτερον πρόσωπον τοῦ οἶδα, κατὰ ἀναλογίαν φημὶ δὲ τοῦ οἶδα κεκώλυται· ἀντ' αὐτοῦ δὲ τὸ οἶσθα κέχρηται·

οὐ γάρ πω σάφα οἶσθ' οἷος νόος Ἀτρεΐδαο. (Il. B. 192.)

οἶσθα καὶ ἄλλον τρόπον ἀμείνω τοῦδε νοῆσαι. (Il. H. 358.)

εὕρηται δὲ καὶ μετὰ τοῦ σ· οἶδας· ὡς παρὰ[q] Κρατίνῳ ἐν Μαλθακοῖς.

Fol. 108 b. Ἰστέον ὅτι πᾶς παρακείμενος ἐνεργητικός τε καὶ μέσος κοινός τε καὶ Ἀττικὸς τρέπων τὸ α εἰς ειν τὸν ὑπερσυντελικὸν ποιεῖ· δεῖ προσθεῖναι χωρὶς τῶν Ἀττικῶν

[h] Cf. p. 273. hujus Vol.

ταῦτα γὰρ ἀπὸ βραχείας ἀρχόμενα κατὰ τὸν παρακείμενον ἐν τῷ ὑπερσυντελικῷ χρονικῶς μεγεθύνονται· οἷον, ἀλήλιφα, ἠληλίφειν· ὀμώμοκα, ὠμωμόκειν· ἀγήγοχα, ἠγηκόχειν· ἐνήνοχα ἠνηνόχειν· ὄπωπα, ὠπώπειν· ὄλωλα, ὠλώλειν· ὄρωρα, ὠρώρειν· ὄδωδα, ὠδώδειν· πλὴν τοῦ ἐλήλυθα, ἐληλύθειν· καὶ ὁ ὑπερσυντελικὸς διὰ τοῦ ε· ὅθεν ἀναλογώτερόν φασι τὸ παρὰ Καλλιμάχῳ

ὅθεν ἠληλούθειν.

ὡς τρέψαν κατὰ τὸν ὑπερσυντελικὸν τοῦ παρῳχημένου.

Fol. 111. Ἰστέον ὅτι οἱ Ἀθηναῖοι τὸ διαλυθὲν ἐκ τῶν Ἰώνων συναιροῦσι, καὶ ποιοῦσι εἰς η· οἷον, ἐπεποιήκη λέγοντες· ὅθεν καὶ τὸ "ἐκεχήνη ἐγὼ" παρὰ Ἀριστοφάνει ἐν Ἀχαρνεῦσι (v. 10.)

ὅτε δὴ ἐκεχήνη προσδοκῶν τὸν Αἰσχύλον

ἦν γὰρ ἐκεχήνει ὁ ὑπερσυντελικὸς διὰ τῆς ει διφθόγγου, καὶ λοιπὸν ἐποίησαν αὐτὸ οἱ Ἴωνες κατὰ διάλυσιν ἐκεχήνεα, καὶ ἐκεῖθεν οἱ Ἀθηναῖοι ἐκεχήνη κατὰ κρᾶσιν τοῦ ε καὶ α εἰς η, ὥσπερ τείχεα, τείχη. καὶ πάλιν τὸ ἤδειν οἱ Ἴωνες λέγουσιν ἤδεα κατὰ διάλυσιν, ὡς παρὰ Καλλιμάχῳ

ἤδεα μᾶλλον ἔγωγε

ἀντὶ τοῦ ἤδειν· καὶ λοιπὸν οἱ Ἀθηναῖοι κατὰ κρᾶσιν τοῦ ε καὶ α εἰς η ἤδη.

Καὶ λοιπὸν οἱ Ἀθηναῖοι συναιροῦσι τὸ ε καὶ α εἰς η, καὶ λέγουσι χωρὶς τοῦ ν ἦ, ἀντὶ τοῦ ὑπῆρχον· ὡς παρὰ Ἀριστοφάνει ἐν Ὄρνισιν,

ἦ γὰρ ἐγὼ ξένος ἄνθρωπος·

ἀντὶ τοῦ ὑπῆρχον· καὶ παρὰ Πλούτωνι[h] ἡ χρῆσις εὕρηται.

Fol. 121. Ἄξιον ἐστὶ ζητῆσαι περὶ τοῦ ἔπεσον, ὅτι εἰ ἄρα δεῖ ἔπεσον λέγειν, ἵνα ᾖ ὁ δεύτερος ἀόριστος, ἢ ἔπεσα, ἵνα ᾖ πρώτου ἀορίστου; καὶ ἐστὶν εἰπεῖν ὅτι ἔπεσον δεῖ λέγειν· δεύτερος γὰρ ἀόριστος ἐστὶν, ὡς δηλοῖ ἡ μετοχὴ πεσὼν οὖσα, ὥσπερ λαβὼν, καὶ τὸ ἀπαρέμφατον πεσεῖν ὥσπερ λαβεῖν· εἰ γὰρ ἦν ἀόριστος πρῶτος, καὶ ἦν ἔπεσα, πεσὰς εἶναι εἶχε

ἡ μετοχὴ, ὥσπερ ποιήσας, καὶ τὸ ἀπαρέμφατον πέσαι, ὥσπερ ποιῆσαι. Ἰστέον ὅτι ἔπεσον μονῆρές ἐστιν, οὐδέποτε γὰρ ὁ δεύτερος ἀόριστος πρὸ τῆς ον συλλαβῆς τὸ σ ἔχει· ἔτυπτον· ἔνυγον· ἔλαβον· ἔμαθον.

Λέγει δὲ ὁ Ἡρωδιανὸς ὅτι ἐστὶν ὅμοιον αὐτῷ τὸ κακέμφατον, φημὶ δὲ τὸ ἔχεσον, καὶ αὐτὸ πρὸ τῆς ον συλλαβῆς τὸ σ ἔχον· καὶ παρατίθεται τὴν χρῆσιν παρ' Ἀλκαίῳ ἐν Γανυμήδει ἐχούσης οὕτως.

κατέχεσον τῆς Νηρηΐδος.

σχηματίζει δὲ ὁ Ἡρωδιανὸς τοῦτον τὸν τρόπον τὸ ἔπεσον. φησὶ ὥσπερ ἀπὸ τοῦ φυσῶ, φυσήσω γίνεται φύσημα, καὶ ἀπὸ τοῦ νοσῶ, νοσήσω γίνεται νόσημα, τὸν αὐτὸν τρόπον καὶ ἀπὸ τοῦ πεσῶ περισπωμένου γίνεται πεσήσω, καὶ πέσημα ὄνομα ῥηματικὸν, ὡς παρ' Εὐριπίδῃ ἐν Ἀνδρομάχῃ (653.)

οὗ πεσήματα[i]
πλεῖσθ' Ἑλλάδος πέπτωκε δορυπετῆ νεκρῶν

καὶ λοιπὸν ὡς ἀπὸ τοῦ πεσῶ περισπωμένου γέγονε ἔπεσον ὁ δεύτερος ἀόριστος, ὥσπερ ἀπὸ τοῦ χραισμῶ, ἔχραισμον, καὶ ἀπὸ τοῦ ὀλισθῶ, ὤλισθον, καὶ ἀπὸ τοῦ τύπτω, ἔτυπτον.

Fol. 122. b. Λέγει δὲ ὁ Ἄβρων εἴ τι προσλαμβάνουσι ταῦτα κατὰ τὸ τέλος, ἀποβάλλουσι κατὰ τὴν ἀρχήν· καὶ γὰρ τὸ ἔτυπτε ποιοῦσι οἱ Ἴωνες τύπτεσκε· ἀποβάλλοντες ἐκ τῆς ἀρχούσης συλλαβῆς, καὶ προστιθέντες κατὰ τὸ τέλος· διὰ τοῦτο δὲ τὸ ἔτυπτεν ἐν τῷ τύπτεσκεν ἀποβάλλει τὸ ε τῆς ἀρχούσης, ἐπειδὴ τὰ ποιητικὰ Ἰωνικὰ ταῖς ἰδίαις μετοχαῖς θέλουσι συνάρχεσθαι, οἷον ἔτυπτε,

τύπτε δ' ἐπιστροφάδην (Od. X. 308.)

πρὸς τὴν τύπτων μετοχήν· ἦγεν,

ἄγε δὲ μοῖρα βαρεῖα

πρὸς τὴν ἄγων μετοχήν· ἥψατο,

ἅψατο δ' ἡμιόνων (Il. Ψ. 666.)

[i] Cod. οὐ πεσήματος.

πρὸς τὴν ἀψάμενος μετοχήν· ἤκουσα, ἄκουσα πρὸς τὴν ἀκούσας μετοχήν·

πολλάκι γάρ σεο πατρὸς ἐνὶ μεγάροισιν ἄκουσα (Il. A. 396.)

διὰ τοῦτο εἰπὼν ταῖς ἰδίαις μετοχαῖς καὶ οὐ τοῖς ἰδίοις ἐνεστῶσι, διὰ τὸ εἴπεσκε· τοῦτο γὰρ τῇ εἰπὼν μετοχῇ συνάρχεται, οὐ μὴν τῷ ἐνεστῶτι· ἔπω γάρ ἐστιν ὁ ἐνιστὼς, ἐξ οὗ τὸ ἐννεπήν.

Fol. 126. Παίζω, παίξω· τοῦτο δὲ εὕρηται καὶ διὰ τοῦ σ, ὡς παρὰ τῷ ποιητῇ ἐν τῇ Ὀδυσσείᾳ

παίσατε ὡς ὁ ξεῖνος ἐνίσπῃ οἷσι φίλοισι

καὶ παρὰ Ἀριστοφάνει

βουλὴ διὰ χρόνου πρός με παίσε [j].

καὶ ἴσως τὸ ἕξω Δωρικόν ἐστι κατὰ τροπὴν τοῦ σ γενόμενον εἰς τὸ ξ, ὥσπερ καὶ τὸ βαστάζω· καὶ νυστάσω, νυστάξω· καὶ ἁρπάσω, ἁρπάξω.

Fol. 128. Τὸ δὲ αἰνῶ αἰνέσω ἀναλογώτερόν ἐστι παρὰ τοῖς ποιηταῖς λεγόμενον αἰνήσω διὰ τοῦ η· οἷον

μῦθον ἐπαινήσαντες Ὀδυσσῆος θειοῖο·

ἐπειδὴ μακρᾷ παραλήγεται κατὰ τὸν ἐνεστῶτα· τοῦ παρὰ τοῖς ἰαμβογράφοις διὰ τοῦ ε [k] λεγομένου, οἷον αἰνέσω καὶ ἐπαινέσω· ὡς παρὰ Σοφοκλῇ (Aj. 536.)

ἐπαίνεσα ἔργα καὶ πρόνοιαν ἣν [l] ἔθου.

καὶ πάλιν τοῦ Εὐριπίδου ἐν Μηδείᾳ (707.)

ἃ δὲ Ἰάσων [m] οὐδὲ ταῦτ' ἐπῄνεσα.

Fol. 129b. Πολλάκις γὰρ οἱ Ἴωνες ἔθος ἔχουσι τρέπειν τὸ α εἰς η οἷον, ἐμίανα, ἐμίηνα· ἔφανα, ἔφηνα· καὶ ἀπέφηνα, ἐξ οὗ τὸ ἀπεφηνάμην· [n] ἀναιδείη.

ὤ μοι ἀναιδείην [o] ἐπιειμένε, κερδαλεόφρον (Il. A. 149.)

τὸ ἐλέω, ἐλεήσω, τὸ ε παραληγόμενον καὶ διὰ τοῦ η γινόμενον κατὰ τὸν μέλλοντα οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ

[j] Sic. [k] Cod. η. [l] Cod. om. ἣν. [m] Cod. ἴασω. [n] Cod. ἀπεφηνέμην.

ἔστι δευτέρας συζυγίας τῶν περισπωμένων, ἀλλὰ πρώτης· ἐλεῶ, ἐλεῖς, καὶ ὁ Μένανδρος ἐδήλωσεν εἰπὼν,

ἐλεεῖται ὁ ποιμὴν, καὶ καλεῖται ἥδυτατος [o].

εἰ γὰρ ἦν δευτέρας, ἐλεᾶται εἶχεν εἰπεῖν ὥσπερ ὁρᾶται· εἰ γὰρ κατὰ Αἰολεῖς καὶ Ἴωνας, ἐλεῶ, ἐλεᾶς ἐστὶν, ὥσπερ βοῶ, βοᾶς, ἀλλ' οὐ κατὰ κοινοὺς Ἀττικοὺς, ἐλεῶ, ἐλεεῖς ἐστὶν, ὥσπερ ποιῶ, ποιεῖς. ταῦτα μὲν ἐν τούτοις.

Fol. 130. Περὶ δὲ τῶν συμφώνων ἔστιν εἰπεῖν ταῦτα· τὰ ἔχοντα τὸ ρ ὑπὲρ μίαν συλλαβὴν προηγουμένου συμφώνου διὰ τοῦ ω ἐκφερόμενον ἔχουσι τὸν μέλλοντα· οἷον, περῶ, περάσω· καταρῶ, καταράσω· ἐξ οὗ τὸ καταρῶμαι καὶ καταράσομαι· χωρὶς τοῦ ξυρῶ, ξυρήσω· τοῦτο δὲ ὁ μὲν Φιλόπονος πρώτης συζυγίας φησὶν, οἷον ξυρῶ, ξυρεῖς· ὁ δὲ Ἡρωδιανὸς δευτέρας, οἷον, ξυρῶ, ξυρᾶς·—σημειοῦται δὲ καὶ τὸ χολῶ, χολᾶς, χολήσω, ὥσπερ φησὶν ἀναλογώτερα εἶναι παρὰ τοῖς ἰδιώταις λεγόμενον χολάσω, οὐδαμῶς δὲ, ὡς φησὶ εὑρίσκονται ἐν χρήσει· ὁ δὲ Φιλόπονος ἀντίκειται τῷ κανόνι τούτῳ πλεῖστα· ἰδοὺ γὰρ κραιπαλῶ, κραιπαλᾶς, κραιπαλήσω διὰ τοῦ η· καὶ συλῶ, συλᾶς, συλήσω διὰ τοῦ η· μελαγχολῶ, μελαγχολᾶς, μελαγχολήσω διὰ τοῦ η· ἀσχολῶ, ἀσχολᾶς, ἀσχολήσω διὰ τοῦ η, σημαίνει δὲ τὸ ἀδημονῶ· καὶ ἐμπολῶ, ἐμπολᾶς, ἐμπολήσω, διὰ τοῦ η, σημαίνει δὲ τὸ πραγματεύομαι· παμφαλῶ, παμφαλᾶς, παμφαλήσω, σημαίνει δὲ τὸ ψεύδομαι· καὶ μυστιλῶ, μυστιλᾶς, μυστιλήσω· μυστίλη γάρ ἐστιν εἶδος κοιλίας ἄρτου εἰς ὃν ἐρρόφουν ζωμοῦ οἱ Ἀθηναῖοι ἐν ταῖς ἑορταῖς.

Fol. 132. Σημειοῦται τὸ ἐκχεῶ δευτέρου μέλλοντος, οἷον καὶ κατακλιεῖ παρ' Εὐπόλιδι ἐν Χρυσῷ γένει [p]· οἷον

εἰ μή τις αὐτὴν κατακλιεῖ.

γέγονε δὲ τὸ κατακλιεῖ τοῦτον τὸν τρόπον· ἔστι κλείω, τούτου ὁ δεύτερος ἀόριστος διὰ τοῦ ι, τῆς παραληγούσης συσταλείσης· ὥσπερ λείπω, ἔλιπον· πείθω, ἔπιθον· καὶ λοιπὸν

[o] γλυκύτατος Bekker. An. p. 1369. [p] Cod. corrupt. παρ' ἀπολιδιῶ χρυσὶ γάρνη. Cf. Bekker. An. p. 1290.

ἐκεῖθεν κατακλιῶ ὁ μέλλων, κατακλιεῖ τὸ τρίτον πρόσωπον.

Fol. 150. Τὸ σ καὶ τὸ τ τελικὰ ὑπάρχοντα τῶν ῥημάτων, οἷον, τύψας, οὐκ ἔστι τελικὸν τῶν ἀπαρεμφάτων· ἐπειδὴ τὸ α τελικὸν ἐστὶ μόνου προσώπου, παρ' ἡμῖν δευτέρου καὶ παρ' Ἀθηναίοις· οἷον, τετύφας· πρόσκειται παρ' ἡμῖν καὶ παρὰ τοῖς Ἀθηναίοις, ἐπειδὴ καὶ παρὰ ταῖς διαλέκτοις εὑρίσκεται τὸ σ καὶ πρώτου προσώπου τελικὸν καὶ τρίτου· ὡς παρὰ Θεοκρίτῳ· (vii. 2.)

εἵρπομες ἐκ πόλεως

ἀντὶ τοῦ εἵρπομεν· καὶ πάλιν,

ἦς χρόνος ἁνίκ' ἐγώ τε καὶ Εὔκριτος εἰς τὸν Ἄλεντα (vii. 1.)

ἀντὶ τοῦ ἦν.

Fol. 152. b. Ἰστέον ὅτι πᾶν εἰς θαι λῆγον ἀπερέμφατον ἁπλοῦν πάντως ὁμοφωνεῖ τῷ ἰδίῳ ὁριστικῷ, οἷον, τύπτεται, τύπτεσθαι· βοᾶται, βοᾶσθαι· χωρὶς τῶν εἰς θαι ἀπαρεμφάτων τοῦ παθητικοῦ παρακειμένου καὶ δευτέρου μέσου ἀορίστου· ταῦτα γὰρ οὐχ ὁμοτονοῦσι τοῖς ἰδίοις ὁριστικοῖς, ἀλλὰ πρὸ μιᾶς ἔχουσι τὸν τόνον· κέκαρται, κεκάρθαι· ἐτύπτετο, τυπτέσθαι· ἐνύγετο, νυγέσθαι· ἵκετο, ἱκέσθαι· σεσημείωνται τὸ ἔρεσθαι δευτέρου μέσου ἀορίστου ὂν καὶ προπαροξυνόμενον· περὶ οὗ ἐστὶν εἰπεῖν ὅτι ἐξηκολούθησε τὸ δέρεσθαι καὶ φέρεσθαι καὶ στέρεσθαι, ἅτινα εἰσὶν ἐνεστῶτος καὶ παρατατικοῦ· καὶ ἐκ τοῦ ἐναντίου σεσημείωται τὸ λιτέσθαι ἐνεστῶτος καὶ παρατατικοῦ ὂν καὶ παροξυνόμενον·

οἵ τ' αὐτῷ θάνατόν τε κακὸν καὶ κῆρα λιτέσθαι (Il. Π. 47.)

ἀντὶ τοῦ ἱκετεύειν· ὤφειλε προπαροξύνεσθαι τῷ ἰδίῳ ὁμοίως ὁριστικῷ τῷ λίττεται· ἀλλ' ὡς φησὶν ὁ Ἡρωδιανὸς ἐν τῇ καθόλου, ἠκολούθησε τῷ λιπέσθαι, ἱκέσθαι, θέσθαι, ἰδέσθαι, ἅτινα εἰσὶ δευτέρου μέσου ἀορίστου· σεσημείωται τὸ ἐγρήγορθαι· οἷον

ἐγρήγορθαι ἄωχθι (Il. K. 67.)

ὅτι παρακειμένου ὂν προπαροξύνεται· περὶ οὗ λέγει ὁ Ἡρωδιανὸς ἐν τῇ καθόλου, ὅτι Αἰολίδος ἐστὶ διαλέκτου, καὶ τούτου

χάριν ἀνεβίβασε τὸν τόνον· οἱ γὰρ Αἰολεῖς ἀναβιβαστικοὶ τῶν τόνων εἰσί· τὸ γὰρ Ἀτρεὺς Ἄτρευς λέγουσι, καὶ τὸ Πηλεὺς Πήλευς. ταῦτα μὲν ἐν τούτοις.

Fol. 157 a. Ἰστέον δὲ ὅτι διάφοροι δόξαι γεγόνασι περὶ τῶν εἰς ον προστακτικῶν τοῦ πρώτου ἀορίστου καὶ μεσοῦντος. τινὲς μὲν γάρ φασι Συρρακουσίων ἰδίωμα τὸ τύψον καὶ ποίησον, καὶ ἁπλῶς ἡ εἰς ον κατάληξιν τῶν Δωριέων. οἱ γὰρ Συρρακούσιοι Δωριεῖς εἰσίν. ἄλλοι δὲ λέγουσιν ὅτι οὐκ ἔστιν ἡ εἰς ον κατάληξις Συρρακουσίων κ. τ. λ.—ὅλα γὰρ τὰ προστακτικὰ τοῦ πρώτου ἀορίστου τοῦ ἐνεργητικοῦ καὶ πρώτου μέσου εἰς ον λήγουσιν· οἷον, τύψον, ποίησον, γράψον, λάλησον· δηλονότι κοινῆς ἐστὶ διαλέκτου· εἰ γὰρ ἦσαν Συρρακουσίων ἢ καὶ τὰ κοινὰ αὐτῶν ὤφειλον εὑρεθῆναι, εἰ καὶ ἐπεκράτησε κατὰ κοινὴν διάλεκτον, ἢ ἐν μιᾷ τυχὸν λέξει, ἢ ἐν β′ ὤφειλεν ἐπικρατῆσαι τὸ τοιοῦτον σχῆμα, καὶ μὴ ἐν ὅλῳ τῷ εἴδει. ὥστε οὖν κοινῆς εἰσὶ διαλέκτου καὶ οὐ Συρρακουσίων. ἄλλως τε δέ φασι, φαίνεται ὁ ποιητὴς κεχρημένος τοῖς εἰς ον προστακτικοῖς πρώτου ἀορίστου καὶ μεσοῦντος, ὡς ἐπὶ τοῦ

τύψον δὲ σχεδίην (Il. E. 830.)

ἀντὶ τοῦ τύψον ἐκ τοῦ σύνεγγυς· καὶ

ποίησον δ' αἴθρην (Il. P. 647.)

ἀντὶ τοῦ εὐδίαν· καί,

ἐν δὲ φάει καὶ ὄλεσσον· (Il. P. 647.)

ὁ δὲ ποιητὴς πρὸ πολλῶν ἐτῶν τῶν Συρρακουσίων ἦν· πῶς οὖν τῷ ἰδιώματι τῶν Συρρακουσίων ὁ ποιητὴς ἐκέχρητο μήπω ὄντων Συρρακουσίων; οἱ δὲ λέγοντες τῶν Συρρακουσίων εἶναι τὸ τοιοῦτον ἰδίωμα ἐπιχειρήματι ἐκέχρηντο τοιούτῳ. ἔλεγον ὅτι Ἀρχίας καὶ Χερσικράτης Κορίνθιοι ὄντες καὶ διωχθέντες ἀπὸ Κορίνθου ἀποικίαν ἐποιήσαντο ἐπί τινας τόπους· καὶ ὁ μὲν Χερσικράτης κατῴκησεν ἐν τῇ Φαιακίᾳ μετὰ τῶν Χόλχων τῶν ἀπομεινάντων καὶ μὴ ἀποστρεψάντων πρὸς Αἰήτην διὰ φόβον, οὓς ἔπεμψε κατὰ δίωξιν τῆς Μηδείας. ὁ δὲ Ἀρχίας ἀπελθὼν ᾤκησεν ἐν τῇ Σικελίᾳ, καὶ ᾠκοδόμησε τὰς Συρρακούσας ἐπ' ὀνόματι Γύρας καὶ ἀκούσας τῶν θυγατέρων

αὐτοῦ· τί οὖν ἄτοπον τοὺς Κορινθίους ἀποικίαν ποιουμένους τὴν οἰκείαν διάλεκτον μεθ' ἑαυτῶν λαβεῖν; οἱ γὰρ ποιοῦντες ἀποικίαν, πάντως καὶ οἰκείαν διάλεκτον ἔχοντες μεθ' ἑαυτῶν ἐξέρχονται· ὥσπερ οἱ Ἴωνες ἀποικίαν ποιησάμενοι εἰς τὴν Μίλητον[q] τὴν οἰκείαν ἔχοντες διάλεκτον ἐξῆλθον καὶ ᾤκησαν ἐκεῖ. οὐ γὰρ ἀναλύοντες τὰς ἀποικίας ποιοῦνται. ἀπὸ Κορίνθου τὴν ἀποικίαν ἐποιήσαντο οἱ Κορίνθιοι, καὶ εἶχον ταύτην τὴν διάλεκτον ἐκεῖθεν. ὁ γοῦν ποιητὴς εἰ καὶ ἐχρήσατο τῇ εἰς ον καταλήξει τῶν προστακτικῶν τοῦ πρώτου ἀορίστου καὶ μεσοῦντος εἰπὼν

τύψον δὲ σχεδίην (Il. E. 830.)

καὶ τὰ ὅμοια, καὶ πρὸ τοῦ κτισθῆναι Συρρακούσας ἦν· ἀλλ' οὖν μετὰ πολλὰ ἔτη τῶν Κορινθίων γενόμενος, ὡς καὶ αὐτὸς ἐδήλωσε εἰπὼν

ἔστι πόλις Ἐφύρη μυχῷ Ἄργεος ἱπποβότοιο (Il. Z. 152.)

αὕτη δέ ἐστιν ἡ Κόρινθος· ὥστε οὖν εἰ καὶ ἐχρήσατο ὁ ποιητὴς τῇ αὐτῇ λέξει, τῶν Συρρακουσίων ἤγουν Κορινθίων ἰδιώματι ἐχρήσατο. εἰ γὰρ καὶ πρὸ τῶν Συρρακουσίων ἦν ὁ ποιητὴς ὡς εἴρηται, ἀλλὰ μετὰ τοὺς Κορινθίους ἦν· ἐξ ὧν τὴν ἀποικίαν ἔσχον οἱ Συρρακούσιοι, καὶ τὴν διάλεκτον ταύτην καὶ οὗτοι.

Ἔστιν εἰπεῖν ὅτι τὰ εἰς ον προστακτικὰ τοῦ πρώτου ἀορίστου καὶ μεσοῦντος κοινῆς εἰσὶ διαλέκτου κατὰ μίμησιν γινόμενα Συρρακουσίων προστακτικῶν τοῦ δευτέρου ἀορίστου· οἱ γὰρ Συρρακούσιοι, ὡς εἴρηται τὰ προστακτικὰ τοῦ δευτέρου ἀορίστου εἰς ον μεταποιοῦσι.

Fol. 160. Δεῖ δὲ γινώσκειν ὅτι τρέπεται τὸ θ εἰς τ ἐν τοῖς εἰς θι προστακτικοῖς, ἡνίκα προήγηται ἕτερον θ, οὐ τρέπεται χῆθι·[r] λέχθητι· ἡνίκα δὲ μὴ προηγῆται ἑτέρου θ οὐ τρέπεται τὸ θ εἰς τ, οἷον φθῖ[s] ἀντὶ τοῦ εἰπὲ, ὡς παρὰ Ἀριστοφάνει ἐν Ἱππεῦσιν

αὐτὸ φθί.

[q] Cod. μήλιτον. [r] Sic. [s] Sic.

Fol. 163. Τούτων οὕτως ἐχόντων δεῖ γινώσκειν ὅτι τὸ τρεφεῖν ὡς παρ' Εὐριπίδῃ

ἄφρων ἂν εἴην εἰ τρέφοιν τὰ τῶν πέλας

γέγονε δὲ τοῦτον τὸν τρόπον· ἔστι τρέφοιμι, τρέφοις, τρέφοι· καὶ τροπῇ τοῦ σ εἰς ν τὸ πρῶτον τρεφοίην· καὶ λοιπὸν ὡς ἀπὸ τοῦ τρεφοίην κατὰ συγκοπὴν τοῦ η γέγονε τρέφοιν, οὐ δὲ γὰρ δυνατὸν τὸ τρέφοιν ἀπὸ τοῦ τρέφοιμι λέγειν, καὶ κατὰ ἀποκοπὴν τοῦ ι, καὶ τροπῇ τοῦ μ εἰς ν· ὡς γάρ φησι Ἀπολλώνιος ἐν τῷ περὶ Προθέσεων, οὐδέποτε ἀποκοπὴ εἰς ἀνεκφώνητον τέλος γίνεται, ἤγουν εἰς ὃ οὐ δύναται καταλήγειν ἡ λέξις, τὸ γὰρ μ οὐκ ἔστι τελικὸν λέξεως· τὸ γὰρ Ἀδὰμ βάρβαρόν ἐστι, καὶ δῆλον ὅτι οὐ δύναται γενέσθαι ἀποκοπή.

Fol. 169. Οἱ μέντοι παραπληρωματικοὶ (σύνδεσμοι) διαφόρους ἔχοντες σημασίας· σημαίνουσι γὰρ καὶ μείωσιν, ὡς ὅτε ἐν τούτῳ χαρίσαιμι· τουτέστι κἂν τούτῳ τῷ μικρῷ· καὶ ἐναντίων σημαίνουσι, ὡς ὅ περ

μήδ' οὕτως, ἀγαθός περ ἐών, θεοείκελ' Ἀχιλλεῦ,
κλέπτε νόῳ (Il. A. 131.)

ἐναντίον γὰρ τῷ ἀγαθῷ τὸ παραλογίζεσθαι· καὶ μετάβασιν σημαίνουσιν, ὡς ὁ δή· οἷον, ὡς παρὰ[t] Ἀριστοφάνει (Plut. 8.)

καὶ ταῦτα μὲν δὴ ταῦτα· τῷ δὲ Λοξίᾳ

μετέβη γὰρ ἐφ' ἕτερον πρᾶγμα, καὶ μὴ δυνάμενον ἀπὸ μιᾶς αὐτὴν κληθῆναι διὰ τὸ ἁρμόζειν αὐτὴν ἅπασι τοῖς παραπληρωματικοῖς ἀπὸ τοῦ κοινῶς παρεπτομένου[u] πᾶσιν αὐτοῖς, φημὶ δὴ τὸ παραπληροῦν.

Post. Canon. Verb. in ω seq. Canon. Verb. in μι quos exscr. e Cod. Bod. ℣T. IV. 7.

Cod. Barocc. 133.[v] . . . . Εὔμηλον[x] μὲν τὸν Κορίνθιον τρεῖς φησὶν εἶναι Μούσας θυγατέρας Ἀπόλλωνος· Κηφισοῦν, Ἀπολλωνίδα, Βορυσθενίδα. Ἄρατος δὲ ἐν τῇ πεμπτῇ τῶν ἀστρικῶν τέσσαρας λέγει, Διὸς τοῦ Αἰθέρος καὶ Πλουσίας

[t] Cod. περὶ. [u] Sic. [v] Hæc Tzetzis sunt e Schol. in Opp. Hesiod. p. 23. Ed. Gaisf. [x] Cod. εὔμιλον.

Νύμφης· Ἀρχὴν, Μελέτην, Θελξινόην καὶ Ἀοιδήν. τινὲς δὲ πέντε αὐτὰς εἶναι φασὶ καὶ ὀνόματα ἔχειν τῶν πέντε αἰσθήσεων. Ἐπίχαρμος δὲ ζ λέγει θυγατέρας Πιέρου καὶ Πιμπλιάδος Νύμφης· Νειλοῦν, Τριτώνην, Ἀσωποῦν, Ἑπταπόρην Ἀχελωΐδα, Τιτόπλουν καὶ Ῥοδίαν. παρὰ δὲ Ἡσιόδῳ ἐν Θεογονίᾳ ἔννεα λέγεται εἶναι. Κλειὼ, Θάλεια, Εὐτέρπη, Τερψιχόρη, Ἐρατὼ, Πολύμνια, Μελπομένη, Οὐρανία καὶ Καλλιόπη. καὶ αἱ μὲν τρεῖς εὗρον τοὺς μουσικοὺς τρεῖς τόνους.

Cod. Laud. Gr. 10. Chart. form. in 4°. Sæc. XV. inter alia continet Anonym. Epistolas, quæ vero Nicephorum Gregoram procul dubio auctorem agnoscunt, quædam editæ sunt, hæc vero nondum lucem vidit.

Τῷ φιλοσοφωτάτῳ Ἰωσήφ.

Ἀριστοτέλης ὁ Νικομάχου καὶ ὅσοι αἱρεσιῶται τὸ τῆς φιλιᾶς οὐχ ἁπλοῦν ἐκδεδώκασιν ὄνομα, ἀλλὰ πολλαπλοῦν, καὶ πολλαχῆ διαφερόντως ἔχον ἐν τοῖς ἰδικωτέροις ἁπλούμενον. μὴ γὰρ ὅτι πολιτικὴν ἁπλῶς καὶ φυλετικὴν, ἔτι μὴν συγγενικὴν καὶ ἑταιρικὴν, καὶ ὅσαι τὴν σχέσιν ὁμοίαν καὶ ἀντιστρέφουσαν ἔχουσιν, ἄλλα καὶ ὁπόσοι ἀνόμοιοί τε καὶ ἄνισοι· ὅσα γε κατ' ἀξίαν καὶ χρόνον, καὶ τούτων δ' εἰδέναι φιλίας ἔπεισαν αὐτοῖς. μειζόνων δηλαδὴ πρὸς ἐλάττους· καὶ τουναντίον· καὶ θειοτέραν πρὸς ἀνθρωπικώτερα· καὶ τοὐναντίον· ἐντεῦθεν γὰρ καὶ τὸ θεοφιλὲς εἰσάγεται, καὶ φιλόθεον, καὶ φιλοπάτορ ὁμοῦ καὶ φιλότεκνον. εἰ δὲ ταῦτα, καὶ φιλίαν οὐκ ἂν τῶν ἀπεικότων εἴη καλεῖν τὴν μεταξὺ σχέσιν ἡμῶν τὲ καὶ μεγέθους τοῦ σοῦ· τῷ μὲν ὑποκειμένῳ ταυτιζομένην, τῇ δὲ σχέσει διαφορουμένην. Καὶ ἵνα κατὰ σκόπον ὁ λόγος πορεύοιτο, ἔστι μεταξὺ τοῦ Περσικοῦ κόλπου καὶ ὀρῶν τῶν μεγίστων, ἃ Παρασύρας[y] καὶ Δαράνδας χωρίζει πρὸς ἕω καὶ ποταμὸν[z] τὸν Ἴνδον, χῶρά τις οὐχ ἁπλῆ τοὔνομα Καρμανία. τὸ μὲν γὰρ αὐτοῖς ἄβιον, τὸ δ' οἰκουμένη γῆ. Μηδικὴν μὲν ἐῶσα πρὸς ἄρκτον· πρὸς δὲ μεσημβρίαν, Ἴνδούς τε καὶ πελάγη τὰ τῶν Ἰνδῶν. ἐν ταύτῃ λόγος εἶναι, οἳ φιλίαν ὁπότε πρὸς ἀλλήλους ὁμολογοῖεν λύουσιν ἔστι ἃς τῶν ἐπὶ

[y] Cod. παρὰ σύρας. [z] Cod. ποταμῶν.

τοῦ προσώπου φλεβῶν· καὶ τοὐντεῦθεν καταρρέον αἷμα τῷ πόματι ἀνακεραννύντες ἀλλήλοις προσπίνουσι· βεβαίας ἤδη καὶ ἀσφαλοῦς φιλίας ἐνέχυρον ἔχειν ἡγούμενοι, τὸ γεύεσθαι τοῦ ἀλλήλων αἵματος.

Τοῦτ' αὐτὸς ὥσπερ ἐχέγγυον ἀκραιφνὲς εἰληφὼς, τἀμά σοι, θειότατε ἄνθρωπε παρεσχήκειν ἐζητηκότι γράμματα, ἀσώματος μὲν οὐκ ἄν τις ἴσως αἷμα φήσειε· ψυχῆς γε μὴν ἕτερον τρόπον οὐκ ἂν τοσοῦτον, οἶμαι, φήσας ἁμάρτοι· ἐλπίδας αὐτὸς ἐμαυτῷ δεδωκὼς ῥαστώνης μεστὰς καὶ τρυφῆς, ὡς ἕψεται τῇ δώσει τὸ λῆμμα· τουτὶ δὴ λέγω τοὺς σοὺς λόγους οὓς οὐ σοῦ γε χάριν ἐπόνησας, ὥσπερ οὐδὲ θάλαττα ἑαυτῆς εἵνεκα τὸ ὕδωρ ἁπλοῖ, ἀλλ' ὅσοι τοὐντεῦθεν διώκουσι κέρδος· εἰ δὲ σὺ τὰ σ' αυτοῦ ἀνέκφορα μένειν ἡμῶν γε εἵνεκα ἀξιοῖς, καὶ ταῦτα πολλὴν τοῖς θεωμένοις χαριζόμενα τὴν ὠφέλειαν, τὰ δ' ἡμέτερα τοὐναντίον, καὶ ταῦτα πολλὴν ἐπισυρόμενα τὴν φαυλότητα, χωλεύειν οὐδὲν κωλύει τ' ἀγαθόν. τὸ γὰρ ἐξ ἐμοῦ σοι ἀνενδεὲς, ὡς ἐγῷμαι, ἔρχεται· τὸ δὲ σὸν ἐς ἡμᾶς, οὐκ ἔχω ὅτι φῶ.

Καίτοι τοὐναντίον μᾶλλον ἔδει πολλῷ. σὺ γὰρ εἰκόνα φέρεις τοῦ μεγάλου πατρὸς, ὃς μᾶλλον ἐστὶ φιλάνθρωπος, ἢ φιλόθεον τὸ ἀνθρώπινον· ἔπειτα καὶ τοῦ χάριν ἄλλου τί γίγνοιτ' ἂν ἀγαθοῦ, νὴ τὸ φίλιον οὐχ ὁρῶ· εἰ δὲ μὴ σὲ τοσοῦτον καταβῆναι, ὅσον ἡμᾶς ἀναχθῆναι δεῖ· φεῦ τῆς ἐμῆς τύχης· ἆ δειλή· τί μ' ἐς τοσοῦτον ἀχορήγητον ἔθηκας ὁπόσα τῶν σῶν ἀγαθῶν ὡς ὑπερώριον γίγνεσθαι καὶ φυγάδα τῆς τῶν καλῶν ἀνδρῶν κοινωνίας χωρὶς τινὸς δημοτικοῦ ψηφίσματος· καὶ πρὶν κληρονομεῖν τοῦ κατατρέχοντος ἐξ Ἀττικῆς ὀστράκου, ἄλλως τε καὶ πᾶσαν ἁρμονίαν ἐξαιρετέον λοιπὸν ἐκ παντὸς, εἰ δὴ πολυμιγέων ἕνωσις αὕτη καὶ δίχα φρονεόντων συμφρόνησις. οὐ γὰρ ἂν ἄλλως οἶμαι γένοιτο ἀνέσεως ἄνευ καὶ ἐπιτάσεως. ἀλλ' εἰ μὲν ταῦτα λέγων εὖ λέγω, πλούτιζε τοῖς σοφοῖς σοῦ λόγοις ἡμᾶς. τοῦτι γὰρ ἡμῖν ὁ σκόπος· εἰδ' οὖν, σύγγνωθι· τοῖς γὰρ ἀκουσίως πταίσασιν, ἑκούσιον ἕπεσθαι τὴν συγγνώμην δίκαιον. ὡς γὰρ εὖ ἔμοιγε

λέγοντι, ἑκόντι γίγνεται τοῦτο, οὕτως εἰ κακῶς, ἄκοντι· τῶν γὰρ ἐναντίων μιᾶς οὔσης τῆς ἐπιστήμης, ὡς οἱ πάλαι σοφοὶ δογματίζουσιν, ἕπεται τῶν καλῶν ἑκουσίων γιγνομένων, ἀκούσια νομίζεσθαι τὰ κακά· ὥσπερ γὰρ καλὸς ἄκων οὐδεὶς, οὕτως οὐδ' ἑκὼν κακὸς οὐδείς.

Σὺ δὲ κρῖνε ταυτὶ καὶ διαιρεῖ τῇ σῇ μεγαλονοίᾳ σοφώτερον, καὶ μὴ λήγοις σωφρονίζων καὶ ῥυθμίζων καὶ θύραθεν τὰ ἡμέτερα. σὺ γάρ μοι καὶ σοφὸς ἀπλανὴς καὶ κριτὴς ἀρρεπὴς, καὶ Μίνως ζῶν, καὶ χρησμῳδῶν Ἀπόλλων. Ἀλλ' ὦ τίς ἂν μεθείη κατὰ μῆνα ἡμερῶν ἐκείνων ὁπότε συχνὰ ὁμιλοῦσι παντοίαν κομίζεσθαι τὴν ὠφέλειαν ἀπὸ γλώττης ἡμῖν ἐξείη τῆς σῆς, ἁλιέων μιμουμένοις τρόπον, ἐπειδὰν κατὰ θαλάττης ἐκεῖνοι τὴν σαγήνην καθέντες ποικίλην ἐκεῖθεν ἀνιμῶνται τὴν ἄγραν.

Παρίσταται δή μοι καὶ αὐτὸν ἐκεῖνο ποιεῖν, ὃ τοὺς Ποσειδωνιάτας πάλαι φασίν. ἀποικίαν γὰρ ἐκ τῆς Ἀττικῆς ἐπὶ Τυρρηνοὺς[a] *ποιησαμένοις ἐκείνοις, ἔπειτα τῷ χρόνῳ τὴν εὐγενῆ φωνὴν ἀπολελωκόσιν ἐκείνην, καὶ ἐς τὸ βάρβαρον ἀποξενωθεῖσιν τῆς διαλέκτου, ἔδοξε μίαν ἀπολεξαμένους τῶν Ἀττικῶν τελεῖν πανηγύρεων· ἐν ᾗ κατὰ δήμους καὶ φρατρίας κοινῇ ξυνιόντες, εἰς ἀνάμνησιν σφᾶς αὐτοὺς ὁμιλιῶν ἀνῆγον ἐκείνων, καὶ ὅσα τῶν ἄλλων πατρίων ἐθῶν τε καὶ νόμων· καὶ δακρύων νάματα θερμὰ ῥηγνύντες ἐπὶ τούτοις, ἔπειτα ἀπηλλάττοντο. Τοῦτ' ἐκεῖνο ποιεῖν ἄντικρυς νῦν καὶ αὐτὸς οὐκ ὀκνῶ· ἀλλὰ συχνὰ παρὰ τὴν σὴν Ἀκαδημίαν καὶ τὸν περίπατον ἔρχομαι τουτονὶ, καὶ συνουσιῶν ἐκείνων ἔστιν ἃ διὰ μνήμης ἄγω. κἄπειτ' ἐπειδὴ τὴν ἑορτήν σε τῶν ἐμῶν ὀφθαλμῶν καὶ τῆς ἀκοῆς οὐχ εὑρίσκοον, ἔνδακρυς καὶ συγχύσεως*[b] *ἀπαλλάττομαι πλήρης· σὺ δὲ μὴ λήγοις οὑτωσὶ μεμνημένων καὶ αὐτὸς ὁπωσοῦν μεμνημένος· εἰ δὲ καὶ ἀλλήλους αὖθις ὀψοίμεθα πρὶν ἐπιλίπῃ τὸ ζῆν, τούτου δ' ἑνὸς ἔμοιγε σφόδρα ἂν ἅπαντα ῥᾷστα πωλοῖτο.*

[a] Cf. Aristox. ap. Athen. x. 11. [b] *συγχήσεως* Cod.

Seq. Epist. inscr. τῷ μεγάλῳ Δομεστίκῳ f. 94. a Mystodox. in Sylloge vulgat. Inc. γινώσκοντες οἱ πολλοί με φιλοῦντά σε πλεῖστα. Altera autem quæ sequitur nondum ut opinor typis commissa est.

Τῷ μεγάλῳ Δομεστίκῳ.

Σὺ καὶ παρὼν ἡμῖν τρυφὴ γίγνῃ τῶν ὀφθαλμῶν, καὶ ἀπὼν ἄφθονον αὖ παρέχεις ταῖς τε ἀκοαῖς καὶ τῇ γλώττῃ τὸ θέατρον· οὐδὲ γὰρ οὐδὲ Κροίσῳ καὶ Μίδᾳ τοσοῦτον πολυτάλαντος ἤρκεσε πλοῦτος πρὸς ἡδονὴν, ὅσον ἐμοὶ διεξιόντων τε ἄλλων ἀκροατὴν καθῆσθαι τῶν σῶν ἐγκωμίων· καὶ αὖ σιωπώντων[c] ἄλλων, αὐτὸν κήρυκα γίνεσθαι διαπρύσιον. ἐπεὶ οὐδὲ ἔστιν οὐδεὶς τῶν ἁπάντων, ὃς μὴ πεπείραταί σου, καθάπερ πολυτελοῦς γινομένης διανομῆς τῶν σῶν ἀγαθῶν, οἷον ἐκ παραδείσου πολυανθοῦς. γίνεται γὰρ καὶ δήμοις καὶ πόλεσιν ἥδιστον ἐντρύφημα τὰ σὰ διηγήματα· καὶ πανηγύρεις οὐκ εἰσὶν οὐδ' ἀγοραὶ, αἳ μὴ μεσταὶ τυγχάνουσι σοῦ. ὁ μὲν γὰρ ἀνακηρύττει τὴν τῶν ἠθῶν ἁρμονίαν καὶ ἀστειότητα· ὁ δὲ τὴν τῆς γλώττης ἀλήθειαν. ὁ δὲ τὴν τῆς χειρὸς πρὸς τὰς εὐεργεσίας ἑτοιμότητα· ὁ δὲ τὸ πρὸς ἁπάσας χάριτας αὐτεπάγγελτον ἅμα καὶ τελεσιουργόν· ὁ δὲ τὴν τῶν λόγων ἀναβίωσιν· οὓς πεπτωκότας ἀνέστησας, εὖ ποιῶν καὶ πόλεις καὶ φυλὰς καὶ δήμους καὶ φρατρίας. καὶ συγχαίρω ἔγω γε λεγόντων ἁπάντων ἀκούων τοιαῦτα· συγχαίρουσι δ' αὖθις ἔμοιγε λέγοντι πάντες. ὁπόσα γὰρ κατ' ἀνθρώπους ὑμνούμενα πέφυκε πάντα συναθροισθέντα πρὸς ἓν, μίαν εἰργάσαντο φύσιν τὴν σήν· καὶ νῦν οὐ τοσοῦτον σὺ σαυτοῦ, ὅσον σοῦ πάντες ἀπολαύουσιν ἕτεροι· καὶ μάλα γέ τοι κατὰ τὸ εἰκός· κοινὰ γὰρ ἴσμεν τὸν δημιουργὸν τὰ μέγιστα καὶ ἀναγκαιότατα προτίθεσθαι τῶν καλῶν· ἰδοὺ γὰρ καὶ ἥλιος καὶ ἀὴρ καὶ ὕδωρ κοινὰ καὶ δημόσια πρόκειται πᾶσιν ἐμψύχοις διὰ τὴν τῆς χρείας ἀνάγκην· καὶ ἅπαντες μᾶλλον

[c] Cod. σιωπόντων.

αὐτῶν, ἢ αὐτὰ ἑαυτῶν ἀπολαύουσι. καθάπερ καὶ ψυχῆς ὁπόσα δεκτικὰ τῶν σωμάτων καὶ θαλάττης ἰχθύες τε ἅμα καὶ ὅσας τῶν ὁλκάδων ἐπ' αὐτῇ ναυστολοῦσαι τῶν κερδῶν τοὺς φόρτους ἀνιχνεύουσιν· οὕτω καί σε μέγιστον ὄντα καλὸν, καὶ τῷ βίῳ ἀναγκαιότατον, κοινὸν καὶ δημόσιον προύθηκεν ἅπασι πολλαχόθεν ὁ κοινὸς τῶν καλῶν παροχεύς. ὡς μᾶλλον ἀπολαύειν ἅπαντας σοῦ, ἢ σεαυτοῦ. πολλὴν μὲν γὰρ ἐπὶ τοῦ προσώπου τὴν εὐφροσύνην ἡ φύσις ἐκένωσεν· ἀφθόνους δὲ ἐπὶ τῆς δεξιᾶς τὰς τῆς εὐποιΐας πηγάς· λαμπρὰς δὲ τῇ γλώττῃ ἐφήρμοσε τῆς ἀληθείας τὰς πλαστίγγας. ὥστε λέγειν ὀρθῶς ἀεὶ κατὰ Πλάτωνα, καὶ ὅσα δεῖ· καὶ ἅπερ δεῖ· καὶ ὅτε δεῖ· καὶ ὅπου δεῖ· τῷ δὲ ἤθει τὸ ἱλαρὸν καὶ σεμνὸν ἐφαπλώσασα τερπνόν τι καὶ ἔνθεον ἐπιπρέπειν παρασκευάζει. ὥσπερ γὰρ τῷ ἀέρι κιρνάμενον τὸ τῆς ἡλιακῆς ἀκτῖνος φῶς, χρῶμα γίνεται ποιότης, οὕτω δὴ καὶ πραότης ἀποίητος πολλῆς καὶ ἀπορρήτου πνέουσα τῆς ἡδονῆς, τοῖς ἤθεσι κιρνωμένη τε καὶ ἐπανθοῦσα τοῖς σοῖς, χρῶμά τε ἅμα καὶ αὐτοχάλκευτος γίνεται ποιότης αὐτοῖς· καὶ οἷον σαγήνη τις ἄφυκτος τοῖς ὁρῶσι καθίσταται· οὐ βιαίῳ τινὶ καὶ κατηναγκασμένῃ τέχνῃ τούτους ἐφελκομένη, ἀλλὰ μάλα εὐφραινομένῃ τῇ γνώμῃ τὴν τοιαύτην ἧτταν πάσχειν ἐθέλοντας ἅπαντας· περὶ δὲ γαλήνης ὁπόση τοῖς σοῖς ἀπορρήτως ἐπιφύεται ὀφθαλμοῖς καθάπερ αὐγὴ πρωϊνὴ, τί ἂν τις φαίη, ὅπως καὶ πόρρωθεν ὑπαντῶσα δεξιοῦται τὰς τῶν προσιόντων γνώμας, καὶ ὑπισχνεῖται τὰ βελτίω. καὶ ὥσπερ ἐγγοητεύει χαρὰν τελεσιουργὸν ταῖς ἐλπίσιν αὐτίκα πρὸς πέρας ἥξουσαν. τοσαύτην γε μὴν συμφωνίαν ἡ χείρ σου τῇ γλώττῃ χαρίζεται, ὥσθ' ὅσα μὲν τῇ χειρὶ μὴ νενόμισται δίκαια πράττειν, ταῦτα καὶ ἡ γλῶττα μάταιον ἡγεῖται λέγειν. ὅσα δ' αὖ τῇ γλώττῃ γίνεται ἐς τὸ βέλτιον εἰρημένα, ταῦτα καὶ τῇ χειρὶ πεπραγμένα ῥᾷστα καθίσταται· καὶ ἁπλῶς εἰπεῖν, ὁμοῦ πάντα συναθροισθέντα, καὶ γλῶττα, καὶ χεὶρ, καὶ ὀφθαλμοὶ, καὶ παρειαὶ, καὶ ὀφρύες καὶ τὸ σεμνὸν μειδίαμα, καὶ τὸ τοῦ ἤθους ἔαρ, καὶ ἡ τούτοις ἐφέρπουσα ἁρμονία, αὐτάγγελοι

καθίστανται πάντα μάλα σαφεῖς τῶν σιωπώντων ἠθῶν τῆς ψυχῆς σου. ὡς ῥᾴδιον εἶναι μὴ μόνον φυσιογνώμονας ἄνδρας, ἀλλὰ καὶ πάντας ἁπλῶς αὐτομάτως τεκμαίρεσθαι, καὶ ὁπόσα σοι τῶν καλῶν περὶ τὰ τῆς διανοίας ἔνδον μυστήρια θαλαμεύονται, ὥσπερ διὰ κατόπτρου τῶν ἔξω ξὺν ὥρᾳ περὶ σε χορευόντων ἠθῶν· καὶ ξυνερρύηκεν ἐπὶ σοὶ τὰ τοῖς αἱρεσιώταις τοῦ Πλάτωνος θαυμαζόμενα· κράτιστον εἶναι φάσκουσι τὴν μὲν ἀρετὴν ὀργανῶν ἐπιτυγχάνειν ἅμα σωματικῶν καὶ τύχης λαμπρᾶς, τὴν δ' εὐγένειαν μὴ τοσοῦτον ἀπὸ προγόνων ἐπιεικῶν, ὅσον ἀπὸ τῆς ἑαυτοῦ καλοκαγαθίας γνωρίζεσθαι. εἰ δὲ καί τις ἐκ τῶν τῆς οἰκουμένης περάτων ποθὲν ἐραστὴς ἐξακοῆς τῶν τῆς βασιλευούσης πόλεως ταυτησὶ καταστὰς ἀγαθῶν, ἧκεν αὐτόπτης ἐσόμενος τῆς τε θέσεως καὶ τοῦ καλοῦς αὐτῆς· καὶ ὅσα θεαμάτων πεπλούτηκεν ἔνδον ἀξιοθαύμαστα, εἶτα καὶ ἄνθρωπον ἐζήτει θεάσασθαι, πάντες ἂν ὥσπερ ἀπὸ συνθήματος ὁρμηθέντες ἐδείκνυον σὲ καὶ οὐχ ἕτερον τῶν ἁπάντων οὐδένα. σὺ γὰρ μόνος ἐν γῇ περισώζεις τὰ τῆς ἀληθινῆς ἰδέας τῆς ἀνθρωπότητος ἀκίβδηλα καὶ σαφῆ τὰ γνωρίσματα. τῶν μέντοι ἀνθρώπων τοὺς πάλαι ἀκούομεν ὁπόσοις τῷ χρόνῳ παρεσχηκέναι πράξεις ἡρωϊκὰς ἐγένετο, στήλαις καὶ ἀνδριάσι τιμᾶσθαι, καὶ ἀναγράπτους ἐπὶ μέσου ἀέρος ἐγείρεσθαι, μνήμης αἰωνιζούσης παλάμην τινὰ τῷ θνητῷ τῆς φύσεως ἀντιμηχανωμένων τῶν ἐπιγιγνομένων καὶ ἀνθιστάντων τουτί· σὲ δ' αἱ ψυχαὶ τῶν ἁπάντων καθάπερ ζῶσαν τινα στήλην καὶ ἀνδριάντα λαμπρὸν ἐφ' ἑαυτὰς ἀναγράφουσαι, καὶ πρὸς ἀθανασίαν τοὔνομα μετὰ τῶν σοι προσόντων καλῶν παραπέμπουσι, μνήμαις καὶ βίβλοις παρέχουσαι, ἃ καὶ τῶν τοῦ χρόνου βελῶν εἰσὶν ἰσχυρότερα. ὁ μέντοι Ὅμηρος περὶ τοῦ Ἀττικοῦ Μενεσθέως διέξεισιν, ὡς

οὔτις ὅμοιον ἐπιχθόνιος γένετ' ἀνὴρ
κοσμῆσαι ἵππους τε καὶ ἀνέρας ἀσπιδιώτας

τοὺς πρὸ ἐκείνου πάντας ἥττους ἀποδεικνύων ἐκείνου. σὺ δὲ ὅμοιος ἐκείνῳ γενόμενος ἐν ὑστέροις τοῖς χρόνοις κοσμῆσαι

ἵππους τὲ καὶ ἀνέρας ἀσπιδιώτας, πάντας ὁμοίως ἐκείνῳ καὶ σὺ τοὺς πρὸ ἐκείνου νικᾷς· καὶ ἀρκεῖ σοι λοιπὸν εἰς ὁμοίους ἐπαίνους ἡ τοῦ Ὁμήρου[d] μεγίστη καὶ θαυμασία γλῶσσα. ἃ γὰρ ἐκεῖνος εἰς Μενεσθέα φησὶν, προσήκει καί σοι, πρὸς τὴν ἴσην ἐκείνῳ σαυτὸν ἐνδοκίμησιν καταστήσαντι ἐκ τῆς πείρας τῶν αὐτῶν γυμνασίων, καὶ τῆς ὁμοίας τῶν πραγμάτων παλαίστρας ἄγε μὴν παρενθήκην αὐτὸς λαμπροτέραν ἐποιήσω τοῖς εἰρημένοις· κοσμῆσαι λόγους δηλαδὴ καὶ πόλεις καὶ φυλὰς καὶ δήμους. ταῦτα ἐκείνῳ οὐδ' ἐν ὀνείρου θεάσασθαι ἐξεγένετο πώποτε· ἢ γὰρ ἦν οὐκ ἂν Ὁμήρῳ ἄρρητον εἰς ἔπαινον οὕτω γενναῖον ἀνδρὸς παρεληλυθότι· οὕτω καὶ τῆς Ὁμηρικῆς γλώττης τὰ θαύματα παρελαύνεις αὐτὸς ξὺν πολλῷ τῷ περιόντι τῶν ἔργων. ἀλλὰ γὰρ εἴη μακροῖς τοῖς αἰῶσι συμπαρεκτείνων τὸ ζῆν· ἵν' εἴης καὶ κοινῇ τοῖς ἅπασι κοινὸν καὶ δημόσιον ὄφελος, καὶ τοῖς λόγοις ἐν μέρει τὰς ζωογόνους πέμπων ἀκτῖνας, καὶ τὸ ζῆν αὐτοῖς ἀεὶ χαριζόμενος.

Seqq. duæ Monodiæ in Andronicum Juniorem et Seniorem habitæ, quæ exstant in Hist. Byz. Niceph. Gregor. Libb. X. et XI. f. 152. Tum div. man. Aulicæ polemicæque instructionis et exhortationis fragmentum contra insidiatores, maxime adulatores. Inc. παραφυλακτέον μέντοι καὶ μάλιστα ὅλῃ τῇ γνώμῃ, καὶ εἴγε δυνάμεθα ἅπασι τοῖς ἐν ταῖς αὐλαῖς ὅπλοις ἐπὶ τούτῳ χρῆσθαι. Est fragm. Synesii de Regn. p. 12 A. Ed. Paris. 1631. fol°. integr. usque ad fin.

[d] Cod. ὁμοίρου.

FINIS.

AUCTORUM NOMINA.